I

EURIPIDIS

FABULAE

EDIDERUNT

R. PRINZ ET N. WECKLEIN.

VOL. III. PARS I.

ANDROMACHA.

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MCM.

EURIPIDIS

ANDROMACHA

EDIDIT

N. WECKLEIN.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MCM.

LIPSIAE: TYPIS B. G TEUBNERI.

Notarum index.

A = cod. Marcianus 471
A^2 = manus secunda
B = cod. Vaticanus 909
B^2 = manus antiqua correctrix
b = manus recentior
E = cod. Parisinus 2712
E^2 = manus recentiores

L = cod. Laurentianus 32, 2
l = manus correctrices
P = cod. Palatinus 287
p = manus recentior

Passim memorantur:

a = cod. Parisinus 2713
a^2 = manus secunda
a^3 = complures manus recentiores
C = cod. Havniensis 417
d = cod. Laurentianus 31, 15
D = fragmenta Ambrosiana v. 1—102 edita ab Angelo Mai
h = cod. Hierosolymitanus (81—169. 777—830. 886—986. 1042—1091)

r = reliqui libri (respectis *ABELP*)
* = litera vel accentus erasus.

VI

ΕΥΡΙΠΙΔΟΥ

ΑΝΔΡΟΜΑΧΗ

2

Ὑπόθεσις Ἀνδρομάχης.

Νεοπτόλεμος ἐν τῇ Τροίᾳ γέρας λαβὼν τὴν Ἀνδρομάχην, τὴν Ἕκτορος γυναῖκα, παῖδα ἔτεκεν ἐξ αὐτῆς. ὕστερον δὲ ἐπέγημεν Ἑρμιόνην, τὴν Μενελάου θυγατέρα. δίκας δὲ πρῶτον ᾐτηκὼς τῆς Ἀχιλλέως ἀναιρέσεως τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, πάλιν ἀπῆλθεν ἐπὶ τὸ χρηστήριον μετανοήσας, ἵνα τὸν θεὸν ἐξιλάσηται. ζηλοτύπως δὲ ἔχουσα πρὸς τὴν Ἀνδρομάχην ἡ βασιλὶς ἐβουλεύετο κατ' αὐτῆς θάνατον, μεταπεμψαμένη τὸν Μενέλαον· ἣ δὲ τὸ παιδίον μὲν ὑπεξέθηκεν, αὐτὴ δὲ κατέφυγεν ἐπὶ τὸ ἱερὸν τῆς Θέτιδος. οἱ δὲ περὶ τὸν Μενέλαον καὶ τὸ παιδίον ἀνεῦρον καὶ ἐκείνην ἀπατήσαντες ἀνήγειραν. καὶ σφάττειν μέλλοντες ἀμφοτέρους ἐκωλύθησαν Πηλέως ἐπιφανέντος. Μενέλαος μὲν οὖν ἀπῆλθεν εἰς Σπάρτην, Ἑρμιόνη δὲ μετενόησεν εὐλαβηθεῖσα τὴν παρουσίαν τοῦ Νεοπτολέμου. παραγενόμενος δὲ ὁ Ὀρέστης ταύτην μὲν ἀπήγαγεν πείσας, Νεοπτολέμῳ δὲ ἐπεβούλευσεν· ὃν καὶ φονευθέντα παρῆσαν οἱ φέροντες. Πηλεῖ δὲ μέλλοντι τὸν νεκρὸν θρηνεῖν Θέτις ἐπιφανεῖσα τοῦτον μὲν ἐπέταξεν ἐν Δελφοῖς θάψαι, τὴν δὲ Ἀνδρομάχην εἰς Μολοσσοὺς ἀπο-

---

Argumentum et personarum indicem add. m. 2 in *L*   lin. 1 *ὑπόθεσις εὐριπίδου ἀνδρομάχης a*, *εὐριπίδου ἀνδρομάχης ὑπόθεσις P*   2 *τῇ* om. *P* | *τὴν* om. *LP*   3 *τὴν τοῦ B* | post *αὐτῆς* add. *τὸν μολοττὸν P*   4 *δὲ* om. *BL* (add. m. 3) | *ἐπέγημε E*, *ἔγημεν P* | *τὴν ἑρμιόνην BL* | *μενέλεω B*   5 *ᾐτηκὼς τὸν ἐν δελφοῖς ἀπόλλωνα περὶ τῆς ἀχιλλέως ἀναιρέσεως a* | *ᾐτικὼς P* corr. *p* | *ἀχιλέως B* | *ἀνερέσεως P*   7 sq. *ἡ βασιλὶς πρὸς τὴν ἀνδρομάχην E*   8 *ἐβούλετο κατὰ ταύτης P*   11 *ἀνεῦρον καὶ τὸ παιδίον E* | *καὶ* ante *τὸ* om. *B* | *ἀπαντήσαντες B*   12 *ἀνήγειραν L*, *ἤγειραν ABEaP*   13 *τοῦ πηλέως P*   15 *περιγενόμενος a* | *ὁ* om. *aP*   16 *ἀπήγαγε B* et mut. in *ἀνήγαγε E*, *ἀνήγαγεν AP*, *ἀνήγαγε aL* | *πείσας*] *εἰς σπάρτην P* | *δὲ* om. *B*   17 *ὃν*] *οἳ Aa*, *οἱ B* (*ὃν b*)   19 *θάψαι* supra *μένειν* scr. *B* | *ἀποστεῖλαι*] Lascaris, *ἀπέστειλεν* vel *ἀπέστειλε* libri

στεῖλαι μετὰ τοῦ παιδός, αὐτὸν δὲ ἀθανασίαν προσδέξεσθαι, τυχόντα δὲ αὐτῆς μακάρων νήσους οἰκήσειν.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Φθίᾳ, ὁ δὲ χορὸς συνέστηκεν ἐκ Φθιωτίδων γυναικῶν. προλογίζει Ἀνδρομάχη. τὸ δὲ δρᾶμα τῶν δευτέρων. ὁ πρόλογος σαφῶς καὶ εὐλόγως εἰρημένος· εὖ δὲ καὶ τὰ ἐλεγεῖα τὰ ἐν τῷ θρήνῳ τῆς Ἀνδρομάχης. ἐν τῷ δευτέρῳ μέρει ῥῆσις Ἑρμιόνης τὸ βασιλικὸν οὐ φαίνουσα, καὶ ὁ πρὸς Ἀνδρομάχην λόγος οὐ καλῶς ἔχων· εὖ δὲ ὁ Πηλεὺς ὁ τὴν Ἀνδρομάχην ἀφελόμενος.

---

20 δὲ εἶπεν *P* | προσδέξεσθαι] scripsi, προσδέχεσθαι libri 21 τυχόντα . . οἰκήσειν] Hermann, τυχὼν . . ᾤκησεν libri (ᾤκισεν *L*) | δὲ ταύτης *L* | μακάρων] E. Schwartz, εἰς μακάρων libri 22—29 om. *Aa*, post personarum indicem habet *P* 22 ὑπόκειται] Wilamowitz, κεῖται libri 23 συνέστηκεν om. *BE* | προλογίζει δὲ *EP* 24 δὲ om. *E* | ὁ om. libri, addidit Lascaris | σαφὴς *P* 25 εὑρημένος Bergk | εὖ] Trendelenburg, ἔστι libri 26 τῆς ἑρμιόνης *E* 27 οὐ φαίνουσα] Bergk, ὑφαίνουσα *BLP* (ὑποφαίνουσα Lascaris), ἐμφαίνουσα *E* 28 καλῶς *LP*, κακῶς *BE* | ἔχων] εἰρημένος *E* | δὲ καὶ *B*, δὲ ἔχων καὶ *E*

Τὰ τοῦ δράματος πρόσωπα·

Ἀνδρομάχη.
θεράπαινα.
χορός.
Ἑρμιόνη.
Μενέλαος.
Μολοττός.
Πηλεύς.
τροφός.
Ὀρέστης.
ἄγγελος.
Θέτις.

Quem supra vides personarum ordinem habet *L*, nisi quod hic liber pro *τροφός* dat *θεράπων*, hunc ordinem exhibent *AB*: *ἀνδρομάχη θεράπαινα ἑρμιόνη ὀρέστης χορός πηλεύς μενέλαος τροφός μολοττός ἄγγελος* (omisso nomine *θέτις*), hunc *EP*: *ἀνδρομάχη θεράπαινα ἑρμιόνη ὀρέστης χορός* (*χορός ὀρέστης P*) *πηλεύς μενέλαος* (*μενέλαος πηλεύς P*) *τροφός μολοττός ἄγγελος θέτις*, hunc *a*: *ἀνδρομάχη θεράπαινα ἑρμιόνη μενέλαος μολοττός χορός ὀρέστης πηλεύς τροφός ἄγγελος θέτις*

ΑΝΔΡΟΜΑΧΗ.

Ἀσιάτιδος γῆς σχῆμα, Θηβαία πόλις,
ὅθεν ποθ' ἕδνων σὺν πολυχρύσῳ χλιδῇ
Πριάμου τύραννον ἑστίαν ἀφικόμην
δάμαρ δοθεῖσα παιδοποιὸς Ἕκτορι,
ζηλωτὸς ἔν γε τῷ πρὶν Ἀνδρομάχη χρόνῳ,
νῦν δ', εἴ τις ἄλλη, δυστυχεστάτη γυνή·
[ἐμοῦ πέφυκεν ἢ γενήσεταί ποτε]
ἥτις πόσιν μὲν Ἕκτορ' ἐξ Ἀχιλλέως
θανόντ' ἐσεῖδον, παῖδα δ' ὃν τίκτω πόσει
ῥιφθέντα πύργων Ἀστυάνακτ' ἀπ' ὀρθίων,
ἐπεὶ τὸ Τροίας εἷλον Ἕλληνες πέδον,
αὐτὴ δὲ δούλη τῶν ἐλευθερωτάτων
οἴκων νομισθεῖσ' Ἑλλάδ' εἰσαφικόμην
τῷ νησιώτῃ Νεοπτολέμῳ δορὸς γέρας
δοθεῖσα λείας Τρωικῆς ἐξαίρετον.
Φθίας δὲ τῆσδε καὶ πόλεως Φαρσαλίας
σύγχορτα ναίω πεδί', ἵν' ἡ θαλασσία
Πηλεῖ ξυνῴκει χωρὶς ἀνθρώπων Θέτις
φεύγουσ' ὅμιλον· Θεσσαλὸς δέ νιν λεὼς
Θετίδειον αὐδᾷ θεᾶς χάριν νυμφευμάτων.
ἔνθ' οἶκον ἔσχε τόνδε παῖς Ἀχιλλέως,
Πηλέα δ' ἀνάσσειν γῆς ἐᾷ Φαρσαλίας,

---

1 *θηβαῖα A* | *πόλις BP* (*γρ. καὶ δίχα σ̃* superscr. *b*), *πόλι L*, *πτόλι r* 6 *εἴ τις AELP*, *οὔτις Bl* (*εἴ* super *οὔ* scr. *b*) 7 schol. *οἱ ὑποκριταὶ τὸν ἴαμβον προσέθηκαν ὑπονοήσαντες εἶναι τὴν γραφὴν δὴ τίς, ἵν' ᾖ οὕτως· νῦν δὴ τίς ἄλλη, καὶ ἀντὶ τοῦ συγκριτικοῦ τὸ δυστυχεστάτη φασίν*, eiecit versum Valckenaer 8 *ἀχιλέως B* corr. *b* 9 *παῖδα δ' B*, *παῖδ' E*, *δα* superscr. minio, *παῖδά θ' r* 10 *ῥιφθέντα LB*, *ῥιφέντα r* 11 *τροίης P* | versum delet Nauck 13 *νομισθεὶς A* 16 *καὶ πόλεως Φαρσαλίας*] fort. *τῇ πόλει Φαρσαλίᾳ* 17 *νέω P* corr. *p* 19 *φέγγουσ* et *θεσαλὸς B* 19 sq. delet Klinkenberg 21 *ἀχιλέως B* corr. *b* 22 *φαρσιλίας A*

ζῶντος γέροντος σκῆπτρον οὐ θέλων λαβεῖν.
κἀγὼ δόμοις τοῖσδ' ἄρσεν' ἐντίκτω κόρον,
πλαθεῖσ' Ἀχιλλέως παιδί, δεσπότῃ δ' ἐμῷ.
καὶ πρὶν μὲν ἐν κακοῖσι κειμένην ὅμως
ἐλπίς μ' ἀεὶ προσῆγε σωθέντος τέκνου
ἀλκήν τιν' εὑρεῖν κἀπικούρησιν κακῶν·
ἐπεὶ δὲ τὴν Λάκαιναν Ἑρμιόνην γαμεῖ
τοὐμὸν παρώσας δεσπότης δοῦλον λέχος,
κακοῖς πρὸς αὐτῆς σχετλίοις ἐλαύνομαι.
λέγει γὰρ ὥς νιν φαρμάκοις κεκρυμμένοις
τίθημ' ἄπαιδα καὶ πόσει μισουμένην,
αὐτὴ δὲ ναίειν οἶκον ἀντ' αὐτῆς θέλω
τόνδ', ἐκβαλοῦσα λέκτρα τἀκείνης βίᾳ·
ἁγὼ τὸ πρῶτον οὐχ ἑκοῦσ' ἐδεξάμην,
νῦν δ' ἐκλέλοιπα· Ζεὺς τάδ' εἰδείη μέγας,
[ὡς οὐχ ἑκοῦσα τῷδ' ἐκοινώθην λέχει].
ἀλλ' οὔ σφε πείθω, βούλεται δέ με κτανεῖν,
πατήρ τε θυγατρὶ Μενέλεως συνδρᾷ τάδε.
καὶ νῦν κατ' οἴκους ἔστ', ἀπὸ Σπάρτης μολὼν
ἐπ' αὐτὸ τοῦτο· δειματουμένη δ' ἐγὼ
δόμων πάροικον Θέτιδος εἰς ἀνάκτορον
θάσσω τόδ' ἐλθοῦσ', ἤν με κωλύσῃ θανεῖν.
Πηλεύς τε γάρ νιν ἔκγονοί τε Πηλέως
σέβουσιν, ἑρμήνευμα Νηρῇδος γάμων.
ὃς δ' ἔστι παῖς μοι μόνος, ὑπεκπέμπω λάθρᾳ
ἄλλους ἐς οἴκους, μὴ θάνῃ φοβουμένη.
ὁ γὰρ φυτεύσας αὐτὸν οὔτ' ἐμοὶ πάρα
προσωφελῆσαι, παιδί τ' οὐδέν ἐστ', ἀπὼν

---

23 om. A | θέλω mut. in θέλων *B*   24 ἄρσεν' ἐκτίκτω *B* (corr. *b*), ἄρσενα τίκτω *L*   25 πλαθεῖσ' *EL*, πλαθεὶσ *A*, πλασθεῖσ' *BP* | ἀχιλέως *B* corr. *b* | δ'] Elmsley, τ' libri, γ' Brunck   27 προῆγε olim Reiske   28 κἀπικουρήσ∗ν *A* (κἀπικουρήσειν *a*), κἀπικούρησιν A^2, κἀπικούφισιν Elmsley   29—31 om. *B* tribus lineis in fine paginae vacuis relictis, supplevit *b*   33 μισουμένην] fort. στυγουμένην, cfr. 157. 205   35 τῶνδ' *B* όν superscr. *b*   36 τὸ πρόσθεν *BE*, γρ. τὸ πρῶτον superscr. *b*   37 τάδ'] τάγ' *BE* (γ in δ mut. *b*), fort. τόδ'   38 delevit Nauck   40 μενέλαος *BE*   43 δόμον *BEP*, ων superscr. *b* | παρ' οἶκον *A*. πάροικον mut. in παροίκων *E*   44 ἄν με *P*   46 νηρῇδος *BLP*, νηρηΐδος *AEb*   47 λάθρα libri

Δελφῶν κατ' αἶαν, ἔνθα Λοξίᾳ δίκην
δίδωσι μανίας, ᾗ ποτ' ἐς Πυθὼ μολὼν
ᾔτησε Φοῖβον πατρὸς οὗ 'κτίνειν δίκην,
εἴ πως τὰ πρόσθε σφάλματ' ἐξαιτούμενος
θεὸν παράσχοιτ' ἐς τὸ λοιπὸν εὐμενῆ.

ΘΕΡΑΠΑΙΝΑ.

δέσποιν', ἐγώ τοι τοὔνομ' οὐ φεύγω τόδε
καλεῖν σ', ἐπείπερ καὶ κατ' οἶκον ἠξίουν
τὸν σόν, τὸ Τροίας ἡνίκ' ᾠκοῦμεν πέδον,
εὔνους δὲ καὶ σοὶ ζῶντί τ' ἦ τῷ σῷ πόσει·
καὶ νῦν φέρουσά σοι νέους ἥκω λόγους,
φόβῳ μέν, εἴ τις δεσποτῶν αἰσθήσεται,
οἴκτῳ δὲ τῷ σῷ· δεινὰ γὰρ βουλεύεται
Μενέλαος ἐς σὲ παῖς δ', ἅ σοι φυλακτέα.

ΑΝ. *ὦ φιλτάτη σύνδουλε· σύνδουλος γὰρ εἶ*
τῇ πρόσθ' ἀνάσσῃ τῇδε, νῦν δὲ δυστυχεῖ·
τί δρῶσι; ποίας μηχανὰς πλέκουσιν αὖ,
[κτεῖναι θέλοντες τὴν παναθλίαν ἐμέ;]

ΘΕΡ. *τὸν παῖδά σου μέλλουσιν, ὦ δύστηνε σύ,*
κτενεῖν, ὃν ἔξω δωμάτων ὑπεξέθου.

ΑΝ. *οἴμοι· πέπυσται τὸν ἐμὸν ἔκθετον γόνον;*
πόθεν ποτ'; ὦ δύστηνος, ὡς ἀπωλόμην.

ΘΕΡ. *οὐκ οἶδ', ἐκείνων δ' ᾐσθόμην ἐγὼ τάδε·*
φροῦδος δ' ἐπ' αὐτὸν Μενέλεως δόμων ἄπο.

ΑΝ. *ἀπωλόμην ἄρ'. ὦ τέκνον, κτενοῦσί σε*
δισσοὶ λαβόντες γῦπες· ὁ δὲ κεκλημένος

---

52 *ᾗ*] Reiske, *ἣν* libri (*ἣν A*) | *ποτ' EL*, *τότ' AP* et mut. in *ποτ' B* 53 *οὗ 'κτίνειν*] Hermann (*τίνειν* Barnes), *οὗ κτείνει ABaL*, *οὗ τίνει EP* et schol., *οὗ 'κτίνει a*[3] (et *d*) 54 *πρόσθεν LP* 56 personae nota erasa in *A* 57 *σ'* om. *L* 58 *τὸ σὸν* mut. in *τὸν σὸν E*, schol. *γράφεται τὸ σὸν* 59 *δ' ἀεὶ σοὶ* Hartung, *δ' ἐκεῖ σοὶ* Badham | *ἦν* libri 60 *φέρουσαν B* corr. *b* 62 *βούλεται BP* 63 *παῖδα B* 65 *τῇδε* om. *L*, add. *l* | *δὲ* om. *P* 66 *πλέκουσιν αὖ* scripto *δὴ* super *αὖ E*, *πλέκουσιν* (*αὖ* om.) *L*, *πλέκουσι νῦν P* 67 delevit Cobet 69 *κτενεῖν*] scripsi, *κτείνειν* libri 70 personae notam in ras. scr. *L* | *πέπυσθον* Nauck, mavult versum 73 versui 69 subiungere Radermacher 71 *ἀπολλόμην B*, *ἀπωλόμαν P* (super *αν* ras.) 73 *αὐτὸ D* (et Dindorf) | *μενέλαος BE* 74 *ἀπωλλόμην B* | *ἆρ' BE* 75 *γύπες BE* | *κεκτημένος* Herwerden

πατὴρ ἔτ' ἐν Δελφοῖσι τυγχάνει μένων.
ΘΕΡ. δοκῶ γὰρ οὐκ ἂν ὧδέ σ' ἂν πράσσειν κακῶς
κείνου παρόντος· νῦν δ' ἔρημος εἶ φίλων.
ΑΝ. οὐδ' ἀμφὶ Πηλέως ἦλθεν, ὡς ἥξει, φάτις;
ΘΕΡ. γέρων γ' ἐκεῖνος ὥστε σ' ὠφελεῖν παρών.
ΑΝ. καὶ μὴν ἔπεμψ' ἐπ' αὐτὸν οὐχ ἅπαξ μόνον.
ΘΕΡ. μῶν οὖν δοκεῖς σου φροντίσαι τιν' ἀγγέλων;
ΑΝ. πόθεν; θέλεις οὖν ἄγγελος σύ μοι μολεῖν;
ΘΕΡ. τί δῆτα φήσω χρόνιος οὖσ' ἐκ δωμάτων;
ΑΝ. πολλὰς ἂν εὕροις μηχανάς· γυνὴ γὰρ εἶ.
ΘΕΡ. κίνδυνος· Ἑρμιόνη γὰρ οὐ σμικρὸν φύλαξ.
ΑΝ. ὁρᾷς; ἀπαυδᾷς ἐν κακοῖς φίλοισι σοῖς.
ΘΕΡ. οὐ δῆτα· μηδὲν τοῦτ' ὀνειδίσῃς ἐμοί.
ἀλλ' εἶμ', ἐπεί τοι κοὐ περίβλεπτος βίος
δούλης γυναικός, ἤν τι καὶ πάθω κακόν.
ΑΝ. χώρει νυν· ἡμεῖς δ', οἷσπερ ἐγκείμεσθ' ἀεὶ
θρήνοισι καὶ γόοισι καὶ δακρύμασιν,
πρὸς αἰθέρ' ἐκτενοῦμεν· ἐμπέφυκε γὰρ
γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν
ἀνὰ στόμ' αἰεὶ καὶ διὰ γλώσσης ἔχειν.
πάρεστι δ' οὐχ ἓν ἀλλὰ πολλά μοι στένειν,
πόλιν πατρῴαν τὸν θανόντα θ' Ἕκτορα
στερρόν τε τὸν ἐμὸν δαίμον' ᾧ συνεζύγην
δούλειον ἦμαρ ἐσπεσοῦσ' ἀναξίως.
χρὴ δ' οὔποτ' εἰπεῖν οὐδέν' ὄλβιον βροτῶν,
πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς
ὅπως περάσας ἡμέραν ἥξει κάτω.

79 *AN.*] in θε. mut. *b*, in ἀνδρ. denuo recentior manus | πηλέος *P* | ἥξει *BC*, ἥξοι *r* 80—88 personarum notas om. *B* add. *b* 80 γέρων γ' *L*, γ' om. *r* | ὥστ' ἐσώφελεῖν *A* 81 ἐπ' om. *E* 82 οὖν] οὐ *P* | δοκεῖσ σου *A*, δοκεῖσ σοι mut. in δοκεῖσ σου *B*, δοκεῖ σου *L*, δοκεῖ σοι *EP* 83 θέλοις *L* θέλεις *l* | μολεῖν σύ μοι *P* 85 εὕρῃς *E* 86 σμικρὸν *D*, σμικρὰ *r* 87 κακοῖσι *P* 88 μηδ' ἓν *A* | τούτων *P* 89 ἐπί *B* ἐπεί *b* | schol. κατ' ἐνίους δὲ γράφεται χωρὶς τοῦ οὐ καὶ περίβλεπτος, ὥστε ἐν εἰρωνείᾳ τοὐναντίον λέγεσθαι 91 νυν *lP*, νῦν *r* | ἐγκείμεθ' *A* 92 δακρύμασιν *L*, δακρύμασι *r* 95 αἰεὶ *P*, ἀεὶ *r* 99 δούλειον *B* ει in ι mut. *b* | ἦμαρ *AP* 100 ante v. ση *L*, γνώ(μη) *Pb*, χορ. *A* | οὐδὲν *A* 102 ἥκει Herwerden

Ἰλίῳ αἰπεινᾷ Πάρις οὐ γάμον ἀλλά τιν' ἄταν
ἠγάγετ' εὐναίαν ἐς θαλάμους Ἑλέναν.
ἇς ἕνεκ', ὦ Τροία, δορὶ καὶ πυρὶ δηιάλωτον
εἷλέ σ' ὁ χιλιόναυς Ἑλλάδος ὠκὺς Ἄρης
καὶ τὸν ἐμὸν μελέας πόσιν Ἕκτορα, τὸν περὶ τείχη
εἵλκυσε διφρεύων παῖς ἁλίας Θέτιδος·
αὐτὰ δ' ἐκ θαλάμων ἀγόμαν ἐπὶ θῖνα θαλάσσας,
δουλοσύναν στυγερὰν ἀμφιβαλοῦσα κάρᾳ.
πολλὰ δὲ δάκρυά μοι κατέβα χροός, ἁνίκ' ἔλειπον
ἄστυ τε καὶ θαλάμους καὶ πόσιν ἐν κονίαις.
ὤμοι ἐγὼ μελέα, τί με χρῆν ἔτι φέγγος ὁρᾶσθαι
Ἑρμιόνας δούλαν; ἇς ὕπο τειρομένα
πρὸς τόδ' ἄγαλμα θεᾶς ἱκέτις περὶ χεῖρε βαλοῦσα
τάκομαι ὡς πετρίνα πιδακόεσσα λιβάς.

ΧΟΡΟΣ.

ὦ γύναι, ἃ Θέτιδος δάπεδον καὶ ἀνάκτορα θάσσεις
δαρὸν οὐδὲ λείπεις, stroph.
Φθιὰς ὅμως ἔμολον ποτὶ σὰν Ἀσιήτιδα γένναν,
εἴ τί σοι δυναίμαν
ἄκος τῶν δυσλύτων πόνων τεμεῖν,
οἳ σὲ καὶ Ἑρμιόναν ἔριδι στυγερᾷ συνέκλῃσαν
τλάμον' ἀμφὶ λέκτρων
διδύμων ἐπίκοινον ἐοῦσαν
ἀμφὶ παῖδ' Ἀχιλλέως.

---

103 ante v. ἀνδ *AL* | αἰπεινὰι *A*, αἰπεινὰ *BL*, αἰπεινᾷ *bl* | γάμον] fort. νυὸν 104 ἀγάγετ' Dindorf | ἑλένην *P* 105 ἃς *AP* (ἇς *p*) | ἕνεκ' ὦ] ἕνεκα *B* ἕνεκ' ὦ *b* | τροία∗ *A* τροῖαι *A*², τροίαν *B* (τροία *b*) | δηιάλωτον *Pb* et ex δϊηάλωτον corr. *L*, δὴ ἁλωτὸν *AB*, δὴ ἁλωτὸν *Ea* 106 ὠκὺς] ὀξὺς Schaefer, ὠμὸς Nauck 107 τείχει *E*

108 παῖς ἁλίας θέτιδος εἵλκυσε διφρεύων *L* (β α superscr. *l*) 109 αὐτὴ *P*, αὐτὰ *B* η super ὰ scr. *b* | ἀγόμαν'∗ *A*, ἄγομαι *B* | θαλάσσας *B*, θαλάσσης *r* 111 ἔλιπον (ἔλ∗∗∗∗ *P*) mut. in ἔλειπον *LP* (ει rescr. *l*), ἔλιπον *r* 113 ὤμοι *A* | με χρῆν *L*, με χρὴν *B*, μ' ἐχρῆν *rb* 114 ἑρμιόνης *P* | ἧς *P* | ὑποτειρομένα *EP* 115 χεῖρα apographa | βαλοῦσα] λαβοῦσα *E* 117 ἀνάκτορον *L* 118 δηρὸν *P* 119 ὅμως bis scriptum, semel eradi coeptum in *A* | ἀσιάτιδα *L* | γέναν *A* 121 τῶν δυσλύτων πόνων ἄκος *P* | τεμεῖν] εὑρεῖν in fine v. scr. in rasura *l* et ante 122 rasura in *L* 122 συνέκληισαν *A*, συνέκλεισαν *L*, συνεκλήϊσαν *r* 123 τλάμον' *P*, τλάμονα *ABE*, τλάμων *L* | λεχῶν *P* 125 ἀχιλῆος mut. in ἀχιλέως *B*, ἀχιλλῆος *E*

γνῶθι τύχαν λόγισαί τ' ἄπορον κακὸν εἰς ὅπερ ἥκεις·
δεσπόταις ἁμιλλᾷ antistr.
Ἰλιὰς οὖσα κόρα Λακεδαίμονος ἐγγενέταισι.
λεῖπε δεξίμηλον
δόμον τᾶς ποντίας θεοῦ. τί σοι
καιρὸς ἀτυζομένᾳ δέμας αἰκέλιον καταλείβειν
δεσποτῶν ἀνάγκαις;
τὸ κρατοῦν δέ σ' ἔπεισι. τί μόχθον
οὐδὲν οὖσα μοχθεῖς;

ἀλλ' ἴθι λεῖπε θεᾶς Νηρηίδος ἀγλαὸν ἕδραν, stroph.
γνῶθι δ' οὖσ' ἐπὶ ξένας
δμωὶς ἐπ' ἀλλοτρίας πόλεως,
ἔνθ' οὐ φίλων τιν' εἰσορᾷς
σῶν, ὦ δυστυχεστάτα,
παντάλαινα νύμφα.

οἰκτροτάτα γὰρ ἔμοιγ' ἔμολες, γύναι Ἰλιάς, οἴκους
δεσποτῶν ἐμῶν· φόβῳ δ' antistr.
ἡσυχίαν ἄγομεν, τὸ δὲ σὸν
οἴκτῳ φέρουσα λανθάνω,
μὴ παῖς τᾶς Διὸς κόρας
[*σοί*] *μ' εὖ φρονοῦσαν εἰδῇ*
. . . .

---

126 *τ' ἄπορον*] scripsi, *τὸ παρὸν* libri 128 *ἐγγενέταισι* *AEb*, *ἐγγενεταῖσι* *B*, *ἐκγενέταισι* *P*, *ἐκγενέτῃσι* *L* 129 *λίπε* mut. in *λεῖπε* *E* 130 *τὰς* *AP* | *ποντίου* *L* | *θεᾶς* *LP* (*ου* superscr. *P*) | *τί*] Musgrave, *τίς* libri 131 *αἰκέλιον*] Barnes, *ἀεικέλιον* libri (*ἀεικέλειον* mut. in *ἀεικέλιον* *L*) | *καταλείβειν*] fort. *κατατήκειν* 132 *δυσπότμοις ἐν ἄταις* Jacobs | *ἀνάγκῃ* *B* *αις* super *η* scr. *b* 133 *κράτος* *AP*, *γρ. τὸ κράτος* superscr. *b* | *σ' ἔπεισι*] Hermann, *σε πείσει* libri, cfr. schol. *καταλήψεται, ἀντὶ τοῦ· οἱ δεσπόται κατὰ σοῦ ἐλεύσονται* 135 *νηρηίδος* *BE*, *νηρῇιδος* *A*, *νηρῇδος* *LP* | *ἀγλαὸν* *B*, *η* super *ο* scr. *b*, *ἀγλαὴν* *P* *ἕδραν*] *γρ. ἕδος* in marg. *L* 136 *ἐπὶ ξένας*] *ἀμήχανος* C. Busche 137 *δμῶς* *B* *ϊς* superscr. et *ς* del. *b* 138 *φίλον* *L*, sed compendium ` (= *ον*) ex alio compendio correctum videtur 140 *παντάλαινα*] *τάλαινα* *P*, *ὦ* ante *παντάλαινα* add. *l* 142 *δεσποτῶν ἐμῶν· φόβῳ δ'*] Nauck, *δεσποτῶν δ' ἐμῶν φόβῳ* libri 143 *ἁσυχίαν* Dindorf | *τὸ δὲ σὸν*] fort. *τὸ τεὸν δ'* 144 *λανθάνω*] scripsi, *τυγχάνω* libri 145 *τὰς* *A* et mut. in *τᾶς* *EL* 146 *σοὶ* delevit Hartung | *εἰδῇ*] Musgrave, *ἴδῃ* libri, sed in *E* ante *ι* ras., fuisse videtur *ει* | post 146 lacunam statuit Musgrave, cfr. 154

ΕΡΜΙΟΝΗ.

κόσμον μὲν ἀμφὶ κρατὶ χρυσέας χλιδῆς
στολμόν τε χρωτὸς τόνδε ποικίλων πέπλων
οὐ τῶν Ἀχιλλέως οὐδὲ Πηλέως ἄπο
δόμων ἀπαρχὰς δεῦρ᾽ ἔχουσ᾽ ἀφικόμην,
ἀλλ᾽ ἐκ Λακαίνης Σπαρτιάτιδος χθονὸς
Μενέλαος ἡμῖν ταῦτα δωρεῖται πατὴρ
πολλοῖς σὺν ἕδνοις, ὥστ᾽ ἐλευθεροστομεῖν.
ὑμᾶς μὲν οὖν τοῖσδ᾽ ἀνταμείβομαι λόγοις·
σὺ δ᾽ οὖσα δούλη καὶ δορίκτητος γυνὴ
δόμους κατασχεῖν ἐκβαλοῦσ᾽ ἡμᾶς θέλεις
τούσδε, στυγοῦμαι δ᾽ ἀνδρὶ φαρμάκοισι σοῖς,
νηδὺς δ᾽ ἀκύμων διὰ σέ μοι διόλλυται·
δεινὴ γὰρ Ἠπειρῶτις ἐς τὰ τοιάδε
ψυχὴ γυναικῶν· ὧν ἐπισχήσω σ᾽ ἐγώ,
κοὐδέν σ᾽ ὀνήσει δῶμα Νηρῇδος τόδε,
οὐ βωμὸς οὐδὲ ναός, ἀλλὰ κατθανῇ.
ἢν δ᾽ οὖν βροτῶν τίς σ᾽ ἢ θεῶν σῶσαι θέλῃ,
δεῖ σ᾽ ἀντὶ τῶν πρὶν ὀλβίων φρονημάτων
πτῆξαι ταπεινὴν προσπεσεῖν τ᾽ ἐμὸν γόνυ,
σαίρειν τε δῶμα τοὐμὸν ἐκ χρυσηλάτων
τευχέων χερὶ σπείρουσαν Ἀχελῴου δρόσον,
γνῶναί θ᾽ ἵν᾽ εἶ γῆς. οὐ γάρ ἐσθ᾽ Ἕκτωρ τάδε,
οὐ Πρίαμος οὐδὲ Φρύγιος, ἀλλ᾽ Ἑλλὰς πόλις.
ἐς τοῦτο δ᾽ ἥκεις ἀμαθίας, δύστηνε σύ,
ἣ παιδὶ πατρός, ὃς σὸν ὤλεσεν πόσιν,
τολμᾷς ξυνεύδειν καὶ τέκν᾽ αὐθέντου πάρα

---

148 *στολμων* mut. in *στολμόν P*, *στόλον L* | *τόνδε AL*, *τῶνδε r* 149 *ἀχιλέως B* 150 *ἀιφικόμην A* 151 *οὐκ Λακαίνης* Nauck | *σπαρτιάδος L*, mut. in *σπαρτιάτιδος l* 153 *ἕδνοις AL* (*ἕδνοις l*) 154 *τοῖσδ᾽ L τοιοῖσδ᾽ r* (unde *τοιοισίδ᾽ ἀνταμείβομαι*, expulso vocabulo *λόγοις*, coniecit Kirchhoff) | *ἀμείβομαι P* 158 *νηδύς τ᾽* Lenting 159 *ἠπειρῶτις L* 160 *ψυχὴ*] *τέχνη* Nauck 161 *νηρῇδος LP*, *νηρηΐδος r* 163 *ὁ*** mut. in *οὖν B* (rescr. *b*) | *θεῶν τίς σ᾽ ἢ βροτῶν P* | *τίς σ᾽*] *τί σ᾽ A*, *τίς E* | *σώσαι A* | *βροτῶν τιν᾽ ἢ θεῶν σῶσαί σε λῇς* Herwerden 165 *προυσπεσεῖν A* 166 *τε*] *τὸ L τε l* 167 *τεύχεων B* | *χειρὶ* (*ει* in *ε* corr. *E*) *σπείρουσαν BE*, *περισπείρουσαν P*, *χερὶ σπείρασαν L* (*ασ* in *ουσ* mut. *l*) 168 *ἵν᾽ ἦ B*, *ἵνα E* 169 *Φρύγιος*] olim Hermann, *χρυσός* libri 170 *το***** mut. in *τοῦτο δ᾽ L* 171 *ἣ A ἥ* A^2 | *ὤλεσε B* 172 *τολμᾷ B* | *αὐθεντῶν* J. Heiland

τίκτειν. τοιοῦτον πᾶν τὸ βάρβαρον γένος·
πατήρ τε θυγατρὶ παῖς τε μητρὶ μίγνυται
κόρη τ' ἀδελφῷ, διὰ φόνου δ' οἱ φίλτατοι
χωροῦσι, καὶ τῶνδ' οὐδὲν ἐξείργει νόμος.
ἃ μὴ παρ' ἡμᾶς ἔσφερ'· οὐδὲ γὰρ καλὸν
δυοῖν γυναικοῖν ἄνδρ' ἕν' ἡνίας ἔχειν,
ἀλλ' ἐς μίαν βλέποντες εὐναίαν Κύπριν
στέργουσιν, ὅστις μὴ κακῶς οἰκεῖν θέλει.

ΧΟ. ἐπίφθονόν τι χρῆμα θηλείας φρενὸς
καὶ ξυγγάμοισι δυσμενὲς μάλιστ' ἀεί.

ΑΝ. φεῦ φεῦ·
κακόν γε θνητοῖς τὸ νέον ἔν τε τῷ νέῳ
τὸ μὴ δίκαιον ὅστις ἀνθρώπων ἔχει.
ἐγὼ δὲ ταρβῶ μὴ τὸ δουλεύειν μέ σοι
λόγων ἀπώσῃ πόλλ' ἔχουσαν ἔνδικα,
ἢν δ' αὖ κρατήσω, μὴ 'πὶ τῷδ' ὄφλω βλάβην·
οἱ γὰρ πνέοντες μεγάλα τοὺς κρείσσους λόγους
πικρῶς φέρουσι τῶν ἐλασσόνων ὕπο·
ὅμως δ' ἐμαυτὴν οὐ προδοῦσ' ἁλώσομαι.
εἴπ', ὦ νεᾶνι, τῷ σ' ἐχεγγύῳ λόγῳ
πεισθεῖσ' ἀπωθῶ γνησίων νυμφευμάτων;
ὡς ἡ Λάκαινα τῶν Φρυγῶν μείων πόλις,
τύχῃ δ' ὑπερθεῖ τἄμ' ἐλευθέραν δ' ὁρᾷς;
ἢ τῷ νέῳ τε καὶ σφριγῶντι σώματι
πλούτου τε μεγέθει καὶ φίλοις ἐπηρμένη
οἶκον κατασχεῖν τὸν σὸν ἀντὶ σοῦ θέλω;
πότερον ἵν' αὐτὴ παῖδας ἀντὶ σοῦ τέκω
δούλους ἐμαυτῇ τ' ἀθλίαν ἐφολκίδα;

---

173 τοιοῦτον *LP*, τοιοῦτο *r* 175 τ'] δ' *E* 177 μὴ om. *E* 178 γυναικοῖν] γυναικοῖν κακοῖν *E* 180 θέλει *C*, θέλοι *r* 181 θηλείας φρενὸς Stob. fl. 73, 18 et schol. ἄλλως: θηλείας φρενός ἀντὶ τοῦ θήλεια φρήν] θηλειῶν ἔφυ libri 182 ξὺν γάμοισι *E* 184 ἐν δὲ Stob. fl. 52, 1 188 τῷδ'] τῶι *A* τῶδ' *A*², τόδ' *B* ῶ super ό scr. *b* 189 τοὺς κρείσσους] fort. κρείσσονας 190 ὕπο] ἄπο Hermann 191 ἀλώσομαι *AB* et mut. in ἁλώσομαι *E* 192 νεάνι *AB* 193 ἀπώθω *A* 194 τῶν] τῆς Scaliger 195 τἄμ' ἐλευθέραν θ'] Lenting (nisi quod ἐλεύθερόν scripsit), κἄμ' (κᾶμ' *A*, κ' αμ' *B* κἄμ' *b*, κάμ' *E*) vel καί μ' (*LP*) ἐλευθέραν libri 197 πλούτου] Brunck, πόλεως libri 198 κατὰ σχεῖν *A* | versum delet Cobet 199 αὐτῇ *BE* 200 ἐμαυτὴ *L*, ἐμαυτῇ γ' Hermann

ἢ τοὺς ἐμούς τις παῖδας ἐξανέξεται
Φθίας τυράννους ὄντας, ἢν σὺ μὴ τέκῃς;
φιλοῦσι γάρ μ' Ἕλληνες Ἕκτορός τ' ἄπο,
αὐτή τ' ἀμαυρὰ κοὐ τύραννος ἢ Φρυγῶν.
οὐκ ἐξ ἐμῶν σε φαρμάκων στυγεῖ πόσις,
ἀλλ' εἰ ξυνεῖναι μὴ 'πιτηδεία κυρεῖς.
φίλτρον δὲ καὶ τόδ'· οὐ τὸ κάλλος, ὦ γύναι,
ἀλλ' ἀρεταὶ τέρπουσι τοὺς ξυνευνέτας.
σὺ δ' ἤν τι κνισθῇς, ἡ Λάκαινα μὲν πόλις
μέγ' ἐστί, τὴν δὲ Σκῦρον οὐδαμοῦ τιθεῖς,
πλουτεῖς δ' ἐν οὐ πλουτοῦσι, Μενέλεως δέ σοι
μείζων Ἀχιλλέως. ταῦτά τοι σ' ἔχθει πόσις.
χρὴ γὰρ γυναῖκα, κἂν κακῷ πόσει δοθῇ,
στέργειν ἅμιλλάν τ' οὐκ ἔχειν φρονήματος.
εἰ δ' ἀμφὶ Θρῄκην χιόνι τὴν κατάρρυτον
τύραννον ἔσχες ἄνδρ', ἵν' ἐν μέρει λέχος
δίδωσι πολλαῖς εἷς ἀνὴρ κοινούμενος,
ἔκτεινας ἂν τάσδ'; εἶτ' ἀπληστίαν λέχους
πάσαις γυναιξὶ προστιθεῖσ' ἂν ηὑρέθης.
αἰσχρόν γε· καίτοι χεῖρον' ἀρσένων νόσον
ταύτην νοσοῦμεν, ἀλλὰ προὔστημεν καλῶς.
ὦ φίλτατ' Ἕκτορ, ἀλλ' ἐγὼ τὴν σὴν χάριν
σοὶ καὶ ξυνήρων, εἴ τί σε σφάλλοι Κύπρις,
καὶ μαστὸν ἤδη πολλάκις νόθοισι σοῖς
ἐπέσχον, ἵνα σοι μηδὲν ἐνδοίην πικρόν.
καὶ ταῦτα δρῶσα τῇ ἀρετῇ προσηγόμην
πόσιν· σὺ δ' οὐδὲ ῥανίδ' ὑπαιθρίας δρόσου

---

201 ἢ *B* ἣ *b* 203 fort. *Ἕκτορος χάριν* 204 fort. *αὐτὴ δ'* | *ἀμαυρᾶ B ἀμαυρὰ b* | *ἣν* libri (*ἢν A*) 207 *γῦναι A* 208 *αἱ ἀρεταὶ ABE*, *αἱ 'ρεταὶ LP* | *τέρπουσι* om. *P* 210 *τιθεῖς B τίθης b*, *τίθεις* mut. in *τίθης P*, *τίθηις A*, *τίθης EL* 211 *μενέλαος A* 212 *ἀχιλέως B*, *ἀχι∗λεως L* λ super λ scr. *l* | *ἐχθεῖ Ab* 213 *χρῆν P*, fort. *δεῖ* | fort. *κἂν πόσει φαύλῳ συνῇ* 214 *ἅμιλλαν A* 215 *τὴν* om. *E* 216 *λέχους P* 217 *κοινούμενος BEP* (μ super prius ν scr. *b*), *κοιμώμενος AL* 219 *προστιθεῖς A* | *εὑρέθης* libri 220 sq. delet H. Hirzel 220 *χεῖρον E* | *ἀρσένων*] *ἀνῶν L* 221 *προὔστημεν BL*, *προύστημεν l* 223 *ξυνήρων B* η in ει mut. *b* | *εἴ τι σε σφάλλοι E*, *εἴ τι σε σφά∗∗οι L*, *εἴ τι σε σφάλοι Pbl*, *εἴ τίς σε σφάλοι A*, *εἰ τι σ' ἐσφάλη B* 224 *μασθὸν B* corr. *b* | *ἤδη*] fort. *ἕλκειν* 225 *ἐπεῖχον* Nauck | *ἐνδῴην P* 226 *τῇ 'ρετῇ LP* 227 *ὑπ' αἰθρίας B* corr. *b*

τῷ σῷ προσίζειν ἀνδρὶ δειμαίνουσ' ἐᾶς.
μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ, γύναι,
ζήτει παρελθεῖν· τῶν κακῶν γὰρ μητέρων
φεύγειν τρόπους χρὴ παῖδας αἷς ἔνεστι νοῦς.
ΧΟ. δέσποιν', ὅσον σοι ῥαδίως προσίσταται,
τοσόνδε πείθου τῇδε συμβῆναι λόγοις.
ΕΡ. τί σεμνομυθεῖς κεἰς ἀγῶν' ἔρχῃ λόγων,
ὡς δὴ σὺ σώφρων, τἀμὰ δ' οὐχὶ σώφρονα;
ΑΝ. οὔκουν ἐφ' οἷς γε νῦν καθέστηκας λόγοις.
ΕΡ. ὁ νοῦς ὁ σός μοι μὴ ξυνοικοίη, γύναι.
ΑΝ. νέα πέφυκας καὶ λέγεις αἰσχρῶν πέρι.
ΕΡ. σὺ δ' οὐ λέγεις γε, δρᾷς δέ μ' εἰς ὅσον δύνῃ.
ΑΝ. οὐκ αὖ σιωπῇ Κύπριδος ἀλγήσεις πέρι;
ΕΡ. τί δ'; οὐ γυναιξὶ ταῦτα πρῶτα πανταχοῦ;
ΑΝ. καλῶς γε χρωμέναισιν· εἰ δὲ μή, οὐ καλά.
ΕΡ. οὐ βαρβάρων νόμοισιν οἰκοῦμεν πόλιν.
ΑΝ. κἀκεῖ τά γ' αἰσχρὰ κἀνθάδ' αἰσχύνην ἔχει.
ΕΡ. σοφὴ σοφὴ σύ· κατθανεῖν δ' ὅμως σε δεῖ.
ΑΝ. ὁρᾷς ἄγαλμα Θέτιδος ἐς σ' ἀποβλέπον;
ΕΡ. μισοῦν γε πατρίδα σὴν Ἀχιλλέως φόνῳ.
ΑΝ. Ἑλένη νιν ὤλεσ', οὐκ ἐγώ, μήτηρ δὲ σή.
ΕΡ. ἦ καὶ πρόσω γὰρ τῶν ἐμῶν ψαύσεις κακῶν;
ΑΝ. ἰδοὺ σιωπῶ κἀπιλάζυμαι στόμα.
ΕΡ. ἐκεῖνο λέξον, οὗπερ εἵνεκ' ἐστάλην.
ΑΝ. λέγω σ' ἐγὼ νοῦν οὐκ ἔχειν ὅσον σε δεῖ.

---

230 γὰρ] δὲ Elmsley 231 παῖδας αἷς] scripsi ut olim Nauck, τέκνα οἷς *A*, τέκν' οἷς *r* (ὅσοις super οἷς scr. *l*), τέκν' αἷς Stob. fl. 74, 21 232 παρίσταται *P* 233 fort. τῆσδε 236 οὐκοῦν *AB* (οὔκουν *b*) 238 sq. ante 240 suspecti 239 sq. om. *P* in marg. add. *p* 239 δύνᾳ Porson 240 αὖ *E*, αὖ *A*, ἂν *r* 241 πρῶτα ταῦτα *L* | πανταχῇ *P* 242 καλῶς *P*, ναί (separato versu in *AB*) καλῶς *r* (ναί ante καλῶς circulo inclusit et ναί super καλῶς scr. *l*) | καλά] καλῶς *L* 244 τ' αγ' *A*, τάδ' *P* | κἀνθάδ' *A* 245 δ' om. *B* add. *b* | δεῖ] fort. χρή 246 ἀποβλέπων *A*, ἀποβλέπ** mut. in ἀποβλέπον *L*, ἐπιβλέπον *E* 247 ἀχιλέως *B* corr. *b* 248 ἑλένη νιν *EP* et ex ἑλένην corr. *L*, ἑλένην νιν *B*, ἑλένην *A* | Κύπρις νιν ὤλεσ', οὐκ ἐγώ, μήτηρ τε σή Hartman. ἄλλη νιν ὤλεσ', οὐκ ἐγώ, μήτηρ δὲ σή Herwerden 249 ἦ *Eb Lp*, ἢ *ABP* 251 οὔπερ *B* | εἵνεκ' *C*, οὕνεκ' *AL*, ἕνεκ' *BP*, om. *E* ἐστάλην] ἐνθάδ' ἱκάνω *BE*, γρ. ἐστάλην superscr. *B*, γρ. ἕνεκ' ἐστάλην minio superscr. in *E* 252 sq. personarum notas om. *B* 252 ὅσον] οἷόν Nauck

ΕΡ. λείψεις τόδ' ἁγνὸν τέμενος ἐναλίας θεοῦ;
ΑΝ. εἰ μὴ θανοῦμαί γ'· εἰ δὲ μή, οὐ λείψω ποτέ.
ΕΡ. ὡς τοῦτ' ἄραρε, κοὐ μενῶ πόσιν μολεῖν.
ΑΝ. ἀλλ' οὐδ' ἐγὼ μὴν πρόσθεν ἐκδώσω μέ σοι.
ΕΡ. πῦρ σοι προσοίσω, κοὐ τὸ σὸν προσκέψομαι,
ΑΝ. σὺ δ' οὖν κάταιθε· θεοὶ γὰρ εἴσονται τάδε.
ΕΡ. καὶ χρωτὶ δεινῶν τραυμάτων ἀλγηδόνας.
ΑΝ. σφάζ', αἱμάτου θεᾶς βωμόν, ἣ μέτεισί σε.
ΕΡ. ὦ βάρβαρον σὺ θρέμμα καὶ σκληρὸν θράσος,
ἐγκαρτερεῖς δὴ θάνατον; ἀλλ' ἐγώ σ' ἕδρας
ἐκ τῆσδ' ἑκοῦσαν ἐξαναστήσω τάχα·
τοιόνδ' ἔχω σου δέλεαρ. ἀλλὰ γὰρ λόγους
κρύψω, τὸ δ' ἔργον αὐτὸ σημανεῖ τάχα.
κάθησ' ἑδραία· καὶ γὰρ εἰ πέριξ σ' ἔχει
τηκτὸς μόλυβδος, ἐξαναστήσω σ' ἐγὼ
πρὶν ᾧ πέποιθας παῖδ' Ἀχιλλέως μολεῖν.
ΑΝ. πέποιθα. δεινὸν δ' ἑρπετῶν μὲν ἀγρίων
ἄκη βροτοῖσι θεῶν καταστῆσαί τινα·
ὃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω,
οὐδεὶς γυναικὸς φάρμακ' ἐξηύρηκέ πω
[κακῆς· τοσοῦτόν ἐσμεν ἀνθρώποις κακόν.]

ΧΟ. ἦ μεγάλων ἀχέων ἄρ' ὑπῆρξεν, ὅτ' stroph.
Ἰδαίαν ἐς νάπαν
ἦλθεν Μαίας τε καὶ Διὸς τόκος,
τρίπωλον ἅρμα δαιμόνων
ἄγων τὸ καλλιζυγές,
ἔριδι στυγερᾷ κεκορυθμένον εὐμορφίας

254 εἰ μὴ mut. in εἰ μὲν *E* 255 ἄραρε *L* ἄρηρε *l* | μένῶ *E* (ʹ minio rescr.), μένω *r* 256 μην *EL*, μ∗ν *P* μὴν *p* | ἐκδώσομαι *B* ε super αι scr. *b* 258 τόδε *E* 260 αἵματος *P* | θεὰς *A* | ἢ *B* corr. *b* 262 δ∗ *P* δὴ *p* 264 τοῖον δ' *B* 266 σ' om. *EP* 267 μόλιβδος *L* 268 ᾧ] ὃν *P* | ἀχιλέως *B* corr. *b* 270 βροτοῖς *P* καταστῆσαι Stob. fl. 73, 19, ∗∗καταστῆσαι *P*, ἐγκαταστῆσαι *r* 271 om. *P* add. *p* | ὃ] Dobree, ἃ libri 272 γυναικὸς οὐδεὶς Cobet | ἐξεύρηκε libri 273 τοιοῦτον *P* | ἀνθρώποισι *L*, ἀνθρώποισιν *l*, ἄνοι *P* ʹσ super οι add. *p* | versum delevit Cobet 274 ἢ *A* | ἆρ' *BEL* ἄρ' *l* 275 sq. ἐς Ἰδαίαν ἦλθεν *ἄπαν *P* | εἰς *AL* | ἦλθεν] scripsi, ἦλθεν ὁ libri (ἦλθ' ὁ *l*) 276 τέκος *A*, γόνος *P* 278 καλλίζυγες *AP*, καλίζυγες *B* 279 ἔριδι *A* | εὐμορφίας] ἀγλαΐας Headlam

σταθμοὺς ἐπὶ βούτα
βοτῆρά τ' ἀμφὶ μονότροπον νεανίαν
ἔρημόν θ' ἑστιοῦχον αὐλάν.

ταὶ δ' ἐπεὶ ὑλόκομον νάπος ἤλυθον, antistr.
οὐρειᾶν πιδάκων
νίψαντ' αἰγλᾶντα σώματα ῥοαῖς·
ἔβαν δὲ Πριαμίδαν, ὑπερ-
βολαῖς λόγων δ' εὐφρόνων
παραβαλλόμεναι Κύπρις εἷλε λόγοις δολίοις,
τερπνοῖς μὲν ἀκοῦσαι,
πικρὰν δὲ σύγχυσιν βίου Φρυγῶν πόλει
ταλαίνᾳ περγάμοις τε Τροίας.

ἀλλ' εἴθ' ὑπὲρ κεφαλὰν ἔβαλεν κακὸν stroph.
ἁ τεκοῦσά νιν [Πάριν]
πρὶν Ἰδαῖον κατοικίσαι λέπας,
ὅτε νιν παρὰ θεσπεσίῳ δάφνᾳ
βόασε Κασάνδρα κτανεῖν,
μεγάλαν Πριάμου πόλεως λώβαν.
τίν' οὐκ ἐπῆλθε, ποῖον οὐκ ἐλίσσετο
δαμογερόντων βρέφος φονεύειν;

---

280 ἐπιβούτα *L*, ἐπιβοῦτα *B*, fort. ἐπὶ βούτας 281 βοτῆρ' *EL* βοτῆρα τ' *l* 283 ταίδ' *BP* sed αι ex α corr. *p*, ταίδε δ' *L* ται rescr. *l*, fort. αἳ δ' | ὑλοκόμον libri | ἦλθον *P* 285 οὐρείαν *BP* et ων minio superscr. *E*, οὐρείων *L* οὐρείαν *l* 286 νίψαντ'] νίψαντο *LP*, ἔνιψάν, τ' *A*, ἐνίψαν**τ' *B*, ἔνιψαν τ' *E*, νίψαν (et 276 ἦλθ' ὁ) Hermann | αἰγλᾶντα] Musgrave, αἰγλάεντα libri (ἀγλάεντα *A*) | τε post αἰγλάεντα add. *P* 287 sq. ἔβαν τε *P* | πριαμιδᾶν *Al* | ὕπερ βολαῖς *AEL* | λόγων δ'] δ' ἐπῶν Heimsoeth | δ' εὐφρόνων] Hermann, δυσφρόνων libri, nisi quod *P* δυσφόρων (schol. τινὲς γράφουσιν δυσφόρων) 289 κύπρις* *L*, κύπρις δ' *b* | εἶλε *A* | λογ**ς mut. in λόγοις *P* | δολίοις] αἱμύλοις (vel αἰόλοις) Musgrave, ποικίλοις Lenting 291 βίου σύγχυσιν *E* 292 τάλαινα *P*, τάλαιναν *A* | περγάμοις τε τροίας ταλαίνᾳ *E* 293 ἀλλ' εἴθ'] ἀλλ' εἴθε *P*, ****θ' *L* εἴθε δ' *l* | κεφαλᾶν *B* et mut. in κεφαλὰν *A* κεφαλὰν *b*, κεφαλᾶς *P* | ἔβαλε *BE* | fort. ἔβαλ' ὄστρακον, cfr. schol. Aesch. Cho. 97 294 Πάριν glossema esse monuit Hartung, μόρον Hermann coll. schol. εἴθε ὑπὲρ κεφαλῆς Πάριδος ἔβαλεν θάνατον ἡ τεκοῦσα τὸν Πάριν 295 κατοικίσαι A^2*Bl*, κατοικῆσαι *AbELP* 296 παρὰ] περὶ *P* | θεσπίωι *A* 297 βόασσε *A*, βόησε *P* | κασσάνδρα *L* | *ανεῖν *B* κτανεῖν *b* 298 λόβαν *A*

οὔ τἂν ἐπ' Ἰλιάσι ζυγὸν ἤλυθε antistr.
δούλιον σύ τ' οὐ, γύναι,
τυράννων ἔσχες ἂν δόμων ἕδρας·
παρέλυσε δ' ἂν Ἑλλάδος ἀλγεινοὺς
μόχθους, οὓς ἀμφὶ Τροίαν
δεκέτεις ἀλάληντο νέοι λόγχαις·
λέχη τ' ἔρημ' ἂν οὔποτ' ἐξελείπετο,
καὶ τεκέων ὀρφανοὶ γέροντες.

ΜΕΝΕΛΑΟΣ.

ἥκω λαβὼν σὸν παῖδ', ὃν εἰς ἄλλους δόμους
λάθρᾳ θυγατρὸς τῆς ἐμῆς ὑπεξέθου.
σὲ μὲν γὰρ ηὔχεις θεᾶς βρέτας σώσειν τόδε,
τοῦτον δὲ τοὺς κρύψαντας· ἀλλ' ἐφηυρέθης
ἧσσον φρονοῦσα τοῦδε Μενέλεω, γύναι.
κεἰ μὴ τόδ' ἐκλιποῦσ' ἐρημώσεις πέδον,
ὅδ' ἀντὶ τοῦ σοῦ σώματος σφαγήσεται.
ταῦτ' οὖν λογίζου, πότερα κατθανεῖν θέλεις
ἢ τόνδ' ὀλέσθαι σῆς ἁμαρτίας ὕπερ,
ἣν εἴς ἔμ' ἔς τε παῖδ' ἐμὴν ἁμαρτάνεις.
AN. ὦ δόξα δόξα, μυρίοισι δὴ βροτῶν
οὐδὲν γεγῶσι βίοτον ὤγκωσας μέγαν.
εὔκλεια δ' οἷς μὲν ἔστ' ἀληθείας ὕπο,
εὐδαιμονίζω· τοὺς δ' ὑπὸ ψευδῶν ἔχειν
οὐκ ἀξιώσω πλὴν τύχῃ φρονεῖν δοκεῖν.

---

301 οὔ τἂν] Kirchhoff, οὔτ' ἂν libri (in ras. *l*) | ἰλιάσιν *A* | ζυγὸς *lP* | ἤλυθεν *P*, ἦλθε *BE* 302 δούλιον *B*, δούλειον *AELb*, δούλειος *P*, δούλειός γ' *l* | σύ τ' οὐ] Hartung, οὔτ' ἂν σύ libri 303 τύραννον *P*, τυράννων τάσδ' *L* | δόμον *AB* δόμων A^2b, δόμους (ς in ras.) *E* | ἕδραν *BL* (ν rescr. vel ex σ corr. *l*) *P* | fort. λυγρὰν τῶνδ' ἔσχες ἂν δόμων ἕδραν 304 παρέλυσεν *L* 305 μόχθους] πόνους *Pl* | πόνους ὅτ' ἀμφὶ Τρωίᾳ Hermann (Τρωΐαν Dindorf) 306 δεκέτεις *LE* (in *E* ras. sup. ει), δέκ' ἐτ' (ἔτ' *P*) εἰς *AP*, δεκέτ' εἰς *B* δέκ' ἔτη εἰς *b* | ὀλόληντο *B* ὠλώλυντο *b*, ἀλάληντο recentior manus | νέοι] fort. ἄκμονες, cfr. Aesch. Pers. 52 307 οὔποτ'] οὐπώποτ' *BE*, οὐκ ἂν *P* | ἐξελίπετο *BE* 311 σὺ *P* | σώσειν] Dobree, σῶσαι libri 312 τοὺς] καὶ *P* | κρύψαν *A*, κρύψαντες *P* corr. *p* | ἐφευρέθης libri 313 ἥσσων *A* 314 καὶ εἰ *AB* | ἐκλιποὺσ *A* 316 πότερον *L* 318 ἣν *A* 319 ἑρ^μν praescripsit *P* 320 βίωτον *A* | μέγα *BE* corr. *b* 321 ἔστ' *L*, ἐστιν *r* | ὕπο] ἄπο Valckenaer 322 τούσδ' *BP* 323 δοκεῖν φρονεῖν *L* β α superscr. *l* | πλὴν ὅσον δοκεῖν μόνον Nauck, fort. πλὴν ὅσον τύχῃ δοκεῖν

σὺ δὴ στρατηγῶν λογάσιν Ἑλλήνων ποτὲ
Τροίαν ἀφείλου Πρίαμον, ὧδε φαῦλος ὤν;
ὅστις θυγατρὸς ἀντίπαιδος ἐκ λόγων
τοσόνδ' ἔπνευσας καὶ γυναικὶ δυστυχεῖ
δούλῃ κατέστης εἰς ἀγῶν'· οὐκ ἀξιῶ
οὔτ' οὖν σὲ Τροίας οὔτε σοῦ Τροίαν ἔτι.
[ἔξωθέν εἰσιν οἱ δοκοῦντες εὖ φρονεῖν
λαμπροί, τὰ δ' ἔνδον πᾶσιν ἀνθρώποις ἴσοι,
πλὴν εἴ τι πλούτῳ· τοῦτο δ' ἰσχύει μέγα].
Μενέλαε, φέρε δὴ διαπεράνωμεν λόγους·
τέθνηκα δὴ σῇ θυγατρὶ καί μ' ἀπώλεσεν·
μιαιφόνον μὲν οὐκέτ' ἂν φύγοι μύσος.
ἐν τοῖς δὲ πολλοῖς καὶ σὺ τόνδ' ἀγωνιῇ
φόνον· τὸ συνδρῶν γάρ σ' ἀναγκάσει χρέος.
ἢν δ' οὖν ἐγὼ τὸ μὴ θανεῖν ὑπεκδράμω,
τὸν παῖδά μου κτενεῖτε; κᾆτα πῶς πατὴρ
τέκνου θανόντος ῥᾳδίως ἀνέξεται;
οὐχ ὧδ' ἄνανδρον αὐτὸν ἡ Τροία καλεῖ·
ἀλλ' εἶσιν οἷ χρή· Πηλέως γὰρ ἄξια
πατρός τ' Ἀχιλλέως ἔργα δρῶν φανήσεται.
ὤσει δὲ σὴν παῖδ' ἐκ δόμων· σὺ δ' ἐκδιδοὺς
ἄλλῳ τί λέξεις; πότερον ὡς κακὸν πόσιν
φεύγει τὸ ταύτης σῶφρον; ἀλλ' ἐψεύσεται.
γαμεῖ δὲ τίς νιν; ἤ σφ' ἄνανδρον ἐν δόμοις
χήραν καθέξεις πολιόν; ὦ τλήμων ἄνερ,
κακῶν τοσούτων οὐχ ὁρᾷς ἐπιρροάς;

---

324 Ἑλλήνων] ἀργείων *B* 325 πρίαμον θ' *B* 326 ἀντίπαιδος *Lb*, ἀντὶ παιδὸς *Br* 327 τὸ σόνδ' *BLP* 328 ἀγῶν' οὐκ ἄξιον scripsit cum Nauckio Schenkl deleto v. proximo, cfr. 367 329 οὔτοῦν *A* 330—32 quos Menandro tribuit Stob. fl. 104, 14 delevit Dobree (332 iam Brunck) 330 εὖ φρονεῖν] εὐτυχεῖν Stobaeus 333 Μενέλαε interpolatum iudicat Kirchhoff, totum versum eicit Wilamowitz εἶεν eius loco ponens 334 δὴ] Reiske, τῇ libri | ἀπώλεσε *BL* (ἀπώλεσεν *l*) 335 μῖσος *B* corr. *b*, μίσος *P* 336 τοῖσδε *ABP* 338 τὸ] scripsi, μὲν libri 339 κτανεῖτε *E* 341 ὧδ'] ὧι *A* ὧιδ A^2 | κάλει *BE* (in *E* super ει ras.) 342 οἱ *A*, οἷ *BE* οἷ *b*, οἷ* *P* | ἀξιά *A* 343 ἀχιλλέος *A*, ἀχιλέως *BP* corr. *bp* 344 ὦσ εἰ *A* corr. A^2 | σοὶ δ' ἐκδίδουσ *A* 346 ἀλλ' ἐψεύσεται] Porson, ἀλλὰ ψεύσεται libri 347 τί *A* ς superscr. A^2 | ἡ *A* ἥ A^2 348 τλῆμον *ABE* | ἀνήρ Dindorf

πόσας ἂν εὐνὰς θυγατέρ᾿ ἠδικημένην
βούλοι᾿ ἂν εὑρεῖν ἢ παθεῖν ἁγὼ λέγω;
οὐ χρὴ ᾿πὶ μικροῖς μεγάλα πορσύνειν κακὰ
οὐδ᾿, εἰ γυναῖκές ἐσμεν ἀτηρὸν κακόν,
ἄνδρας γυναιξὶν ἐξομοιοῦσθαι φύσιν.
ἡμεῖς γὰρ εἰ σὴν παῖδα φαρμακεύομεν
καὶ νηδὺν ἐξαμβλοῦμεν, ὡς αὐτὴ λέγει,
ἑκόντες οὐκ ἄκοντες οὐδὲ βώμιοι
πίτνοντες αὐτοὶ τὴν δίκην ὑφέξομεν
ἐν σοῖσι γάμβροις, οἷσιν οὐκ ἐλάσσονα
βλάβην ὀφείλω προστιθεῖσ᾿ ἀπαιδίαν.
ἡμεῖς μὲν οὖν τοιοίδε· τῆς δὲ σῆς φρενὸς
ἕν σου δέδοικα· διὰ γυναικείαν ἔριν
καὶ τὴν τάλαιναν ὤλεσας Φρυγῶν πόλιν.
ΧΟ. ἄγαν ἔλεξας ὡς γυνὴ πρὸς ἄρσενας,
καί σου τὸ σῶφρον ἐξετόξευσεν φρενός.
ΜΕ. γύναι, τάδ᾿ ἐστὶ σμικρὰ καὶ μοναρχίας
οὐκ ἄξι᾿, ὡς φής, τῆς ἐμῆς οὐδ᾿ Ἑλλάδος.
εὖ δ᾿ ἴσθ᾿, ὅτου τις τυγχάνει χρείαν ἔχων,
τοῦτ᾿ ἔσθ᾿ ἑκάστῳ μεῖζον ἢ Τροίαν ἑλεῖν.
κἀγὼ θυγατρί· μεγάλα γὰρ κρίνω τάδε,
λέχους στέρεσθαι· σύμμαχος καθίσταμαι.
τὰ μὲν γὰρ ἄλλα δεύτερ᾿ ἂν πάσχῃ γυνή,
ἀνδρὸς δ᾿ ἁμαρτάνουσ᾿ ἁμαρτάνει βίου.
δούλων δ᾿ ἐκεῖνον τῶν ἐμῶν ἄρχειν χρεὼν
καὶ τῶν ἐκείνου τοὺς ἐμοὺς ἡμᾶς τε πρός·
φίλων γὰρ οὐδὲν ἴδιον οἵτινες φίλοι

---

350 πόσας δ᾿ *LP* 351 βούλοιο *E*, βούλει *B*, βούλοιμ᾿ *A*, fort. ἕλοι᾿ | ἀνευρεῖν *BL* ἂν εὑρεῖν *b* | ἃ superscr. γῶ *A*, ἄγὼ *B*, ἅ᾿γώ *LP* 352 χρὴ πι *A* | χρὴ πικροῖς *E* 353 οὐ δεῖ *B* corr. *b* 355 εἰ] εἰς *B* 356 νηδοῖν *A*, νηδ*** *P* νηδὺν *p* | αὕτη *E* 358 πίτνοντες] Elmsley, πιτνόντες *AB*, πιτνῶντες *E*, πιτνοῦντες *LP* 359 ἐν] τοῖς Nauck 360 προστιθεὶς *A*, προτιθεῖσ᾿ *B* | ἀπαιδίαν] ἀβουλίαν *AB*, γρ. προστιθεῖσ᾿ ἀπαιδίαν superscr. *B* 361 τοιοῖδε *AB* τοιοίδε *b* 362 fort. ἀβουλίαν (ex v. 360) δέδοικα· διὰ γυναῖκα γὰρ | γυναικ*αν *P* γυναικείαν *p* 363 ωλέσας *A* | πόλιν φρυγῶν *E* 365 ἐξετόξευσε *ABELP*, ἐξετοξεύθη recentior liber, cfr. Hesych. ἐξετόξευσεν· ἐξέπεσεν 367 φῆις *A* 369 τροῖαν *A* 372 ἂν] Musgrave, ἂν libri | πάσχῃ (οι superscr.) *P*

ὀρθῶς πεφύκασ᾽, ἀλλὰ κοινὰ χρήματα.
μένων δὲ τοὺς ἀπόντας εἰ μὴ θήσομαι
τἄμ᾽ ὡς ἄριστα, φαῦλός εἰμι κοὐ σοφός.
ἀλλ᾽ ἐξανίστω τῶνδ᾽ ἀνακτόρων θεᾶς·
ὡς, ἢν θάνῃς σύ, παῖς ὅδ᾽ ἐκφεύγει μόρον,
σοῦ δ᾽ οὐ θελούσης κατθανεῖν, τόνδε κτενῶ.
δυοῖν δ᾽ ἀνάγκη θατέρῳ λιπεῖν βίον.
ΑΝ. *οἴμοι, πικρὰν κλήρωσιν αἵρεσίν τέ μοι*
βίου καθίστης καὶ λαχοῦσά τ᾽ ἀθλία
καὶ μὴ λαχοῦσα δυστυχὴς καθίσταμαι.
ὦ μεγάλα πράσσων αἰτίας μικρᾶς πέρι,
πιθοῦ· τί καίνεις μ᾽; ἀντὶ τοῦ; ποίαν πόλιν
προύδωκα; τίνα σῶν ἔκτανον παίδων ἐγώ;
ποῖον δ᾽ ἔπρησα δῶμ᾽; ἐκοιμήθην βίᾳ
σὺν δεσπόταισι· κᾆτ᾽ ἔμ᾽, οὐ κεῖνον κτενεῖς,
τὸν αἴτιον τῶνδ᾽, ἀλλὰ τὴν ἀρχὴν ἀφεὶς
πρὸς τὴν τελευτὴν ὑστέραν οὖσαν φέρῃ;
οἴμοι κακῶν τῶνδ᾽, ὦ τάλαιν᾽ ἐμὴ πατρίς,
ὡς δεινὰ πάσχω. τί δέ με καὶ τεκεῖν ἐχρῆν
ἄχθος τ᾽ ἐπ᾽ ἄχθει τῷδε προσθέσθαι διπλοῦν;
ἀτὰρ τί ταῦτα δύρομαι, τὰ δ᾽ ἐν ποσὶν
οὐκ ἐξικμάζω καὶ λογίζομαι κακά;
ἥτις σφαγὰς μὲν Ἕκτορος τροχηλάτους
κατεῖδον οἰκτρῶς τ᾽ Ἴλιον πυρούμενον,
αὐτὴ δὲ δούλη ναῦς ἐπ᾽ Ἀργείων ἔβην
κόμης ἐπισπασθεῖσ᾽· ἐπεὶ δ᾽ ἀφικόμην
Φθίαν, φονεῦσιν Ἕκτορος νυμφεύομαι.

---

380 *ἐξανιστῶ Ab* 382 *κτανῶ P* 383 *ἀνάγκη Lp*, *ἀνάγκ∗ιν P*, *ἀνάγκαιν ἢ ABE* (i. e. *ἀνάγκαιν* corr. in *ἀνάγκη*), *ἀναγκαῖον ἦ* A^2, *ἀνάγκαιν ἦ b* 384 *ἑρμν.* praescripsit *P* | *αἵρεσίν γέ μοι A* 385 *καὶ*] *εἰ* Kirchhoff | *τ᾽*] Hermann, *γ᾽* libri (*λαχοῦσ᾽ ἀγ᾽ P*) 386 *καθίσταμαι*] fort. *φανήσομαι* 387 *πέρι*] fort. *ἔπι* 388 *πίθου B* corr. *b* 389 *σῶν παίδων ἔκτανον ἐγώ E* 395 *ἐχρήν AB* *ἐχρῆν b* 397 sq. et 404 sq. permutat Musgrave, fort. v. 397 sq., quos olim damnabat Hartung, eiciendi et eorum loco v. 404 sq. ponendi sunt 397 *ταῦτα δύρομαι*] Porson, *ταῦτ᾽ ὀδύρομαι* libri 399 *τροχηλάτου A* 400 sq. inter 402 et 403 ponit *P* ante 402 *γ′* 400 *α′* 401 *β′* 403 *δ′* scr. *p* 401 *αὐτῇ A* | *ἐπαργείων A* 402 *ἀποσπασθεῖσ᾽ LP* | *ἀμφικόμην A* 403 *φονεῦσι ∗∗ κτορος P* *φονεῦσιν ἕκτορος p* (*φονεῦσι θ᾽ ἕκτορος* Aldina)

τί δῆτ' ἐμοὶ ζῆν ἡδύ; πρὸς τί χρὴ βλέπειν;
πρὸς τὰς παρούσας ἢ παρελθούσας τύχας;
εἷς παῖς ὅδ' ἦν μοι λοιπὸς ὀφθαλμὸς βίου·
τοῦτον κτενεῖν μέλλουσιν οἷς δοκεῖ τάδε.
οὐ δῆτα τοὐμοῦ γ' εἵνεκ' ἀθλίου βίου·
ἐν τῷδε μὲν γὰρ ἐλπίς, εἰ σωθήσεται,
ἐμοὶ δ' ὄνειδος μὴ θανεῖν ὑπὲρ τέκνου.
ἰδοὺ προλείπω βωμὸν ἥδε χειρία
σφάζειν φονεύειν, δεῖν, ἀπαρτῆσαι δέρην.
ὦ τέκνον, ἡ τεκοῦσά σ', ὡς σὺ μὴ θάνῃς,
στείχω πρὸς Ἅιδην· ἢν δ' ὑπεκδράμῃς μόρον,
μέμνησο μητρός, οἷα τλᾶσ' ἀπωλόμην,
καὶ πατρὶ τῷ σῷ διὰ φιλημάτων ἰὼν
δάκρυά τε λείβων καὶ περιπτύσσων χέρας
λέγ' οἷ' ἔπραξα. πᾶσι δ' ἀνθρώποις ἄρ' ἦν
ψυχὴ τέκν'· ὅστις δ' αὔτ' ἄπειρος ὢν ψέγει,
ἧσσον μὲν ἀλγεῖ, δυστυχῶν δ' εὐδαιμονεῖ.

ΧΟ. ᾤκτειρ' ἀκούσασ'· οἰκτρὰ γὰρ τὰ δυστυχῆ
βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῇ.
ἐς ξύμβασιν δὲ χρή σε παῖδα σὴν ἄγειν,
Μενέλαε, καὶ τήνδ', ὡς ἀπαλλαχθῇ πόνων.

ΜΕ. λάβεσθέ μοι τῆσδ', ἀμφελίξαντες χέρας,
δμῶες· λόγους γὰρ οὐ φίλους ἀκούσεται.
ἔγωγ', ἵν' ἁγνὸν βωμὸν ἐκλίποις θεᾶς,
προύτεινα παιδὸς θάνατον, ᾧ σ' ὑπήγαγον
ἐς χεῖρας ἐλθεῖν τὰς ἐμὰς ἐπὶ σφαγήν.

---

405 *τύχας*] *λύπας B γρ. τύχας* superscr. *b* 406 *λοιπὸν L* 407 *κτενεῖν P*, *κτανεῖν r* 408 *εἵνεκ' P*, *οὕνεκ' A*, *οὕνεκ' B*, *οὕνεκ' rb* 409 *μὲν* om. *P* superscr. *p* (super *γὰρ ἐλπίς* ras., fort. *μὲν* primum post *γὰρ* supra versum additum erat) 412 *ἀπαρτίσαι B* 413 *τεκοῦσα θ' P* 414 *μόνος L* 415 *ἀπωλόμαν P*, *ἀπωλλόμην B* 417 *περιπτύσων P* 419 *αὖτ'* libri | *ὢν* om. *P* add. *p* | *λέγει L* et Stob. fl. 76, 3, *στυγεῖ* Naber 420 *δ'*] *τ' P* 421 *ἀκούσασ ABP* 422 *κύρηι A*, *κύρῇ E*, fort. *κυρῇς* 423 *δὲ χρή σε P*, *δὲ χρήν σε AB*, *δ' ἐχρ***** mut. in *δ' ἐχρῆν L* | *παῖδα σὴν ἄγειν*] Kirchhoff, *σὴν παῖδ' ἄγειν ABL*, *σήν γε παῖδ' ἄγειν E*, *καὶ σὴν παῖδ' ἄγειν P*, *σὴν παῖδ' ἐξάγειν a*, *σήν τε παῖδ' ἄγειν* Elmsley 425 *τῆσδ'*] *τίσδ' A* | *χείρας A*, *δέμας a* 427 *ἔγωγ'*] Lobeck, *ἐγώ σ'* libri veteres, *ἐγὼ δ'* Hermann | *ἐκλίποις*] Brunck, *ἐκλίπης LP*, *ἐλίπης B*, *ἐκλίπη E*, *ἐκλείπηι A* 428 *προύτινα A* | *θάνατον*] fort. *βίοτον*, cfr. Herc. 1351 429 *χῆρας A* | *σφαγάν BE*

καὶ τἀμφὶ σοῦ μὲν ὧδ᾽ ἔχοντ᾽ ἐπίστασο·
τὰ δ᾽ ἀμφὶ παιδὸς τοῦδε παῖς ἐμὴ κρινεῖ,
ἤν τε κτανεῖν νιν ἤν τε μὴ κτανεῖν θέλῃ.
ἀλλ᾽ ἕρπ᾽ ἐς οἴκους τούσδ᾽, ἵν᾽ εἰς ἐλευθέρους
δούλη γεγῶσα μήποτ᾽ ὑβρίζειν μάθῃς.
AN. οἴμοι· δόλῳ μ᾽ ὑπῆλθες, ἠπατήμεθα.
ME. κήρυσσ᾽ ἅπασιν· οὐ γὰρ ἐξαρνούμεθα.
AN. ἦ ταῦτ᾽ ἐν ὑμῖν τοῖς παρ᾽ Εὐρώτᾳ σοφά;
ME. καὶ τοῖς γε Τροίᾳ, τοὺς παθόντας ἀντιδρᾶν.
AN. τὰ θεῖα δ᾽ οὐ θεῖ᾽ οὐδ᾽ ἔχειν ἡγῇ δίκην;
ME. ὅταν τάδ᾽ ᾖ, τότ᾽ οἴσομεν· σὲ δὲ κτενῶ.
AN. ἦ καὶ νεοσσὸν τόνδ᾽, ὑπὸ πτερῶν σπάσας;
ME. οὐ δῆτα· θυγατρὶ δ᾽, ἢν θέλῃ, δώσω κτανεῖν.
AN. οἴμοι· τί δῆτά σ᾽ οὐ καταστένω, τέκνον;
ME. οὔκουν θρασεῖά γ᾽ αὐτὸν ἐλπὶς ἀμμένει.
AN. ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν
Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια,
ψευδῶν ἄνακτες, μηχανορράφοι κακῶν,
ἑλικτὰ κοὐδὲν ὑγιές, ἀλλὰ πᾶν πέριξ
φρονοῦντες, ἀδίκως εὐτυχεῖτ᾽ ἀν᾽ Ἑλλάδα.
τί δ᾽ οὐκ ἐν ὑμῖν ἐστιν; οὐ πλεῖστοι φόνοι;
οὐκ αἰσχροκερδεῖς, οὐ λέγοντες ἄλλα μὲν
γλώσσῃ, φρονοῦντες δ᾽ ἄλλ᾽ ἐφευρίσκεσθ᾽ ἀεί;
ὄλοισθ᾽. ἐμοὶ δὲ θάνατος οὐχ οὕτω βαρὺς
ὡς σοὶ δέδοκται· κεῖνα γάρ μ᾽ ἀπώλεσεν,
ὅθ᾽ ἡ τάλαινα πόλις ἀνηλώθη Φρυγῶν
πόσις θ᾽ ὁ κλεινός, ὅς σε πολλάκις δορὶ

430 *ἔχον P* τ᾽ add. *p* 431 *κρίνει b* 432 *κτανεῖ E* | *νιν* om. *A* | *κτανεῖν L*, *κτείνειν AB* (*ανειν* superscr. *b*) *E*, *κτεῖναι P* 433 *εἰς AL* (*ἐς l*) 434 *μήπωθ᾽ A*, *μηκέθ᾽* Paley 437—45 personarum notas om. *B* eas 437 et 441—45 add. *b* 438 *κἀν* Kirchhoff | *γε l*, *τε L*, *γ᾽ ἐν P*, *τ᾽ ἐν B* et factum ex *∗ν E*, *ἐν A* 439 *ἔχειν*] fort. *ὁρᾶν σ᾽* 440 *τάδ᾽ ἦ τότ᾽ LP* (factum in *L* ex *τάδ᾽ ἦ τό∗*), *τόδ᾽ ἦ* (*ἣ A*) *τάδ᾽ r*, *ποτ᾽ ᾖ τάδ᾽* Nauck, *μόλῃ* (vel *παρῇ*) *τάδ᾽* Kirchhoff, fort. *μ᾽ ἴδῃ, τόδ᾽* 441 *ἦ ELb*, *ἢ Br* 443 *σ᾽ οὐ BL*, *σου AP*, *σοῦ E*, *γρ. σοῦ* superscr. *b* 444 *οὐκ οὖν A*, *οὐκοῦν B* ʹ sup. *ου* add. *b* | *ἀμμένει*] Nauck, *ἀναμένει* libri 445 *ἔχθιστος A* 446 *βουλεύματα P* 448 *πάντα LP* 450 *οὐ BELp*, *οἱ AP*, *γρ. οἱ* superscr. *b* 453 *δὲ θάνατος*] *μὲν θάνατος A*, *δὲ θάνατος μὲν BE* 455 *ἀναλώθη* libri (*ἀναλωθῇ A*) 456—60 in ras. duorum versuum scr. *L* 456 *θ᾽*] *δ᾽ B* | *δορί L* *ί* rescr. vel ex *ει* corr. *l*

ναύτην ἔθηκεν ἀντὶ χερσαίου κακόν.
νῦν δ' ἐς γυναῖκα γοργὸς ὁπλίτης φανεὶς
κτενεῖς μ'; ἀπόκτειν'· ὡς ἀθώπευτόν γέ σε
γλώσσης ἀφήσω τῆς ἐμῆς καὶ παῖδα σήν.
ἐπεὶ σὺ μὲν πέφυκας ἐν Σπάρτῃ μέγας,
ἡμεῖς δὲ Τροίᾳ γ'. εἰ δ' ἐγὼ πράσσω κακῶς,
μηδὲν τόδ' αὔχει· καὶ σὺ γὰρ πράξειας ἄν.

ΧΟ. *οὐδέποτε δίδυμα* stroph.
λέκτρ' ἐπαινέσω βροτῶν
οὐδ' ἀμφιμάτορας κόρους,
ἔριδας οἴκων δυσμενεῖς τε λύπας.
μίαν μοι στεργέτω πόσις γάμοις
ἀκοινώνητον ἀνδρὸς εὐνάν.

οὐδὲ γὰρ ἐν πόλεσι antistr.
δίπτυχοι τυραννίδες
μιᾶς ἀμείνονες φέρειν,
ἄχθος τ' ἐπ' ἄχθει καὶ στάσις πολίταις·
τεκτόνοιν θ' ὕμνοιν ἐργάταιν δυοῖν
ἔριν Μοῦσαι φιλοῦσι κραίνειν.

πνοαὶ δ' ὅταν φέρωσι ναυτίλους θοαί, stroph.
κατὰ πηδαλίων διδύμα πραπίδων γνώμα
σοφῶν τε πλῆθος ἀθρόον ἀσθενέστερον
φαυλοτέρας φρενὸς αὐτοκρατοῦς
ἑνός, ᾇ δύνασις ἀνά τε μέλαθρα κατά τε πόλιας,
ὁπόταν εὑρεῖν θέλωσι καιρόν.

---

457 *τ'* post *ναύτην* inseruit *b* 459 *κτενεῖς*] Porson, *κτείνεις* libri | *ἀπόκτεινον L* | *σε*] *σσε A* 462 *δὲ BEPl*, *δ' ἐν AL* | *τοῖα A* | *πάσχω κακῶς P* 464 *οὐδέποτ' ἂν l* 466 *ἀμφιμάτορας PL*, *ἀμφὶ μάτορας E*, *ἀμφιματέρας A*, *ἀμφὶ ματέρας B* ` del. vel in ´ mut. *b* qui *γρ. μάτρας* superscr. 467 *ἔριδ' P* | *ἔριδας οἴκων*] fort. *νείκη κατ' οἶκον* (vel *οἴκους*) 469 *γάμοις*] fort. *μίαν* 470 *εὐνὰν ἀνδρὸς P* 471 *οὐδέ γ' ἐνὶ* Lenting | *πόλεσσι E*, *πόλαισι B* 472 *τυρανίδες A* 474 *ἄμεινον ἐσφέρειν E* 475 *τ'* om. *BEL* add. *b* | *ἐπάχθει A* 476 *τεκτόνων L* | *ὕμνοι ἐργάταιν L* *ὕμνοιν ἐργάται l*, *ὕμνοι** (ς erasum, non ν) *ἐργάται P* | fort. *ἑνός θ' ὕμνοιο τεκτόνοιν δυοῖν* 478 *πνοαὶ B*, *πνοιαὶ r* | *φέρωσιν l* 480 *δίδυμα . . γνώμα L*, *δίδυμαι . . γνῶμαι Ab* 481 *σοφόν P* 484 *ᾇ*] Hermann, *ᾁ* libri (*ὃ P*)

ἔδειξεν ἡ Λάκαινα τοῦ στρατηλάτα antistr.
Μενέλα· διὰ γὰρ πυρὸς ἦλθ' ἑτέρῳ λέχει,
κτενεῖ δὲ τὴν τάλαιναν Ἰλιάδα κόραν
παῖδά τε δύσφρονος ἔριδος ὕπερ.
ἄθεος ἄνομος ἄχαρις ὁ φόνος· ἔτι σε, πότνια,
μετατροπὰ τῶνδ' ἔπεισιν ἔργων.

καὶ μὴν ἐσορῶ
τόδε σύγκρατον ζεῦγος πρὸ δόμων
ψήφῳ θανάτου κατακεκριμένον.
δύστηνε γύναι, τλῆμον δὲ σὺ παῖ,
μητρὸς λεχέων ὃς ὑπερθνῄσκεις
οὐδὲν μετέχων
οὐδ' αἴτιος ὢν βασιλεῦσιν.

ΑΝΔΡΟΜΑΧΗ.

ἅδ' ἐγὼ χέρας αἱματη- stroph.
ρὰς βρόχοισι κεκλημένα
πέμπομαι κατὰ γαίας.

ΜΟΛΟΤΤΟΣ.

μᾶτερ μᾶτερ, ἐγὼ δὲ σᾷ
πτέρυγι συγκαταβαίνω.
ΑΝ. *θῦμα δάιον, ὦ χθονὸς*
Φθίας κράντορες. *ΜΟ.* *ὦ πάτερ,*
μόλε φίλοις ἐπίκουρος.
ΑΝ. *κείσῃ δή, τέκνον ὦ φίλος,*

---

486 *χορ.* praef. *A* | *στρατηλάτου LP*, in *E* dubium utrum *στρατηλάτα* ex *στρατηλάτου* correctum sit an versa vice 487 sq. *μενέλαε ELP* | *λέχει*] *λέκτρῳ* Lenting 489 *κτενεῖ*] Nauck, *κτείνει* libri | *Ἰλίαν* Nauck 490 *ἔριδος ὕπερ*] *ἐξ* (vel *ἀμφ'*) *ἔριδος* Hermann 492 *μετατροπαὶ L* | *τῶνδ' ἔπεισιν ἔργων* om. *P* 494 *ἡμιχ.* praef. *AEb* | *σύγκροτον ELP* 495 *προδόμων ALP*, *προδρόμων B* 496 *κατακεκρι*μένον EP*, *μ* super *μ* scr. *b*, *κατακεκριμένον* delet Hermann, quo deleto *ζεῦγος πρὸ δόμων τόδε σύγκρατον ψήφῳ θανάτου* Paley 497 *δυστυνε A*, *δύστανε LP* | *γῦναι Ab* | *τλῆμον AEL*, *τλήμων r* 498 *ὕπερθνήισκεις A*, *ὕπερ θνήσκεις Eb*, *ὑπερθνήσκεις r* 499 post 500 ponit *P* super *οὐδ* scr. *β'*, super *οὐδὲν α' p* 502 *κεκλημένα B*, *κεκλειμένα BLP*, *κεκλιμένα Ab* 503 *γρ. κατὰ γαῖαν* in marg. *a* 506—509 Molosso continuant libri, corr. Hermann 510 *ΑΝ.*] *χο. P* | *κείσῃ δὴ*] Musgrave, *κεῖσ' ἤδη* libri, *γρ. κεῖσο δή a*

μαστοῖς ματέρος ἀμφὶ σᾶς
νεκρὸς ὑπὸ χθονὶ σὺν νεκρῷ.
ΜΟ. ὤμοι μοι, τί πάθω; τάλας
δῆτ' ἐγὼ σύ τε, μᾶτερ.

ΜΕΝΕΛΑΟΣ.

ἴθ' ὑποχθόνιοι· καὶ γὰρ ἀπ' ἐχθρῶν
ἥκετε πύργων· δύο δ' ἐκ δισσαῖν
θνήσκετ' ἀνάγκαιν· σὲ μὲν ἡμετέρα
ψῆφος ἀναιρεῖ, παῖδα δ' ἐμὴ παῖς
τόνδ' Ἑρμιόνη· καὶ γὰρ ἀνοία
μεγάλη λείπειν ἐχθροὺς ἐχθρῶν,
ἐξὸν κτείνειν
καὶ φόβον οἴκων ἀφελέσθαι.

ΑΝ. ὦ πόσις πόσις, εἴθε σὰν — antistr.
χεῖρα καὶ δόρυ σύμμαχον
κτησαίμαν, Πριάμου παῖ.
ΜΟ. δύστανος, τί δ' ἐγὼ μόρου
παράτροπον μέλος εὕρω;
ΑΝ. λίσσου, γούνασι δεσπότου
χρίμπτων, ὦ τέκνον. *ΜΟ.* ὦ φίλος
φίλος, ἄνες θάνατόν μοι.
ΑΝ. λείβομαι δακρύοις κόρας,
στάζω λισσάδος ὡς πέτρας
λιβὰς ἀνήλιος, ἁ τάλαιν'.
ΜΟ. ὤμοι μοι, τί δ' ἐγὼ κακῶν
μῆχος ἐξανύσωμαι;

ΜΕ. τί με προσπίτνεις, ἁλίαν πέτραν

---

512 *νεκροὺσ A*, sed *ὺς* eradi coeptum 513 *ὤιμοι A*, *ὦ μοι B* 514 *μάτερ A*, *μερ P* 519 *ἄνοια* libri 520 *λείπειν* ed. Brubachiana in margine] *λιπεῖν* libri | super *μεγάλη* scr. *β*, super *λιπεῖν α l*, fort. *λείπειν μεγάλη τὸ σπέρμ' ἐχθρῶν* | *ἐχθρῶν* deletum in *L* 522 *οἶκον LP οἴκων l* 526 *τί δ'* om. *P* 527 *μέλος LP*, *τέλος r* 528 *λίσσου AB*, *λίσσουσι E* (in marg. m. 2 *λίσσου σὺ*), *λίσσου δὲ LP* 529 *γόνασι l* 530 *χρίπτων E*, *χρίμπτων* in ras. *l* 531 *φίλος*] Matthiae, *ὦ φίλος* libri 532 *δακρύοισ∗ L*, *δακρύοισι P*, *δάκρυσιν ABE* 533 *στάζων LP στάζω l* 534 *ἀνάλιος* Dindorf | *ταλανα E*, *τάλαινα r* 535 *μο.* om. *ALP* | *ὤιμοι A* | *κακῶν τί δ' ἐγὼ LP* 536 *ἐξανύσομαι ELP*, *οι* super *υ* et *ο* super *ω* scr. *b* 537 *προσπιτνεῖς ABE*, *προσπίπτεις LP* | fort. *ἅλιον*

ἢ κῦμα λιταῖς ὣς ἱκετεύων;
τοῖς γὰρ ἐμοῖσιν γέγον' ὠφελία,
σοὶ δ' οὐδὲν ἔχω φίλτρον, ἐπεί τοι
μέγ' ἀναλώσας ψυχῆς μόριον
Τροίαν εἷλον καὶ μητέρα σήν·
ἧς ἀπολαύων
Ἅιδην χθόνιον καταβήσῃ.

ΧΟ. *καὶ μὴν δέδορκα τόνδε Πηλέα πέλας,*
σπουδῇ τιθέντα δεῦρο γηραιὸν πόδα.

ΠΗΛΕΥΣ.

ὑμᾶς ἐρωτῶ τόν τ' ἐφεστῶτα σφαγῇ,
τί ταῦτα καὶ πῶς; ἐκ τίνος λόγου νοσεῖ
δόμος; τί πράσσετ' ἄκριτα μηχανώμενοι;
Μενέλα', ἐπίσχες· μὴ τάχυν' ἄνευ δίκης.
ἡγοῦ σὺ θᾶσσον· οὐ γὰρ ὡς ἔοικέ μοι
σχολῆς τόδ' ἔργον, ἀλλ' ἀνηβητηρίαν
ῥώμην μ' ἐπαινῶ λαμβάνειν, εἴπερ ποτέ.
πρῶτον μὲν οὖν κατ' οὖρον ὥσπερ ἱστίοις
ἐμπνεύσομαι τῇδ'· εἰπέ, τίνι δίκῃ χέρας
βρόχοισιν ἐκδήσαντες οἵδ' ἄγουσί σε
καὶ παῖδ'; ὕπαρνος γάρ τις ὣς ἀπόλλυσαι,
ἡμῶν ἀπόντων τοῦ τε κυρίου σέθεν.
ΑΝ. *οἵδ', ὦ γεραιέ, σὺν τέκνῳ θανουμένην*
ἄγουσί μ' οὕτως ὡς ὁρᾷς. τί σοι λέγω;
οὐ γὰρ μιᾶς σε κληδόνος προθυμίᾳ
μετῆλθον, ἀλλὰ μυρίων ὑπ' ἀγγέλων.

---

538 *ὅς B ὧς b* 539 *ἐμοῖσιν*] Brunck, *ἐμοῖσι* Aldina, *ἐμοῖς* libri *τοῖς μὲν γὰρ ἐμοῖς* Lenting | *ὠφελία BE*, *ὠφελεία A*, *ὠφέλεια rb* 540 *ἐπεί τοι* om. *L*, add. m. 2 543 *ἀπο**ύων L ἀπολαύων l*, in marg. *l* adnotaverat *γρ. ἀπολαύων* vel *ἀπολλύων* quod postea deletum 548 *καὶ πῶς; ἐκ*] Nauck, *καὶ πῶς τ' ἐκ ABE*, *πῶς ταῦτ' ἐκ LP*, *καὶ πῶς κἀκ a* 549 *πράσσ B ετ* super *σ* scr. *b* 551 *ἔοικε* evanuit in *A*, *γέροντι* refinxit *A*[2] 552 fort. *ἀνηβητήριον* 553 *μ'* om. *LP* | *μ' ἐπαινῶ*] *με καὶ νῦν* A. Platt 554 *οὖν* om. *LP* 556 *βρόχοισιν ἐνδήσαντες* Pierson, *βρόχοισι συνδήσαντες* Hartung 557 *ὡς BLP*, fort. etiam reliqui libri | *ὕπαρνος ὥς τις οἷς* Heimsoeth (*οἷς* Hartung), malim *ὕπαρνος δ' ὥς τις οἷς* | *ἀπόλλυται E* 558 *ἡμῶν*] *ὑμῶν L* 562 *ὑπαγγέλων A*, *ὑπ' ἀγγέλλων P*

ἔριν δὲ τὴν κατ' οἶκον οἶσθά που κλύων
τῆς τοῦδε θυγατρὸς ὧν τ' ἀπόλλυμαι χάριν.
καὶ νῦν με βωμοῦ Θέτιδος, ἣ τὸν εὐγενῆ
ἔτικτέ σοι παῖδ', ἣν σὺ θαυμαστὴν σέβεις,
ἄγουσ' ἀποσπάσαντες, οὔτε τῳ δίκῃ
κρίναντες οὔτε τοὺς ἀπόντας ἐκ δόμων
μείναντες, ἀλλὰ τὴν ἐμὴν ἐρημίαν
γνόντες τέκνου τε τοῦδ', ὃν οὐδὲν αἴτιον
μέλλουσι σὺν ἐμοὶ τῇ ταλαιπώρῳ κτενεῖν.
ἀλλ' ἀντιάζω σ', ὦ γέρον, τῶν σῶν πάρος
πίτνουσα γονάτων, χειρὶ δ' οὐκ ἔξεστί μοι
τῆς σῆς λαβέσθαι φιλτάτης γενειάδος,
ῥῦσαί με πρὸς θεῶν· εἰ δὲ μή, θανούμεθα
αἰσχρῶς μὲν ὑμῖν, δυστυχῶς δ' ἐμοί, γέρον.
ΠΗ. χαλᾶν κελεύω δεσμὰ πρὶν κλαίειν τινά,
καὶ τῆσδε χεῖρας διπτύχους ἀνιέναι.
ΜΕ. ἐγὼ δ' ἀπαυδῶ γ' ἄλλος οὐχ ἥσσων σέθεν
καὶ τῆσδε πολλῷ κυριώτερος γεγώς.
ΠΗ. πῶς; ἦ τὸν ἁμὸν οἶκον οἰκήσεις μολὼν
δεῦρ'; οὐχ ἅλις σοι τῶν κατὰ Σπάρτην κρατεῖν;
ΜΕ. εἷλόν νιν αἰχμάλωτον ἐκ Τροίας ἐγώ.
ΠΗ. οὑμὸς δέ γ' αὐτὴν ἔλαβε παῖς παιδὸς γέρας.
ΜΕ. οὔκουν ἐκείνου τἀμὰ τἀκείνου τ' ἐμά;
ΠΗ. δρᾶν γ' εὖ, κακῶς δ' οὔ, μηδ' ἀποκτείνειν βίᾳ.
ΜΕ. ὡς τήνδ' ἀπάξεις οὔποτ' ἐξ ἐμῆς χερός.
ΠΗ. σκήπτρῳ δὲ τῷδε σὸν καθαιμάξω κάρα.

---

565 ἣ] ἢ *AP* 566 σέβεις] γρ. ἄγεις ἀντὶ τοῦ θαυμαστὴν ἡγῇ schol. 567 ἀγοῦσ et in marg. γρ. ἄγειν *A* | οὔτε τῶι *A*, οὔτε τῶ *L*, fort. οὔτε τοι 568 in marg. scriptum habet *E* | οὔτε] Lenting, οὐδὲ libri 571 κτενεῖν] Aldina, κτανεῖν libri 573 πιτνοῦσα libri 576 Peleo tribuit *P* | δέ μοι *B* corr. *b* 577 κλάειν *LP* 578 χειρὸς *P* 579 ἥσσων] Brunck, ἥττων *ABPl*, ἥ**** *L*, ἧττον *B* ω super ο scr. *b* 581 ἦ *LP*, ἢ *r* | ἁμὸν *L*, ἐμὸν *r*, unde ἦ σὺ τὸν ἐμὸν Lenting | οἶκον om., sed supra v. add. *B* 582 δεῦρο *B* | versum delet Oeri 584 οὑμὸς *Pl*, οὐμὸς *r* 585 οὔκουν *AL*, οὐκοῦν *BE*, οὐκ οὖν *P* | τ'ᾶμα *A*, τὰ μὰ *L* τ'αμὰ *l* 586 δρᾶν γ'] Lenting (ναί eiecit Brunck), ναί, δρᾶν libri (ναί in *A* literis maiusculis scriptum, in *L* m. 2 ναί ante v. scriptum erasit et supra δρᾶν scripsit) 588 δὲ om. *B* add. *b*, γε Lenting et γε . . καθαιμάξας Pflugk

ΜΕ. ψαῦσόν δ', ἵν' εἰδῇς, καὶ πέλας πρόσελθέ μου.
ΠΗ. σὺ γὰρ μετ' ἀνδρῶν, ὦ κάκιστε κἀκ κακῶν;
σοὶ ποῦ μέτεστιν ὡς ἐν ἀνδράσιν λόγου;
ὅστις πρὸς ἀνδρὸς Φρυγὸς ἀπηλλάγης λέχος,
ἄκληστ' ἄδουλα δώμαθ' ἑστίας λιπών,
ὡς δὴ γυναῖκα σώφρον' ἐν δόμοις ἔχων
πασῶν κακίστην. οὐδ' ἂν εἰ βούλοιτό τις
σώφρων γένοιτο Σπαρτιατίδων κόρη,
αἳ ξὺν νέοισιν ἐξερημοῦσαι δόμους
γυμνοῖσι μηροῖς καὶ πέπλοις ἀνειμένοις
δρόμους παλαίστρας τ' οὐκ ἀνασχετῶς ἐμοὶ
κοινὰς ἔχουσι. κᾆτα θαυμάζειν χρεὼν
εἰ μὴ γυναῖκας σώφρονας παιδεύετε;
Ἑλένην ἐρέσθαι χρῆν τάδ', ἥτις ἐκ δόμων
τὸν σὸν λιποῦσα φίλιον ἐξεκώμασε
νεανίου μετ' ἀνδρὸς εἰς ἄλλην χθόνα.
κἄπειτ' ἐκείνης εἵνεχ' Ἑλλήνων ὄχλον
τοσόνδ' ἀθροίσας ἤγαγες πρὸς Ἴλιον·
ἣν χρῆν σ' ἀποπτύσαντα μὴ κινεῖν δόρυ
κακὴν ἐφευρόντ', ἀλλ' ἐᾶν αὐτοῦ μένειν
μισθόν τε δόντα μήποτ' εἰς οἴκους λαβεῖν.
ἀλλ' οὔτι ταύτῃ σὸν φρόνημ' ἐπούρισας,
ψυχὰς δὲ πολλὰς κἀγαθὰς ἀπώλεσας
παίδων τ' ἄπαιδας γραῦς ἔθηκας ἐν δόμοις
πολιούς τ' ἀφείλου πατέρας εὐγενῆ τέκνα.
ὧν εἷς ἐγὼ δύστηνος· αὐθέντην δὲ σὲ

---

589 δ' *L*, θ' *APE²b*, γ' *E*, om. *B* | μοι *L* 590 κἀκ κακῶν] κἀκ**** *L*, κακάκῶν *P* κἀκ κακῶν *lp*, κακῶν *B* 591 σοὶ] σὺ *A* | ἀνδράσι *BLP* ν add. *lp* | versum delet Herwerden, 591—601 damnat F. Gu. Schmidt 592 ἀπηλλάγης] ἐσυλήθης Cobet, ἀπήμπλακες Halbertsma | λέχους *LP* 593 ἄκληστ' *P*, ἄκλῃστ' *AL*, ἄκλειστ' *BE* | δώματ'] ἑδώλι' Heimsoeth 594 σῶφρον *A* 596 σπαρτιάδων *A* 599 παλαίστρα *A* | ἀνασχετῶς] Naber, ἀνασχέτους *A*, ἀνασχετὰς *B* ου sup. ὰ scr. *b*, ἀνασχετοὺς *r* 600 ἔχουσιν *L* | κατα mut. in κ'ατα *A*, κάτα *B* κᾶτ' οὐ *b* 602 ἐρέσθαι *Lb*, ἔρεσθαι *r* | χρὴ *B* corr. *b* | εἴτις *P* corr. *p* | δόμον *A* 603 τὸν] τὸ et γρ. τὸν σὸν λιποῦσα φίλιον *B* τὸν superscr. *b* | φίλον *A*, φίλιον *B* λον super λιον scr. *b* 605 οὕνεχ' libri 606 τόσονδ' *A*, τὸ σόνδ' *B*, τ*οσὸν δ' *L* | ἀθρήσας *E* et ex ἀθροίσας corr. *L* 609 οἶκον *L* 610 οὔτε *P* | ταύτη* *L* 614 δέ σε *BLP*

μιάστορ' ὥς τιν' ἐσδέδορκ' Ἀχιλλέως.
ὃς οὐδὲ τρωθεὶς ἦλθες ἐκ Τροίας μόνος,
κάλλιστα τεύχη δ' ἐν καλοῖσι σάγμασιν
ὅμοι' ἐκεῖσε δεῦρό τ' ἤγαγες πάλιν.
κἀγὼ μὲν ηὔδων τῷ γαμοῦντι μήτε σοὶ
κῆδος ξυνάψαι μήτε δώμασιν λαβεῖν
κακῆς γυναικὸς πῶλον· ἐκφέρουσι γὰρ
μητρῷ' ὀνείδη. τοῦτο καὶ σκοπεῖτέ μοι,
μνηστῆρες, ἐσθλῆς θυγατέρ' ἐκ μητρὸς λαβεῖν.
πρὸς τοῖσδε δ' εἰς ἀδελφὸν οἷ' ἐφύβρισας,
σφάξαι κελεύσας θυγατέρ' εὐηθέστατα;
οὕτως ἔδεισας μὴ οὐ κακὴν δάμαρτ' ἔχοις.
ἑλὼν δὲ Τροίαν· εἶμι γὰρ κἀνταῦθά σοι·
οὐκ ἔκτανες γυναῖκα χειρίαν λαβών,
ἀλλ', ὡς ἐσεῖδες μαστόν, ἐκβαλὼν ξίφος
φίλημ' ἐδέξω, προδότιν αἰκάλλων κύνα,
ἥσσων πεφυκὼς Κύπριδος, ὦ κάκιστε σύ.
κἄπειτ' ἐς οἴκους τῶν ἐμῶν ἐλθὼν τέκνων
πορθεῖς ἀπόντων καὶ γυναῖκα δυστυχῆ
κτείνεις ἀτίμως παῖδά θ', ὃς κλαίοντά σε
καὶ τὴν ἐν οἴκοις σὴν καταστήσει κόρην,
κεἰ τρὶς νόθος πέφυκε. πολλάκις δέ τοι
ξηρὰ βαθεῖαν γῆν ἐνίκησε σπορᾷ,
νόθοι τε πολλοὶ γνησίων ἀμείνονες.
ἀλλ' ἐκκομίζου παῖδα. κέρδιον βροτοῖς

---

615 ὅς *L* ὥς *l* | ἀχιλέως *B* corr. *b* 616 ∗ς *P* ὃς *p* 617 σάγμασι *AB*, σέγμασιν *P* 619—23 delet Wilamowitz 619 ηὔδουν *P*, (ἦδον *a*) 620 ξυνάψαι *B*, συνάψαι *r* | δώμασι *BEL* ν add. *l*, σώμασιν *P* 621 ἐκφαίνουσι Naber, ἐσφέρουσι F. Gu. Schmidt, fort. ἐμφοροῦσι 622 μητρῷϊ' *B* ϊ del. *b* | σκοπεῖταί *A*, σκοπεῖ τὲ[ται] ut vid. *P* in quo ται nunc erasum 623 θυγατέρι *P* θυγατέρ' ἐκ *p* | λαβεῖν] γαμεῖν L. Dindorf 624 τοῖσδ' *P* δε inseruit *p* 626 ἔχοις] Brunck, ἔχης *L*, ἔχεις *r* 627 τροῖαν *Ab* | εἶμι *AP* | κἂν ταῦθα *AB* ` del. *b* 629 μασθόν *B* στ superscr. *b* 630 προδότην *P* corr. *p* 631 κύπριδος om. *P* add. supra versum *p* 636 κεἰ τρὶς *A*, κεἴ τις *r*, γρ. κεἰ τρίς superscr. minio in *E*, superscr. etiam *b* 637 σπορᾶ *B* ` super ˜ scr. *b*, σπορᾶ∗ *P* 638 ἀμύμονες mut. in ἀμείνονες *A*, ἀμείμονες *B* corr. *b* 639 ἐκομίζου *L* corr. *l* | κέρδιον] scripsi, κύδιον *LP* cum Stob. fl. 72, 14, κύδιστον *r*

πένητα χρηστὸν ἢ κακὸν καὶ πλούσιον
γαμβρὸν πεπᾶσθαι καὶ φίλον· σὺ δ' οὐδὲν εἶ.
ΧΟ. σμικρᾶς ἀπ' ἀρχῆς νεῖκος ἀνθρώποις μέγα
γλῶσσ' ἐκπορίζει· τοῦτο δ' οἱ σοφοὶ βροτῶν
ἐξευλαβοῦνται, μὴ φίλοις τεύχειν ἔριν.
ΜΕ. τί δῆτ' ἂν εἴποις τοὺς γέροντας ὡς σοφοὶ
καὶ τοὺς φρονεῖν δοκοῦντας Ἕλλησίν ποτε;
ὅτ' ὢν σὺ Πηλεὺς καὶ πατρὸς κλεινοῦ γεγὼς
. . . .
κῆδος συνάψας, αἰσχρὰ μὲν σαυτῷ λέγεις
ἡμῖν δ' ὀνείδη διὰ γυναῖκα βάρβαρον,
ἣν χρῆν σ' ἐλαύνειν γῆν πρὸ γῆς Νείλου ῥοὰς
ὑπέρ τε Φᾶσιν κἀμὲ παρακαλεῖν ἀεί,
οὖσαν μὲν Ἠπειρῶτιν, οὗ πεσήματα
πλεῖσθ' Ἑλλάδος πέπτωκε δοριπετῆ νεκρῶν,
τοῦ σοῦ τε παιδὸς αἵματος κοινουμένην.
Πάρις γάρ, ὃς σὸν παῖδ' ἔπεφν' Ἀχιλλέα,
Ἕκτορος ἀδελφὸς ἦν, δάμαρ δ' ἥδ' Ἕκτορος.
καὶ τῇδέ γ' εἰσέρχῃ σὺ ταὐτὸν ἐς στέγος
καὶ ξυντράπεζον ἀξιοῖς ἔχειν βίον
τίκτειν τ' ἐν οἴκοις παῖδας ἐχθίστους ἐᾷς.
ἁγὼ προνοίᾳ τῇ τε σῇ κἀμῇ, γέρον,
κτανεῖν θέλων τήνδ' ἐκ χερῶν ἁρπάζομαι.
καίτοι φέρ'· ἅψασθαι γὰρ οὐκ αἰσχρὸν λόγου·
ἢν παῖς μὲν ἡμὴ μὴ τέκῃ, ταύτης δ' ἄπο
βλάστωσι παῖδες, τούσδε γῆς Φθιώτιδος
στήσεις τυράννους, βάρβαροι δ' ὄντες γένος
Ἕλλησιν ἄρξουσ'; εἶτ' ἐγὼ μὲν οὐ φρονῶ

---

640 *χρηστόν τ'* Dobree 641 *καὶ φίλον* om. *B* 642 *ἀπαρχῆς* *B* corr. *b* 645 *τίς δῆτ' ἂν εἴποι* Porson 646 *ἕλλησι B* post 647 lacunam statuit Iacobs 650 *χρήν B* corr. *b* | *γῆν πρὸ γῆς*] scripsi, *τήνδ' ὑπὲρ* libri 651 *κἀμὲ*] *καὶ E* 653 *πλεῖστ' A* | *δορυπετῆ L*, *δουριπετῆ P* 654 *τε* om. *E* | *κὔνουμένην B* ὔ in οι mut. schol. 656 *δ'* om. *P* 657 *εἰ στέγος A* 659 *τ'*] scripsi, *δ'* libri (om. *A*) 660 *ἅ 'γὼ BLP*, *ἄ̔γὼ A* | *κἀμῇ*] *καλῆι A*, *κάμοὶ P* 661 *κτανεῖν* (*θανεῖν E*)] *παύειν* Brunck, malim *παῦσαι* | *ἐθέλων A* | *ἐ∗∗∗∗ῶν L* *ἐκ χειρῶν l* 663 *μὲν* om. *B* | *ἣ μὴ P*, *ἐμὴ L* | *δ'* om. *A* 664 *βλαστῶσι* libri | *τούσδε*] Brunck, *τῆσδε* libri 665 *στήσει LP* σ super ει add. *p*, *γρ. θήσεις* superscr. *a* 666 *ἄρξουσιν A*

μισῶν τὰ μὴ δίκαια, σοὶ δ' ἔνεστι νοῦς;
[κἀκεῖνο νῦν ἄθρησον· εἰ σὺ παῖδα σὴν
δούς τῳ πολιτῶν, εἶτ' ἔπασχε τοιάδε,
σιγῇ καθῆσ' ἄν; οὐ δοκῶ· ξένης δ' ὕπερ
τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους;
καὶ μὴν ἴσον γ' ἀνήρ τε καὶ γυνὴ στένει
ἀδικουμένη πρὸς ἀνδρός· ὡς δ' αὔτως ἀνὴρ
γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχων.
καὶ τῷ μὲν ἔστιν ἐν χεροῖν μέγα σθένος,
τῇ δ' ἐν γονεῦσι καὶ φίλοις τὰ πράγματα.
οὔκουν δίκαιον τοῖς γ' ἐμοῖς ἐπωφελεῖν;]
γέρων γέρων εἶ· τὴν δ' ἐμὴν στρατηγίαν
λέγων ἔμ' ὠφελοῖς ἂν ἢ σιγῶν πλέον.
Ἑλένη δ' ἐμόχθησ' οὐχ ἑκοῦσ', ἀλλ' ἐκ θεῶν,
καὶ τοῦτο πλεῖστον ὠφέλησεν Ἑλλάδα·
ὅπλων γὰρ ὄντες καὶ μάχης ἀίστορες
ἔβησαν ἐς τἀνδρεῖον· ἡ δ' ὁμιλία
πάντων βροτοῖσι γίγνεται διδάσκαλος.
εἰ δ' ἐς πρόσοψιν τῆς ἐμῆς ἐλθὼν ἐγὼ
γυναικὸς ἔσχον μὴ κτανεῖν, ἐσωφρόνουν.
οὐδ' ἂν σὲ Φῶκον ἤθελον κατακτανεῖν.
ταῦτ' εὖ φρονῶν σ' ἐπῆλθον, οὐκ ὀργῆς χάριν·
ἢν δ' ὀξυθυμῇς, σοὶ μὲν ἡ γλωσσαλγία
μείζων, ἐμοὶ δὲ κέρδος ἡ προμηθία.

ΧΟ. παύσασθον ἤδη· λῷστα γὰρ μακρῷ τάδε·
λόγων ματαίων, μὴ δύο σφαλῆθ' ἅμα.

ΠΗ. οἴμοι, καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται·
ὅταν τροπαῖα πολεμίων στήσῃ στρατός,

668—77 delevit H. Hirzel (v. 672—77 habet Stob. fl. 74, 24) 668 ἄθροισιν *P* corr. *p* 669 τῳ *p*, τῶ *P*, τῶι vel τῷ vel τῶ *r* 670 κάθησ' libri 672 ἶσον *BP* | γ' om. *BL* | στένει] Dobree, σθένει libri (ϑ ex alia litera fort. τ corr. *A*) 673 αὔτως mut. in αὕτως *L*, αὕτως *r* | ἀνὴρ om. *A* 675 μέν ἐστιν libri | σθένος] literas σθεν in ras. scr. *L* rescr. *l* 677 οὔκουν] Markland, οὐκοῦν *AELP*, οὐκ οὖν *B* | τοῖ γ' ἐμοῖς *A*, τοῖς γ' (τ' *b*) ἐμοῖς γ' *B* | ἔμ' ὠφελεῖν Stobaeus 679 ὠφελεῖς *AP*, ὠφελ** *L* ὠφελοῖς *lp* 682 ἀίστορες *LP*, ἀνίστορες *r* 684 διδάσκαλον *A* 686 θανεῖν *P* 688 εὖ] εἶ *A* (quid m. 2 corrigere voluerit dubium) | σ' ἐπῆλθον *B* super σ' ἐ scr. ἐ *b* 690 προμηθίς *B* γρ. ἡ προμήθεια superscr. *b* 694 τροπαῖα *Pb*, τρόπαια *r*

οὐ τῶν πονούντων τοὔργον ἡγοῦνται τόδε,
ἀλλ' ὁ στρατηγὸς τὴν δόκησιν ἄρνυται,
ὃς εἷς μετ' ἄλλων μυρίων πάλλων δόρυ,
οὐδὲν πλέον δρῶν ἑνὸς ἔχει πλείω λόγον.
σεμνοὶ δ' ἐν ἀρχαῖς ἥμενοι κατὰ πτόλιν
φρονοῦσι δήμου μεῖζον, ὄντες οὐδένες·
οἳ δ' εἰσὶν αὐτῶν μυρίῳ σοφώτεροι,
εἰ τόλμα προσγένοιτο βούλησίς θ' ἅμα.
ὡς καὶ σὺ σός τ' ἀδελφὸς ἐξωγκωμένοι
Τροίᾳ κάθησθε τῇ τ' ἐκεῖ στρατηγίᾳ,
μόχθοισιν ἄλλων καὶ πόνοις ἐπηρμένοι.
δείξω δ' ἐγώ σοι μὴ τὸν Ἰδαῖον Πάριν
ἥσσω νομίζειν Πηλέως ἐχθρόν ποτε,
εἰ μὴ φθερῇ τῆσδ' ὡς τάχιστ' ἀπὸ στέγης
καὶ παῖς ἄτεκνος, ἣν ὅδ' ἐξ ἡμῶν γεγὼς
ἐλᾷ δι' οἴκων τῶνδ' ἐπισπάσας κόμης·
ἣ στερρὸς οὖσα μόσχος οὐκ ἀνέξεται
τίκτοντας ἄλλους, οὐκ ἔχουσ' αὐτὴ τέκνα.
ἀλλ', εἰ τὸ κείνης δυστυχεῖ παίδων πέρι,
ἄπαιδας ἡμᾶς δεῖ καταστῆναι τέκνων;
φθείρεσθε τῆσδε, δμῶες, ὡς ἂν ἐκμάθω
εἴ τίς με λύειν τῆσδε κωλύσει χέρας.
ἔπαιρε σαυτήν· ὡς ἐγὼ καίπερ τρέμων
πλεκτὰς ἱμάντων στροφίδας ἐξανήσομαι.
ὧδ', ὦ κάκιστε, τῆσδ' ἐλυμήνω χέρας;
βοῦν ἢ λέοντ' ἤλπιζες ἐντείνειν βρόχοις;
ἢ μὴ ξίφος λαβοῦσ' ἀμυνάθοιτό σε

695 τοῦργον *A*, τοὖργον *B L* 698 ἔχεις *P* 699—702 delet C. Busche (701 sq. iam delebat Hartung) 699 εἵμενοι *B* ἥ super εἵ scr. *b*, ἥμμε*νοι *P* | πόλιν *E* 700 οὐδενός et in marg. γρ. οὐδένες *A*, οὐδενός superscr. *b* 701 ὧν (τῶν δ' Hartung) εἰσιν ἀστῶν μυρίοι Seidler (μυρίοι iam Scaliger) | μυρίων *P* 703 ἐξωγκώμενοι *A*, ἐξωγκωμένοι *L* ωγ in ογ mut. *l* 707 ἥσσω] μείζω *P*, κρείσσω Paley | ποτε] τε ποτε *A* 708 φθερεῖ *P* 709 ἣν] σὴ *B* γρ. ἣν ὅδ' superscr. *b* | ἣν ἔθ' οὐξ Kirchhoff, ἥ νιν οὐξ Heimsoeth, fort. ἥ ποθ' οὐξ 710 ἐλᾷ *EL* | τῶνδ'] Musgrave, τήνδ' libri (τῆσδ' *P*) 711 ἣ *A*, εἰ Hermann | στερρὸς *A*, στεῖρος *r* | fort. οὐ καθέξεται deleto versu proximo quem damnat Herwerden 713 κείνης *B* 715 φθείρεσθε] fort. μέθεσθε 716 τήνδε *L* | κωλύση *B* 718 ἐξανήσομαι *B* υ super η scr. *b*

ἔδεισας; ἕρπε δεῦρ᾽ ὑπ᾽ ἀγκάλας, βρέφος,
ξύλλυε δεσμὰ μητρός· ἐν Φθίᾳ σ᾽ ἐγὼ
θρέψω μέγαν τοῖσδ᾽ ἐχθρόν. εἰ δ᾽ ἀπῆν δορὸς
τοῖς Σπαρτιάταις δόξα καὶ μάχης ἀγών,
τἄλλ᾽ ὄντες ἴστε μηδενὸς βελτίονες.
ΧΟ. ἀνειμένον τι χρῆμα πρεσβυτῶν γένος
καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο.
ΜΕ. ἄγαν προνωπὴς ἐς τὸ λοιδορεῖν φέρῃ·
ἐγὼ δὲ πρὸς βίαν μὲν ἐς Φθίαν μολὼν
οὔτ᾽ οὖν τι δράσω φλαῦρον οὔτε πείσομαι.
καὶ νῦν μέν· οὐ γὰρ ἄφθονον σχολὴν ἔχω·
ἄπειμ᾽ ἐς οἴκους· ἔστι γάρ τις οὐ πρόσω
Σπάρτης πόλις τις, ἣ πρὸ τοῦ μὲν ἦν φίλη,
νῦν δ᾽ ἐχθρὰ ποιεῖ· τήνδ᾽ ἐπεξελθεῖν θέλω
στρατηλατήσας χὐποχείριον λαβεῖν.
ὅταν δὲ τἀκεῖ θῶ κατὰ γνώμην ἐμήν,
ἥξω· παρὼν δὲ πρὸς παρόντας ἐμφανῶς
γαμβροὺς διδάξω καὶ διδάξομαι λόγους.
κἂν μὲν κολάζῃ τήνδε καὶ τὸ λοιπὸν ᾖ
σώφρων καθ᾽ ἡμᾶς, σώφρον᾽ ἀντιλήψεται·
θυμούμενος δὲ τεύξεται θυμουμένων,
[ἔργοισι δ᾽ ἔργα διάδοχ᾽ ἀντιλήψεται].
τοὺς σοὺς δὲ μύθους ῥᾳδίως ἐγὼ φέρω·
σκιᾷ γὰρ ἀντίστοιχος ὢν φωνὴν ἔχεις
ἀδύνατος οὐδὲν ἄλλο πλὴν λέγειν μόνον.
ΠΗ. ἡγοῦ, τέκνον, μοι δεῦρ᾽ ὑπ᾽ ἀγκάλαις σταθείς,
σύ τ᾽, ὦ τάλαινα· χείματος γὰρ ἀγρίου

---

722 ὑπ᾽ ἀγκάλας *LP*, ὑπαγκάλαις *A*, ὑπ᾽ ἀγκάλαις *r* (ὑπ᾽ ἀγκάλ∗ς mut. in ὑπ᾽ ἀγκάλαις *B*) 723 ξύνλυε *A* | δεσμὰ μητρός] Heath, μητρὸς δεσμά libri excepto *L* qui μητρὸς δέσμ᾽· ἐγώ σ᾽ ἐν τῇ φθίᾳ exhibet, fort. μητρὸς δεσμά· κἀν Φθίᾳ σ᾽ ἐγὼ 725 μάχης] fort. πάλης 726 τἄλλ᾽ *BLP*, τἆλλ᾽ *rb* 727 γένος *ALP* cum Stob. fl. 116, 37, ἔφυ *BE* γρ. γένος superscr. *b*, fort. φρενός, cfr. 181 728 ὕπο] ὕπερ *L* 731 αὖ super οὖν scr. *b* | φαῦλον οὐδὲ *E* 733 καὶ γὰρ ἔστιν οὐ πρόσω Hartung 734 ἢ *A* 736 χ᾽ ὑποχείριον *LP* (κ᾽ ὑποχείριον *p*), καὶ ὑποχείριον *r* 741 σώφρον *A*, σῶφρον τ᾽ *BE* ´ super ῶ et ν super τ scr. *b* 743 delevit Valckenaer 745 σκιᾶ *A*, σκιὰ *r* | ὢν] Reiske, ὡς libri (ὣς *b*) 746 fort. ἀδύνατον, οὐδὲν ἄλλο πλὴν ψοφεῖν ἔχων (ἔχων iam Nauck) | λέγει *L* ν add. *l* 747 ἡγοῦ σὺ *B* | ὑπ᾽ ἀγκάλαις *B* η super αι scr. *b*

τυχοῦσα λιμένας ἦλθες εἰς εὐηνέμους.
ΑΝ. ὦ πρέσβυ, θεοί σοι δοῖεν εὖ καὶ τοῖσι σοῖς,
σώσαντι παῖδα κἀμὲ τὴν δυσδαίμονα.
ὅρα δὲ μὴ νῷν εἰς ἐρημίαν ὁδοῦ
πτήξαντες οἵδε πρὸς βίαν ἄγωσί με,
γέροντα μὲν σ' ὁρῶντες, ἀσθενῆ δ' ἐμὲ
καὶ παῖδα τόνδε νήπιον· σκόπει τάδε,
μὴ νῦν φυγόντες εἶθ' ἁλῶμεν ὕστερον.
ΠΗ. οὐ μὴ γυναικῶν δειλὸν εἰσοίσεις λόγον;
χώρει· τίς ὑμῶν ἅψεται; κλαίων ἄρα
ψαύσει. θεῶν γὰρ εἵνεχ' ἱππικοῦ τ' ὄχλου
πολλῶν θ' ὁπλιτῶν ἄρχομεν Φθίαν κάτα·
[ἡμεῖς δ' ἔτ' ὀρθοὶ κοὐ γέροντες, ὡς δοκεῖς,]
ἀλλ' ἔς γε τοιόνδ' ἄνδρ' ἀποβλέψας μόνον
τροπαῖον αὐτοῦ στήσομαι πρέσβυς περ ὤν.
πολλῶν νέων γὰρ κἂν γέρων εὔψυχος ᾖ
κρείσσων· τί γὰρ δεῖ δειλὸν ὄντ' εὐσωματεῖν;

ΧΟ. ἢ μὴ γενοίμαν stroph.
ἢ πατέρων ἀγαθῶν
εἴην πολυκτήτων τε δόμων μέτοχος.
εἴ τι γὰρ πάθοι τις ἀμήχανον, ἀλκᾶς
οὐ σπάνις εὐγενέταις,
κηρυσσομένοισι δ' ἀπ' ἐσθλῶν δωμάτων
τιμὰ καὶ κλέος· οὔτοι
λείψανα τῶν ἀγαθῶν

---

749 τυχοῦσα] φυγοῦσα (et antea χεῖμα γὰρ τόδ' ἄγριον) Herzer 750 θεοῖσοι *A*, θεοῖσι *P* corr. *p* 752 νῶϊν libri (νῦν *P*) 753 πή-ξαντες *P* τ post π add. *p* | ἄγουσι *B* ω super ου scr. *b* 756 εἰθ' ἀλῶμεν *A* 757 οὔ· μὴ libri (certe *ABLP*) | δειλῶν *P* et mut. in δειλὸν *B* 758 ∗μῶν *P* ὑμῶν *p* 759 θεοῦ *LP* | οὕνεχ' vel οὕνεχ' libri (οὕνεκ' *P*) 760 θ' om. *P* 761 δ' ἔτ' *AE*, δέ τ' *LP*, δὲ κ' *B* δέ τ' superscr. *b* | κοὐ] καὶ οὐ *A* | ὡς σὺ *B* | versum delevit Czwalina 762 τοῖον δ' *B* ´ super ον scr. *b* 763 τροπαῖον *BE*, τρόπαιον *r* | πρέσβυς περ ὤν] πρεσβυτέρων *A* 764 sq. suspecti (habet eos Stob. fl. 51, 13) 764 ἔμψυχος *B* εὔ super ἔμ scr. *b* | εἶ *P* ᾖ *p* 765 γὰρ δεῖ] λύει Brunck 768 τε om. *B* super v. add. *b* 770 γὰρ πάθοι] Dindorf, γὰρ ἂν πάσχοι libri | ἀμάχανον Dindorf 772 κηρυσσομένοισι] Hermann, κηρυσσομένοις *E*, κηρυσσομένων *r* | δομάτων *P* corr. *p*

ἀνδρῶν ἀφαιρεῖται χρόνος· ἁ δ' ἀρετὰ
καὶ θανοῦσι λάμπει.

κρεῖσσον δὲ νίκαν antistr.
μὴ κακόδοξον ἔχειν
ἢ ξὺν φθόνῳ σφάλλειν δυνάμει τε δίκαν.
ἡδὺ μὲν γὰρ αὐτίκα τοῦτο βροτοῖσιν,
ἐν δὲ χρόνῳ τελέθει
ξηρὸν καὶ ὀνείδεσιν ἔγκειται δόμων.
ταύταν ᾔνεσα ταύταν
καὶ φέρομαι βιοτάν,
μηδὲν δίκας ἔξω κράτος ἐν θαλάμοις
καὶ πόλει δύνασθαι.

ὦ γέρον Αἰακίδα,
πείθομαι καὶ σὺν Λαπίθαισί σε Κενταύρων
ὁμιλῆσαι δορὶ κλεινοτάτῳ
καὶ ἐπ' Ἀργῴου δορὸς ἄξενον ἀκτὰν
ἐκπερᾶσαι ποντιᾶν Ξυμπληγάδων
κλεινὰν ἐπὶ ναυστολίαν,
Ἰλιάδα τε πόλιν ὅτε πάρος
εὐδόκιμος ὁ Διὸς ἶνις
ἀμφέβαλε φόνῳ,
κοινὰν τὰν εὔκλειαν ἔχοντ'
Εὐρώπαν ἀφικέσθαι.

ΤΡΟΦΟΣ.

ὦ φίλταται γυναῖκες, ὡς κακὸν κακοῦ

---

778 ἔχειν om. *L* 780 ξὺμ *P* μ in ν mut. *p* | σφάλειν *B* corr. *b* | fort. δυνάσει | super τε scr. τὰν *b* 781 ἁδὺ Dindorf | βροτοῖσι *B* ν add. *b* 784 super ξηρὸν scr. ἀφανές *B* | ὀνείδεσι νείκητε δόμων *A* 785 ταύτην . . ταύτην *P* 786 φέρομαι] fort. δέχομαι 787 κράτους *EL* | θαλάμοις] fort. μελάθροις 791 πεύθομαι W. Headlam | Λαπίθαισί σε] λαπίθεσι σε *B*, λαπίθαισ σι *E* | Κενταύρων] κενταύροις *E*, καὶ κενταύρων *LP*, καὶ κενταύροισ *B* (ων super οισ scr. *b*), καὶ κενταύροι *A* (σ super οι scr. A^2) 793 καὶ in ras. *p* | ἄξενον *l*, ἄξεινον *Lr* | ἀκτὰν] scripsi, ὑγρὰν libri 794 ἐκπεράσαι *EP* (corr. *p*) et factum ex ἐκπερᾶσαι *A* | ποντιᾶν Ξυμπληγάδων] Hermann, ποντίαν ξυμπληγάδα libri (συμπληγάδα *L*) 796 om. *P* inseruit *p* | τὸ πάρος Hermann 797 ὁ olim delebat Hermann 798 ἶνις *Lb*, ἴνις *r* 799 ἀμφέβαλλε *B*, ἀμφέβαλεν Aldina | φόνον *P* 801 εὐρώπαν *Lb*, εὐρώταν *r* (εὔρωταν *B*) 802 τρ. *a*, θερ (ά superscr.) *r*, cfr. ad v. 851 | φίλτατε

διάδοχον ἐν τῇδ' ἡμέρᾳ πορσύνεται.
δέσποινα γὰρ κατ' οἶκον, Ἑρμιόνην λέγω,
πατρός τ' ἐρημωθεῖσα συννοίᾳ θ' ἅμα
οἷον δέδρακεν ἔργον Ἀνδρομάχην κτανεῖν
καὶ παῖδα βουλεύσασα, κατθανεῖν θέλει,
πόσιν τρέμουσα, μὴ ἀντὶ τῶν δεδραμένων
ἐκ τῶνδ' ἀτίμως δωμάτων ἀποσταλῇ
ἢ κατθάνῃ κτείνουσα τοὺς οὐ χρὴ κτανεῖν.
μόλις δέ νιν θέλουσαν ἀρτῆσαι δέρην
εἴργουσι φύλακες δμῶες ἔκ τε δεξιᾶς
ξίφη καθαρπάζουσιν ἐξαιρούμενοι.
οὕτω μεταλγεῖ καὶ τὰ πρὶν δεδραμένα
ἔγνωκε πράξασ' οὐ καλῶς. ἐγὼ μὲν οὖν
δέσποιναν εἴργουσ' ἀγχόνης κάμνω, φίλαι·
ὑμεῖς δὲ βᾶσαι τῶνδε δωμάτων ἔσω
θανάτου νιν ἐκλύσασθε· τῶν γὰρ ἠθάδων
φίλων νέοι μολόντες εὐπιθέστεροι.

ΧΟ. *καὶ μὴν ἐν οἴκοις προσπόλων ἀκούομεν*
βοὴν ἐφ' οἷσιν ἦλθες ἀγγελοῦσα σύ.
δείξειν δ' ἔοικεν ἡ τάλαιν' ὅσον στένει
πράξασα δεινά· δωμάτων γὰρ ἐκπερᾷ
φεύγουσα χεῖρας προσπόλων πόθῳ θανεῖν.

ΕΡΜΙΟΝΗ.

ἰώ μοί μοι·
σπάραγμα κόμας ὀνύχων τε δάι' ἀ-
μύγματα θήσομαι.

ΤΡ. *ὦ παῖ, τί δράσεις; σῶμα σὸν καταικιῇ;*

BP corr. *p* | *κακοῦ*] scripsi, *κακῶν B*, *κακῶς LP*, *κακῶ r* 807 super *κατθανεῖν* scr. *γρ. κτανεῖν b* 808 *μὴ 'ντὶ L* *μὴ'ντι l* 809 *ἄτιμος* J. Heiland 810 *κτείνασα L* | *θανεῖν LPhb* | versum delet Cobet, cfr. 874 sq., 1057 812 *εἴργουσι AB* | *δμῶες φύλακες L* 812 sq. verba *ἔκ . . καθαρπάζουσιν* fort. delenda 814 *μεταλγεῖ*] Nauck, *μέγ' ἀλγεῖ* libri 816 *ἀγχονῆς B* 817 *ἡμεῖς LP* 819 *εὐπιθέστεροι*] Blomfield, *εὐπειθέστεροι* libri 820 *πρὸσπόλων A* 821 *ἀγγελοῦσα*] Dobree, *ἀγγέλουσα AB* et mut. in *ἀγγέλλουσα L*, *ἀγγέλλουσα r* 822 *στένει AEb*, *σθένει r*, *πονεῖ* F. Gu. Schmidt 825 *ἰώι A* 826 *κόμης LP* | *δαΐ' ἀμύγματα A*, *δαιμύγματα P* *'α* super *αι* scr. *p* 828 *τρ. E*, *θερ*[ά] *ABL*, *χορ. P*, sic etiam 832, 836

ΕΡ. *αἰαῖ αἰαῖ·*
ἔρρ' αἰθέριον πλοκάμων ἐμῶν ἄπο,
λεπτόμιτον φάρος.
ΤΡ. *τέκνον, κάλυπτε στέρνα, σύνδησαι πέπλους.*

ΕΡ. *τί δέ με δεῖ [στέρνα] καλύπτειν πέπλοις*
δῆλα καὶ ἀμφιφανῆ καὶ ἄκρυπτα; [δε-
δράκαμεν πόσιν].
ΤΡ. *ἀλγεῖς, φόνον ῥάψασα συγγάμῳ σέθεν;*
ΕΡ. *κατὰ μὲν οὖν στένω δαΐας τόλμας, ἃν ἔρεξ'*
ἁ κατάρατος ἐγὼ κατάρατος ἀνθρώποις.
ΤΡ. *συγγνώσεταί σοι τήνδ' ἁμαρτίαν πόσις.*
ΕΡ. *τί μοι ξίφος ἐκ χερὸς ἠγρεύσω;*
ἀπόδος, ὦ φίλ', ἀπόδος, ἵν' ἀνταίαν
ἐρείσω πλαγάν· τί με βρόχων εἴργεις;
ΤΡ. *ἀλλ' εἴ σ' ἀφείην μὴ φρονοῦσαν, ὡς θάνοις;*
ΕΡ. *οἴμοι πότμου.*
ποῦ μοι πυρὸς φίλα φλόξ;
πῶς δ' ἐς πέτρας ἀερθῶ,
ἢ κατὰ πόντον ἢ καθ' ὕλαν ὀρέων,
ἵνα θανοῦσα νερτέροισιν μέλω;
ΤΡ. *τί ταῦτα μοχθεῖς; συμφοραὶ θεήλατοι*
πᾶσιν βροτοῖσιν ἢ τότ' ἦλθον ἢ τότε.
ΕΡ. *ἔλιπες ἔλιπες, ὦ πάτερ, ἐπακτίαν*

---

829 *αἶ αἶ αἶ αἶ P*, *αἲ αἲ αἲ αἲ L*, *αἶ αἶ αἶ AB*, sed *B αἶ* infra lineam add., *αἲ αἲ αἲ E* 832 *πέπλους*] Reiske, *πέπλοις* libri 833 personae notam om. *A* 833—35 verba *στέρνα* et *δεδράκαμεν πόσιν* delevit Nauck (*στέρνα* et *πέπλοις* eiciebat Bothe) 836 *φόνον*] *μόρον L* 837 *κἄτα A* | fort. *δαΐαν* 839 *ἁ B*, *ἡ E*, *ὦ r* | *ἀνοῖσ L ἀνδράσιν l* 840 *τροφ. a*, *θερ. ABEL*, *χορ. P* | *τὴνδ' AB* (*τήνδ' b*), *τὴν E* 841 *τὸ ξίφος E* | *χερὸς*] Brunck, *χειρὸς* libri 842 *φίλ'*] *φίλος LP* " super *οσ* scr. *l* | verba *ὦ φίλ' ἀπόδος ἵν'* delet Nauck, fort. *ἀπόδος, ὦ φίλη, δός νιν, ἵν' ἀνταίαν* 844 *ἐρείσω B η* super *ει* scr. *b* | *πληγάν L* | *βρύχων B ο* super *υ* scr. *b* | *εἴργεις A* 845 *τρ. a*, *θερ. ABE*, *χορ. P*, om. *L θε* add. *l* | *θάνοις*] Aldina, *θάνῃς A θάνεις P*, *θάνῃς r* 848 *πῶς*] C. Busche, *ποῦ* libri | *πέρας P* 849 *ἢ κατὰ*] Seidler, *κατὰ* libri 850 *νερτέροισιν*] Heath, *νερτέροισι* libri | *μέλω B νω* super *λω* scr. *b*, *μέλλω P* 851 *τρ.* schol. (*ἄμεινον τῆς τροφοῦ* ⟨*ἢ τοῦ χοροῦ*⟩ *τὸ πρόσωπον*), *χορ. ALP*, *θερ. BE* 852 *πᾶσι* libri | *βροτοῖς B ιν* add. *b* 854 *ἐπακτίαν l* (om. *L*) *P*, *μ' ἐπακτίαν r ἐ̈ π' ἀκτίαν A*)

μ' ὁλκάδ' ἔρημον οὖσαν ἐνάλου κώπας.
ὀλεῖ ὀλεῖ με· τᾷδ' οὐκέτ' ἐνοικήσω
νυμφιδίῳ στέγᾳ.
τίνος ἄγαλμα θεῶν ἱκέτις ὁρμαθῶ;
ἢ δούλα δούλας γόνασι προσπέσω;
Φθιάδος ἐκ γᾶς
κυανόπτερος ὄρνις ἀερθείην
οἷ πευκᾶεν σκάφος
διὰ Κυανέας ἐπέρασεν ἀκτὰς
πρωτόπλοος πλάτα.

ΤΡ. *ὦ παῖ, τὸ λίαν οὔτ' ἐκεῖν' ἐπῄνεσα,*
ὅτ' ἐς γυναῖκα Τρῳάδ' ἐξημάρτανες,
οὔτ' αὖ τὸ νῦν σου δεῖμ' ὃ δειμαίνεις ἄγαν.
οὐχ ὧδε κῆδος σὸν διώσεται πόσις
φαύλης γυναικὸς βαρβάρου πεισθεὶς λόγοις.
οὐ γάρ τί σ' αἰχμάλωτον ἐκ Τροίας ἔχει,
ἀλλ' ἀνδρὸς ἐσθλοῦ παῖδα σὺν πολλοῖς λαβὼν
ἕδνοισι πόλεώς τ' οὐ μέσως εὐδαίμονος.
πατὴρ δέ σ' οὐχ ὧδ' ὡς σὺ δειμαίνεις, τέκνον,
προδοὺς ἐάσει δωμάτων τῶνδ' ἐκπεσεῖν.
ἀλλ' εἴσιθ' εἴσω μηδὲ φαντάζου δόμων
πάροιθε τῶνδε, μή τιν' αἰσχύνην λάβῃς
[*πρόσθεν μελάθρων τῶνδ' ὁρωμένη, τέκνον*].

---

855 *μ' ὁλκάδ'*] scripsi (*ὡσεὶ* delevit Seidler, *ὡσεί μ' ὁλκάδ'* proposuit Jacobs), *ὡσεὶ μονάδ'* libri (verba *ὡσεὶ μονάδ' ἔρημον οὖσαν* om. *P* add. in marg. *p*) | *ἐνάλου*] Seidler, *ἐναλίου* libri 856 *ὀλεῖ ὀλεῖ με*] Seidler, *ὀλεῖ μ' ὀλεῖ με δηλαδὴ πόσις* libri (*δηλαδὴ πόσις* circulo inclusit et linea transfixit *l*) | *τᾷδ' οὐκέτ'*] Seidler, *οὐκέτι τᾷδ'* (*τάδ' LP τᾷδ' lp*) libri 858 *στέγᾳ LP*, *στέγῃ r* 859 *τίνος B ων* super *ος* scr. *b* | *ἄγαλμα θεῶν*] Jacobs, *ἀγαλμάτων* libri | *ἱκέτης BP* corr. *b* | *ὁρμάθω Pl* 860 *δοῦλα* (*δούλα b*) *δούλας B*, *δούλα δούλοις* (*δούλας l*) *L*, *δούλας δούλας A* | *γούνασι LP* | *προπέσω A* 861 *γᾶς*] *γαίας* Hermann, fort. *χθονὸς* 862 *κυνόπτερος P* et mut. in *κυανόπτερος B* | *ἀερθείην*] Seidler, *εἴθ' εἴην* libri 863 *οἷ*] scripsi, *ἢ* libri | *πεύκαεν A* | *σκάφος*] scripsi, *σκάφος ἢ* libri (*σκάφος ἢ Bp*, *σκάφος ἃ E*) 864 *κυνέας AB* | *ἐπέρασ' l* | *ἀκτὰς L*, *ἀκτᾶς rl* 865 *πρωτοπλόος E* 866 *τρ. a*, *θερ. r* | *τὸ*] *τότε l* | *ἐκεῖν A* 868 *οὖτ' B* corr. *b* | *αὖ τὸ Lb*, *αὐτὸ r* | *σου* om. *P* 870 *φαύλοις AL* | *λόγοις* in ras. *p* 871 *γὰρ τί B* *γάρ τι b*, *γάρ τις AE* 873 *ἔδνοισι APb* 876 *μὴ δὲ B* *μηδὲν b* 878 monente Dindorfio damnavit Nauck

ΧΟ. καὶ μὴν ὅδ' ἀλλόχρως τις ἔκδημος ξένος
σπουδῇ πρὸς ἡμᾶς βημάτων πορεύεται.

ΟΡΕΣΤΗΣ.

ξέναι γυναῖκες, ἦ τάδ' ἔστ' Ἀχιλλέως
παιδὸς μέλαθρα καὶ τυραννικαὶ στέγαι;
ΧΟ. ἔγνως· ἀτὰρ δὴ πυνθάνῃ τίς ὢν τάδε;
ΟΡ. Ἀγαμέμνονός τε καὶ Κλυταιμήστρας τόκος,
ὄνομα δ' Ὀρέστης· ἔρχομαι δὲ πρὸς Διὸς
μαντεῖα Δωδωναῖ'. ἐπεὶ δ' ἀφικόμην
Φθίαν, δοκεῖ μοι ξυγγενοῦς μαθεῖν πέρι
γυναικός, εἰ ζῇ κεὐτυχοῦσα τυγχάνει,
ἡ Σπαρτιᾶτις Ἑρμιόνη· τηλουρὰ γὰρ
ναίουσ' ἀφ' ἡμῶν πεδί' ὅμως ἐστὶν φίλη.
ΕΡ. ὦ ναυτίλοισι χείματος λιμὴν φανεὶς
Ἀγαμέμνονος παῖ, πρός σε τῶνδε γουνάτων,
οἴκτειρον ἡμᾶς ὧν ἐπισκοπεῖς τύχας,
πράσσοντας οὐκ εὖ. στεμμάτων δ' οὐχ ἥσσονας
σοῖς προστίθημι γόνασιν ὠλένας ἐμάς.
ΟΡ. ἔα·
τί χρῆμα; μῶν ἐσφάλμεθ' ἢ σαφῶς ὁρῶ
δόμων ἄνασσαν τῶνδε Μενέλεω κόρην;
ΕΡ. ἥνπερ μόνην γ' ἡ Τυνδαρὶς τίκτει γυνὴ
Ἑλένη κατ' οἴκους πατρί· μηδὲν ἀγνόει.
ΟΡ. ὦ Φοῖβ' ἀκέστορ, πημάτων δοίης λύσιν·
τί χρῆμα; πρὸς θεῶν ἢ βροτῶν πάσχεις κακά;
ΕΡ. τὰ μὲν πρὸς ἡμῶν, τὰ δὲ πρὸς ἀνδρὸς ὅς μ' ἔχει,
τὰ δ' ἐκ θεῶν του· πανταχῇ δ' ὀλώλαμεν.

---

879 ἀλλόχως *P* ρ add. *p* 880 βημάτων] Brunck, δωμάτων libri 881 ἢ *AB* ἦ *b* | ἀχιλέως *B* corr. *b* 883 ἔγνω σ' *A* | ἀτὰρ δὴ πυνθάνῃ τίς ὢν τάδε *C*, ἀτὰρ δὴ τίς ὢν πυνθάνῃ τάδε *r*, sed super ἀτὰρ δὴ scr. α, super πυνθάνῃ β, super τίς ὢν γ, super τάδε δ, super δὴ scr. πῆ *b*, ἀτὰρ **τίς ὢν πυνθάνῃ τάδε *L* erasit sine dubio δὴ quod superscriptum erat *l*, qui γε post ὢν interpolavit 884 κλυταιμνήστρας libri 888 καὶ εὐτυχοῦσα *B* 889 σπαρτιάτις *AB* 890 ἐστὶ *BP*, ἔστι *E* 891 ναυτίλοις ἐκ Burges 892 γουνάτων *P*, γονάτων *r* 894 πρά**οντας *P* πράσσοντας *p* | δ' om. *L* 895 γούνασιν *E* 896 ἢ] ἢ mut. in ἦ *B* ἢ superscr. *b* 897 τῶνδε] Brunck, τήνδε libri | μενελέω *B* 898 ΕΡ.] χορ. *A* | μονη *A* et mut. in μονην *L* | γ' ἡ] scripsi, γε libri | γυνὴ] κόρη *L* 900 ἀκέστωρ *P*, γρ. καὶ ἀκέστων schol. 901 κακά *LPb*, κακόν *r* 903 τοῦ *LP*

ΟΡ. τίς οὖν ἂν εἴη μὴ πεφυκότων γέ πω
παίδων γυναικὶ συμφορὰ πλὴν ἐς λέχος;
ΕΡ. τοῦτ' αὐτὸ καὶ νοσοῦμεν· εὖ μ' ὑπηγάγου.
ΟΡ. ἄλλην τιν' εὐνὴν ἀντὶ σοῦ στέργει πόσις;
ΕΡ. τὴν αἰχμάλωτον Ἕκτορος ξυνευνέτιν.
ΟΡ. κακόν γ' ἔλεξας, ἄνδρα δίσσ' ἔχειν λέχη.
ΕΡ. τοιαῦτα ταῦτα. κᾆτ' ἔγωγ' ἠμυνάμην.
ΟΡ. μῶν ἐς γυναῖκ' ἔρραψας οἷα δὴ γυνή;
ΕΡ. φόνον γ' ἐκείνῃ καὶ τέκνῳ νοθαγενεῖ.
ΟΡ. κἄκτεινας, ἤ τις συμφορά σ' ἀφείλετο;
ΕΡ. γέρων γε Πηλεὺς τοὺς κακίονας σέβων.
ΟΡ. σοὶ δ' ἦν τις ὅστις τοῦδ' ἐκοινώνει φόνου;
ΕΡ. πατήρ γ' ἐπ' αὐτὸ τοῦτ' ἀπὸ Σπάρτης μολών.
ΟΡ. κἄπειτα τοῦ γέροντος ἡσσήθη χερί;
ΕΡ. αἰδοῖ γε· καί μ' ἔρημον οἴχεται λιπών.
ΟΡ. συνῆκα· ταρβεῖς τοῖς δεδραμένοις πόσιν.
ΕΡ. ἔγνως· ὀλεῖ γάρ μ' ἐνδίκως. τί δεῖ λέγειν;
ἀλλ' ἄντομαί σε Δία καλοῦσ' ὁμόγνιον,
πέμψον με χώρας τῆσδ' ὅποι προσωτάτω
ἢ πρὸς πατρῷον μέλαθρον· ὡς δοκοῦσί γε
δόμοι τ' ἐλαύνειν φθέγμ' ἔχοντες οἵδε με,
μισεῖ τε γαῖα Φθιάς· εἰ δ' ἥξει πάρος
Φοίβου λιπὼν μαντεῖον ἐς δόμους πόσις,
κτενεῖ μ' ἐπ' αἰσχίστοισιν, ἢ δουλεύσομεν
νόθοισι λέκτροις ὧν ἐδέσποζον πρὸ τοῦ.
πῶς οὖν τάδ', ὡς εἴποι τις, ἐξημάρτανες;
κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν,
αἵ μοι λέγουσαι τούσδ' ἐχαύνωσαν λόγους·
σὺ τὴν κακίστην αἰχμάλωτον ἐν δόμοις

---

906 ἐπηγάγου *P* ὑπηγάγου *p* 909 ἄνδρα *E*, ἄνδρ' ἕνα *L*, ἕν' ἄνδρα *r*, fort. κακὸν τὸ χρῆμ', ἕν' ἄνδρα | ἔχει *B* corr. *b* 910 κατέχω γ' ἠμυνάμην *B* γρ. κᾆτ' ἔγωτ' ἠμυνάμην in marg. scr. *b* 913 τίς *E* | συμφορά σ' *Eb*, συμφορᾶς *r* 916 μολῶν *B* corr. *b* 917 ἡττήθη *P* 920 μ' om. *P* | δεῖ] δὴ *P* 922 προσωτάτωι *A* 924 τ'] Matthiae, γ' libri | φθέγματ' *B* | οἶδε *A*, οἰδε *B* οἵδε *b* 925 φθιάς *BP*, φθίας *r* 929 Oresti tribuunt libri, Hermionae restituit Lenting | πῶς οὖν ἂν εἴποι τις τάδ' Pflugk, πῶς οὖν τάδ', ὧδ' ἐρεῖ τις Nauck 931 αὐχένωσαν *P* γρ. ἐχαύνωσαν superscr. *p*

δούλην ἀνέξῃ σοὶ λέχους κοινουμένην;
μὰ τὴν ἄνασσαν, οὐκ ἂν ἔν γ' ἐμοῖς δόμοις
βλέπουσ' ἂν αὐγὰς τἄμ' ἐκαρποῦτ' ἂν λέχη.
κἀγὼ κλύουσα τούσδε Σειρήνων λόγους
σοφῶν πανούργων ποικίλων λαλημάτων,
ἐξηνεμώθην μωρίᾳ. τί γάρ με χρῆν
πόσιν φυλάσσειν, ᾗ παρῆν ὅσων ἔδει,
πολὺς μὲν ὄλβος, δωμάτων δ' ἠνάσσομεν;
παῖδας δ' ἐγὼ μὲν γνησίους ἔτικτον ἄν,
ἣ δ' ἡμιδούλους τοῖς ἐμοῖς νοθαγενεῖς.
ἀλλ' οὔποτ' οὔποτ'· οὐ γὰρ εἰσάπαξ ἐρῶ·
χρὴ τούς γε νοῦν ἔχοντας, οἷς ἔστιν γυνή,
πρὸς τὴν ἐν οἴκοις ἄλοχον ἐσφοιτᾶν ἐᾶν
γυναῖκας· αὗται γὰρ διδάσκαλοι κακῶν·
ἣ μέν τι κερδαίνουσα συμφθείρει λέχος,
ἣ δ' ἀμπλακοῦσα συννοσεῖν αὑτῇ θέλει,
πολλαὶ δὲ μαργότητι· κἀντεῦθεν δόμοι
νοσοῦσιν ἀνδρῶν. πρὸς τάδ' εὖ φυλάσσετε
κλῄθροισι καὶ μοχλοῖσι δωμάτων πύλας·
ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴσοδοι
δρῶσιν γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά.

ΧΟ. ἄγαν ἐφῆκας γλῶσσαν ἐς τὸ σύμφυτον.
συγγνωστὰ μέν νυν σοὶ τάδ', ἀλλ' ὅμως χρεὼν
κοσμεῖν γυναῖκας τὰς γυναικείας νόσους.

ΟΡ. σοφόν τι χρῆμα τοῦ διδάξαντος βροτοὺς
λόγους ἀκούειν τῶν ἐναντίων πάρα.
ἐγὼ γὰρ εἰδὼς τήνδε σύγχυσιν δόμων
ἔριν τε τὴν σὴν καὶ γυναικὸς Ἕκτορος,

---

933 λέχοσ (υ supra χ) *A* 935 βλέπουσ' ἂν *Pb*, βλέπουσαν *r* 937 delet Nauck 938 με χρῆν] μ' ἐχρῆν *ELp* et mut. in μ' ἐχρὴν *B*, μ' ἐχρὴν *AP* 939 φυλάττειν libri | ὅσον *B* ων super ον scr. *b* 941 sq. suspectos habet R. Prinz 943 εἰσάπαξ *P*, εἰς ἅπαξ *r* 944 ἐστὶν *EL*, ἔστι *r* 945 ἐσφοιτᾶν *E*, εἰσφοιτᾶν *r* 948 αὐτῇ *C* et schol., αὑτῇ *r* 951 κλῄθροισι *A*, κλείθροισι *r* 953 δρῶσι *B* | πόλλ' ἄγαν κακά cod. Marcianus 507, cfr. act. soc. philol. Lips. VI p. 334 954 γλῶσαν mut. in γλῶσσαν *A*, γλῶτταν *P* | σ φυτον (sic) *B* σύμφυλον *b* 955 μέν νυν] Canter, μὲν οὖν libri 956 γυναικίους *P* γυναικείους *p* et *h* | νόσους] γρ. φύσεις in marg. *a* 959 τήνδε] scripsi, τῶνδε libri | νόμων *P* δόμων *p*

φυλακὰς ἔχων ἔμιμνον, εἴτ᾽ αὐτοῦ μενεῖς
εἴτ᾽ ἐκφοβηθεῖσ᾽ αἰχμαλωτίδος φόνῳ
γυναικὸς οἴκων τῶνδ᾽ ἀπηλλάχθαι θέλεις.
ἦλθον δὲ σὰς μὲν οὐ σέβων ἐπιστολάς,
εἰ δ᾽ ἐνδιδοίης, ὥσπερ ἐνδίδως, λόγον,
πέμψων σ᾽ ἀπ᾽ οἴκων τῶνδ᾽. ἐμὴ γὰρ οὖσα πρὶν
σὺν τῷδε ναίεις ἀνδρὶ σοῦ πατρὸς κάκῃ,
ὃς πρὶν τὰ Τροίας ἐσβαλεῖν ὁρίσματα
γυναῖκ᾽ ἐμοί σε δοὺς ὑπέσχεθ᾽ ὕστερον
τῷ νῦν σ᾽ ἔχοντι, Τρῳάδ᾽ εἰ πέρσοι πόλιν.
ἐπεὶ δ᾽ Ἀχιλλέως δεῦρ᾽ ἐνόστησεν γόνος,
σῷ μὲν συνέγνων πατρί, τὸν δ᾽ ἐλισσόμην
γάμους ἀφεῖναι σούς, ἐμὰς λέγων τύχας
καὶ τὸν παρόντα δαίμον᾽, ὡς φίλων μὲν ἂν
γήμαιμ᾽ ἀπ᾽ ἀνδρῶν, ἔκτοθεν δ᾽ οὐ ῥᾳδίως,
φεύγων ἀπ᾽ οἴκων ἃς ἐγὼ φεύγω φυγάς.
ὁ δ᾽ ἦν ὑβριστὴς ἔς τ᾽ ἐμῆς μητρὸς φόνον
τάς θ᾽ αἱματωποὺς θεὰς ὀνειδίζων ἐμοί.
κἀγὼ ταπεινὸς ὢν τύχαις ταῖς οἴκοθεν
ἤλγουν μὲν ἤλγουν, συμφορὰς δ᾽ ἠνειχόμην,
σῶν δὲ στερηθεὶς ᾠχόμην ἄκων γάμων.
νῦν οὖν, ἐπειδὴ περιπετεῖς ἔχεις τύχας
καὶ ξυμφορὰν τήνδ᾽ ἐσπεσοῦσ᾽ ἀμηχανεῖς,
ἄξω σ᾽ ἀπ᾽ οἴκων καὶ πατρὸς δώσω χερί.
ΧΟ. *τὸ συγγενές τοι δεινόν, ἔν τε τοῖς κακοῖς*
οὐκ ἔστιν οὐδὲν κρεῖσσον οἰκείου φίλου.
ΕΡ. *νυμφευμάτων μὲν τῶν ἐμῶν πατὴρ ἐμὸς*

---

961 *φύλακας B* | *εἶτ᾽ A, εἶτ᾽ EP* corr. *p* | *μένεις AB* corr. *b* 962 om. *P* add. in marg. *p* | *εἶτ᾽ EP* corr. *p* | *ἐκφοβηθεὶσ Ab* | *φόνῳ*] Lenting, *φόβῳ* libri ante 964 lacuna esse videtur 964 *μὲν οὐ σέβων*] *οὐ μένων P* 965 *ἐνδιδοίηις A* | *λόγους P* 966 *πέμψων*] Heath, *πέμψω* libri (dimidium posterius literae *ω* in ras. scr. *E*, erat *πέμψον* vel *πέμψου*) | *τῶνδ᾽ ἐμὴ*] super *δ᾽ ἐ* scr. *δε b* 969 *δοὺς εἶθ᾽ P* 970 *πέρσοι L, πέρσει r* 971 *ἀχιλέως P* corr. *p* | *ἐνόστησε B* 972 *τόνδ᾽ BL* et superscr. *ω P* 975 *γῆμαί μ᾽ AEb* | *ἔκτοσθεν b* | *ῥᾴδιον Lb* 977 *ἔς με τῆς μητρὸς* O. Bachmann 978 *θεᾶς A* 980 *συμφορὰς*] Scaliger, *συμφοραῖς* libri 981 *σῶν*] *σοῦ B* *ων* superscr. *b* | *ὄγκων B* *γρ. ἄκων* superscr. *b* 982 *περιπετῆς* mut. in *περιπετεῖς A* 985 *ΧΟ.* om. libri, add. Hermann | *γυ* (superscr. *ω*) praef. *B* | *τοι*] Hermann, *γὰρ* libri

μέριμναν ἕξει, κοὐκ ἐμὸν κρίνειν τόδε.
ἀλλ' ὡς τάχιστα τῶνδέ μ' ἔκπεμψον δόμων,
μὴ φθῇ με προσβὰς δῶμα καὶ μολὼν πόσις
. . . .
. . . οἴκους μ' ἐξερημοῦσαν μαθὼν
Πηλεὺς μετέλθῃ πωλικοῖς διώγμασιν.

ΟΡ. θάρσει γέροντος χεῖρα· τὸν δ' Ἀχιλλέως
μηδὲν φοβηθῇς παῖδ', ὅς εἰς ἔμ' ὕβρισεν.
τοία γὰρ αὐτῷ μηχανὴ πεπλεγμένη
βρόχοις ἀκινήτοισιν ἕστηκεν φόνου
πρὸς τῆσδε χειρός· ἣν πάρος μὲν οὐκ ἐρῶ,
τελουμένων δὲ Δελφὶς εἴσεται πέτρα.
ὁ μητροφόντης δ', ἢν δορυξένων ἐμῶν
μείνωσιν ὅρκοι Πυθικὴν ἀνὰ χθόνα,
δείξω γαμεῖν σφε μηδέν' ὧν ἐχρῆν ἐμέ.
πικρῶς δὲ πατρὸς φόνιον αἰτήσει δίκην
ἄνακτα Φοῖβον· οὐδέ νιν μετάστασις
γνώμης ὀνήσει θεῷ διδόντα νῦν δίκας,
ἀλλ' ἔκ τ' ἐκείνου διαβολαῖς τε ταῖς ἐμαῖς
κακῶς ὀλεῖται· γνώσεται δ' ἔχθραν ἐμήν.
ἐχθρῶν γὰρ ἀνδρῶν μοῖραν εἰς ἀναστροφὴν
δαίμων δίδωσι κοὐκ ἐᾷ φρονεῖν μέγα.

ΧΟ. ὦ Φοῖβε πυργώσας strоph.
τὸν ἐν Ἰλίῳ εὐτειχῆ πάγον

---

988 ἐμοὶ *B* ὸν superscr. *b* | κρινει *P* ν add. *p* | τάδε *BE* ο superscr. *b* 990 μολῶν mut. in μολὼν *A*, μολῶν *BP* corr. *b* post 990 aliquid excidit 991 οἴκους μ' ἐξερημοῦσαν ἐκμαθὼν *A*, οἴκους μ' ἐξερημοῦσαν μαθὼν *r*, τὲ γρ. τούσδ' ἐξερη superscr. *b*, ἢ παιδὸς ante οἴκους add. *p*, λειπ super μ' scr. *l*, οἴκους τε τούσδε μ' ἐξερημοῦσαν μαθὼν *C*, ἢ πρέσβυς supplevit Byzantinus 992 μετέλθῃ mut. in μετέλθοι *E*, μετέλθοι *r* | πολικοῖς *P* | διώγμασι *BL* 993 τόνδ' *ABLp*, τόν γ' *P* | ἀχιλέως *B* 994 μηθὲν *A* | φοβηθεὶς *AB* et mut. in φοβηθῇς *L*, ῄ super ει scr. *b* | ὃς] ὅσ' Lobeck 995 τοῖα *A* 996 ἕστηκε *B* 997 τῆδε *B* σ super η scr. *b* 999–1008 delet Oeri (1005 sq. damnabat Bothe, 1007 sq. Hartung) 999 δοριξένων *P* 1001 δείξω] Herwerden, δείξει libri | μὴδ' έν *A*, μηδέν' *B* `ὧν superscr. *b*, μηδὲν *r* | ἐχρὴν *AB* corr. *b* 1002 πικρὸς *AP* πικρῶς *p*, πικρὰν Cobet 1004 θεῶν νῦν διδόντα δίκας *P* 1005 τε κείνου *E* 1006 ἐμήν] ἐμοί *EL* 1007 ἐχθρῶν] κακῶν Nauck, ἀδίκων E. Holzner 1009 ὦ] Aldina, ἰὼ libri 1010 εὐτυχῆ *E*, εὐτ∗χῆ mut. in εὐτειχῆ *P*

καὶ πόντιε κυανέαις
ἵπποις διφρεύων ἅλιον πέλαγος,
τίνος εἵνεκ' ἄτιμον ὀργά-
ναν χέρα τεκτοσύνας 'Ε-
νυαλίῳ δοριμήστορι προσθέντες τάλαιναν
τάλαιναν μεθεῖτε Τροίαν;

πλείστους δ' ἐπ' ἀκταῖσιν antistr.
Σιμοεντίσιν εὐίππους ὄχους
ἐξεύξατε καὶ φονίους
ἀνδρῶν ἁμίλλας ἔθετ' ἀστεφάνους·
ἀπὸ δὲ φθίμενοι βεβᾶσιν
'Ιλιάδαι βασιλῆες,
οὐδ' ἔτι πῦρ ἐπιβώμιον ἐν Τροίᾳ θεοῖσιν
λέλαμπεν καπνῷ θυώδει.

βέβακε δ' 'Ατρείδας ἀλόχου παλάμαις, stroph.
αὐτά τ' ἐναλλάξασα φόνον θανάτῳ
πρὸς τέκνων ἐπηῦρεν·
θεοῦ θεοῦ νιν κέλευμ' ἐπεστράφη
μαντόσυνον, ὅτε νιν ῎Αργος ἐμπορευθεὶς
'Αγαμεμνόνιος κέλωρ
ἀδύτων ἐπιβὰς κτάνεν — ματρὸς φονεύς,
ὦ δαῖμον, ὦ Φοῖβε, πῶς πείθομαι;

1011 *κυανέαις B οις* super *αις* scr. *b* 1012 *ἵπποις*] Aldina, *ἵπποισι* libri 1014 *οὕνεκ'* libri (*οὕνεκ' A*) | *ὀργάνναν L ω* super *ναν* scr. *l*, *ἐργάναν* Toup, cfr. Aesch. Prom. 477 1016 *δοριμήστορι*] ed. Hervagiana altera, *δορὶ μήστορι* (*μήστωρι B*) libri | *προσθέντες*] Aldina, *προθέντες* libri 1018 *ἀκταῖσιν*] *ἀκταῖσι* libri (*ἀκται P ἀκταις p*) 1019 *σιμοεντίσιν LP*, *σιμοεντίσι AEb*, *σιμοέντισι B* 1020 *ἐξεύξατε* om. *E* 1021 *ἔνθετ' A* 1022 *φθιμένοι B φθίμενοι b* 1025 *οὐδ' ἔτι A*, *οὐδέ τι r* | *θεοῖσιν*] *θεοῖσι* libri 1026 *λέλαμπεν*] *λέλαμπε* libri, nisi quod *λέλαμπτε B*, *λάμπει E* | *θυώδεϊ L*, sed *ϊ* rescriptum 1027 stropham post antistr. collocat Musgrave | *ἀτρείδας B*, *αι* super *ας* scr. m. 2 et *δα* super *αι* m. 3, *ἀτρείδαις P* | *ἀλόχου A* 1030 *πρὸ L σ* super *ο* scr. *l* | *ἐπηῦρεν*] Herwerden, *ἀπηύρα* libri 1031 *νιν* om. *P* | *κέλευμ' AB*, *κέλευσμ' r* (*κελεύσμα: l*) 1032 *῎Αργος ἐμπορευθεὶς*] Lenting, *ἀργόθεν* (*ἄργος BC*) *πορευθεὶς* libri 1034 *ἀγαμεμνόνιος A*, *ἀγαμεμνόνειος r* 1035 *ἐπιβὰς*] fort. *ἀποβὰς* | *κτάνεν*] Hermann (*ἔκτανεν* Heath), *κτεάνων* libri | *ματρὸς*] *μ̄ρ̄ς LP* 1036 *δαίμων P* | fort. *πείσομαι*

πολλαὶ δ' ἀν' Ἑλλάνων ἀγόρους στοναχὰς antistr.
μέλποντο δυστάνων τεκέων ἄλοχοι·
ἐκ δ' ἔλειπον οἴκους
πρὸς ἄλλον εὐνάτορ'. οὐχὶ σοὶ μόνᾳ
δύσφρονες ἐπέπεσον, οὐ φίλοισι, λῦπαι·
νόσον Ἑλλὰς ἔτλα, νόσον·
διέβα δὲ Φρυγῶν πρὸς εὐκάρπων γυᾶν
σκηπτὸς σταλάσσων ⟨τὸν⟩ Ἅιδα φόνον.

ΠΗΛΕΥΣ.

Φθιώτιδες γυναῖκες, ἱστοροῦντί μοι
σημήνατ'· ᾐσθόμην γὰρ οὐ σαφῆ λόγον
ὡς δώματ' ἐκλιποῦσα Μενέλεω κόρη
φρούδη τάδ'· ἥκω δ' ἐκμαθεῖν σπουδὴν ἔχων
εἰ ταῦτ' ἀληθῆ· τῶν γὰρ ἐκδήμων φίλων
δεῖ τοὺς κατ' οἶκον ὄντας ἐκπονεῖν τύχας.

ΧΟ. Πηλεῦ, σαφῶς ἤκουσας· οὐδ' ἐμοὶ καλὸν
κρύπτειν ἐν οἷς παροῦσα τυγχάνω κακοῖς·
βασίλεια γὰρ τῶνδ' οἴχεται φυγὰς δόμων.
ΠΗ. τίνος φόβου τυχοῦσα; διαπέραινέ μοι.
ΧΟ. πόσιν τρέμουσα, μὴ δόμων νιν ἐκβάλῃ.
ΠΗ. μῶν ἀντὶ παιδὸς θανασίμων βουλευμάτων;
ΧΟ. ναί, καὶ γυναικὸς αἰχμαλωτίδος φόβῳ.
ΠΗ. σὺν πατρὶ δ' οἴκους ἢ τίνος λείπει μέτα;

1037 ἀν'] ἂν *P* | ἀγόρους] Musgrave, ἀγορὰς ἀχόρους *A* (ἀγορὰς ex ἀγοραὶ correxisse videtur m. 1), ἀγοραὶ ἀχόρους *LPb*, ἀχόρους *B*, ἀγορὰς *E* 1039 δύστανοι Seidler | τοκέων *BE* (cfr. schol. ἐὰν δὲ ᾖ ἡ γραφὴ τεκέων, λείπει [sic pro τευχέων λύεται Cobet] τὸ ἕνεκεν), λεχέων Heath | ἄλοχον *L* 1040 δ' ἔλειπον *A*, δ' ἔλιπον *BLP*, δέ λιπον *E*, τ' ἔλειπον Brunck 1041 ἄλλων *A*, ἄλλον *B* ους super ον scr. *b* | εὐνάτορ' *B* στορας super τορ' scr. *b* | μόνᾳ] μόνα ὦ ἑρμιόνη *E* 1042 δύσφρονες ἐπέπεσον] Aldina, δύσφρονες ἔννεπον (prius ν in ἔννεπον rescr. vel add. *l*) *L*, δύσφρον' ἔπεσον *P*, δύσφρονες ἔπεσον *r* (αν super σον scr. *b*), δύσφρονες ἐνέπεσον Ad. de Mess, δύσφρονες ἐπέλασαν Kirchhoff | λύπαι *ABP* 1045 Φρυγῶν] Hermann, Φρυγῶν καὶ libri (φρυγῶν γῆν *h*) | εὐκάρπων γυᾶν] scripsi, εὐκάρπους γύας (γύας *L* et *h*, γύιας *B*, γυίας *r*) libri 1046 τὸν om. libri, add. Hermann | ᾅδα *BL*, ἀΐδα *r* 1049 μενελέω *A*, μενέλεως *BE* 1051 εἰ] ἦ *P* 1054 οἷς παροῦσα] scripsi, οἷσπερ οὖσα libri 1055 φυγὰς τῶνδ' οἴχεται *BE* 1056 φόβῳ φυγοῦσα Herwerden 1059 ναί, καὶ γυναικὸς] fort. καὶ τῆς γυναικός γ' | αἰχμαλώτιδος *A* | fort. φόνου (φόνῳ Lenting), cfr. 962

ΧΟ. Ἀγαμέμνονός νιν παῖς βέβηκ' ἄγων χθονός.
ΠΗ. ποίαν περαίνων ἐλπίδ'; ἢ γῆμαι θέλων;
ΧΟ. καὶ σοῦ γε παιδὸς παιδὶ πορσύνων μόρον.
ΠΗ. κρυπτὸς καταστὰς ἢ κατ' ὄμμ' ἐλθὼν μάχῃ;
ΧΟ. ἁγνοῖς ἐν ἱεροῖς Λοξίου Δελφῶν μέτα.
ΠΗ. οἴμοι· τόδ' ἤδη δῆλον. οὐχ ὅσον τάχος
χωρήσεταί τις Πυθικὴν πρὸς ἑστίαν
καὶ τἀνθάδ' ὄντα τοῖς ἐκεῖ λέξει φίλοις,
πρὶν παῖδ' Ἀχιλλέως κατθανεῖν ἐχθρῶν ὕπο;

ΑΓΓΕΛΟΣ.

ὤμοι μοι·
οἵας ὁ τλήμων ἀγγελῶν ἥκω τύχας
σοί τ', ὦ γεραιέ, καὶ φίλοισι δεσπότου.
ΠΗ. αἰαῖ· πρόμαντις θυμὸς ὥς τι προσδοκᾷ.
ΑΓΓ. οὐκ ἔστι σοι παῖς παιδός, ὡς μάθῃς, γέρον
Πηλεῦ· τοιάσδε φασγάνων πληγὰς ἔχει
[Δελφῶν ὑπ' ἀνδρῶν καὶ Μυκηναίου ξένου].
ΧΟ. ἆ ἆ, τί δράσεις, ὦ γεραιέ; μὴ πέσῃς·
ἔπαιρε σαυτόν. *ΠΗ.* οὐδέν εἰμ'· ἀπωλόμην.
φρούδη μὲν αὐδή, φροῦδα δ' ἄρθρα μου κάτω.
ΑΓΓ. ἄκουσον, εἰ καὶ σοῖς φίλοις ἀμυναθεῖν
χρῄζεις, τὸ πραχθέν, σὸν κατορθώσας δέμας.
ΠΗ. ὦ μοῖρα, γήρως ἐσχάτοις πρὸς τέρμασιν
οἵα με τὸν δύστηνον ἀμφιβᾶσ' ἔχεις.
πῶς δ' οἴχεταί μοι παῖς μόνου παιδὸς μόνος;
σήμαιν'· ἀκοῦσαι δ' οὐκ ἀκούσθ' ὅμως θέλω.

1063 σῷ Lobeck 1064 κρυπτὸς] fort. λόχῳ 1065 ἀγνοῖς *ABP* corr. *b* 1066 δῆλον] Nauck, δεινὸν libri, fort. τόδ' αὐτόδηλον 1067 πρὸς ἑστίαν] ἀνὰ χθόνα *BE* γρ. πρὸς ἑστίαν superscr. *b* 1068 τἀνδάνθ' *A* 1069 ἀχιλέως *B* corr. *b*, ἀχιλ∗έως *P* 1070 ἰώ μοι μοι *LPb* 1071 ἀγγελῶν *LPb*, ἀγγέλων *AB*, ἀγγέλλων *E* 1072 αἶ αἶ *ABP*, αἲ αἲ *L*, αἶ αἶ *E* | τις *E* | προσδοκῶν *P* 1074 ἔχων *BE* 1075 quem om. *A*, uncis inclusi, cfr. 1151 1076 δράσῃ σ' ὦ *B* γρ. δράσεις ὦ superscr. *b* 1077 εἰμ' *B*, εἴμ' *ALP*, εἶμ' *Eb* | ἀπολλώμην *B* ἀπωλλόμην *b* 1079 ἀμυναθεῖν] Elmsley, ἀμυνάθειν libri (ἀμυνάθην *A*) 1080 χρῄζει *BE* χρῄζεις *b* | κατορθήσας *P* corr. *p* 1081 γήρως *B* corr. in γῆρας *b* | τέρμοσιν Blomfield 1082 οἶα *EP* οἵα *p*, οἷά *A* 1083 δ' om. *P* | μοι (ι ras. fort. ex υ corr.) *A*, μου *B* οι superscr. *b* 1084 ἀκοῦστ' *A*, ἀκοῦσθ' *B*, ἀκοῦσ' *LP*

ΑΓΓ. ἐπεὶ τὸ κλεινὸν ἤλθομεν Φοίβου πέδον,
τρεῖς μὲν φαεννὰς ἡλίου διεξόδους
θέᾳ διδόντες ὄμματ' ἐξεπίμπλαμεν.
καὶ τοῦθ' ὕποπτον ἦν ἄρ'· ἔς τε συστάσεις
κύκλους τ' ἐχώρει λαὸς οἰκήτωρ θεοῦ.
Ἀγαμέμνονος δὲ παῖς διαστείχων πόλιν
ἐς οὓς ἑκάστῳ δυσμενεῖς ηὔδα λόγους·
ὁρᾶτε τοῦτον, ὃς διαστείχει θεοῦ
χρυσοῦ γέμοντα γύαλα, θησαυροὺς βροτῶν,
τὸ δεύτερον παρόντ' ἐφ' οἷσι καὶ πάρος
δεῦρ' ἦλθε Φοίβου ναὸν ἐκπέρσαι θέλων.
κἀκ τοῦδ' ἐχώρει ῥόθιον ἐν πόλει κακὸν
ἀρχαί τ' ἐπληροῦντ' ἔς τε βουλευτήρια
ἰδίᾳ θ' ὅσοι θεοῦ χρημάτων ἐφέστασαν
φρουρὰν ἐτάξαντ' ἐν περιστύλοις δρόμοις.
ἡμεῖς δὲ μῆλα, φυλλάδος Παρνασίας
φιτύματ', οὐδὲν τῶνδέ πω πεπυσμένοι,
λαβόντες ᾖμεν ἐσχάραις τ' ἐφέσταμεν
σὺν προξένοισι μάντεσίν τε Πυθικοῖς.
καί τις τόδ' εἶπεν· ὦ νεανία, τί σοι
θεῷ κατευξώμεσθα; τίνος ἥκεις χάριν;
ὃ δ' εἶπε· Φοίβῳ τῆς πάροιθ' ἁμαρτίας
δίκας παρασχεῖν βουλόμεσθ'· ᾔτησα γὰρ
πατρός ποτ' αὐτὸν αἵματος δοῦναι δίκην.
κἀνταῦθ' Ὀρέστου μῦθος ἰσχύων μέγα
ἐφαίνεθ', ὡς ψεύδοιτο δεσπότης ἐμὸς
ἥκων ἐπ' αἰσχροῖς. ἔρχεται δ' ἀνακτόρων
κρηπῖδος ἐντός, ὡς πάρος χρηστηρίων

1087 *ἐξεπίμπλαμμεν A*, *ἐξεπίπλαμεν* mut. in *ἐξεπίμπλαμεν P* 1088 *ἄρα ABE* | *ἔς τε*] Bothe, *εἰς δὲ* libri 1093 *γύαλλα A*, *γυίαλα E*, *γυίαλαι B* *α* super *αι* scr. *b* 1096 *κἀν B* *κ* super *ν* scr. *b* 1097 *τε*] *τὰ* Reiske 1098 *θ'*] fort. *δ'* 1099 *ἐτάξαντ' ABLp*, *ἔταξαν τ' ElP* | *δρόμοις A*, *δόμοις r* 1100 *Παρνασίας*] L. Dindorf, *παρνησίας* libri (*παρνησσίας L*) 1101 *φιτύματ'*] scripsi, *παιδεύματ'* libri 1102 *ᾖμεν*] Heath, *ἦμεν* libri 1103 *μάντεσιν EP*, *μάντεσι r* | *πυθικῆς B*, *πυθι*** P* *πυθικοῖς p* 1104 *τόδ'*] *τότ'* Hermann 1105 *κατευξώμεθα P*, *κατευξόμεσθα BL*, *κατευξόμεθα E* (*σ* infra *θ* scr. minio) 1107 *βουλόμεθ' B* 1110 *ἐφέρετ' P* *αίν* super *ἐρ* scr. *p* 1111 *αἰσχροῖς*] fort. *ἐχθροῖς* 1112 *κρηπίδος ABP* corr. *p*

εὔξαιτο Φοίβῳ, τυγχάνει δ' ἐν ἐμπύροις·
τῷ δὲ ξιφήρης ἆρ' ὑφειστήκει λόχος
δάφνῃ σκιασθείς· ὁ δὲ Κλυταιμήστρας τόκος
εἷς ἦν ἁπάντων τῶνδε μηχανορράφος.
χὠ μὲν κατ' ὄμμα στὰς προσεύχεται θεῷ·
οἱ δ' ὀξυθήκτοις φασγάνοις ὡπλισμένοι
κεντοῦσ' ἀτευχῆ παῖδ' Ἀχιλλέως λάθρᾳ.
κρούει δὲ πρύμναν· οὐ γὰρ ἐς καιρὸν τυπεὶς
ἐτύγχαν', ἐξέλκει δὲ καὶ παραστάδος
κρεμαστὰ τεύχη πασσάλων καθαρπάσας
ἔστη 'πὶ βωμοῦ γοργὸς ὁπλίτης ἰδεῖν,
βοᾷ δὲ Δελφῶν παῖδας ἱστορῶν τάδε·
τίνος μ' ἕκατι κτείνετ' εὐσεβεῖς ὁδοὺς
ἥκοντα; ποίας ὄλλυμαι πρὸς αἰτίας;
τῶν δ' οὐδὲν οὐδεὶς μυρίων ὄντων πέλας
ἐφθέγξατ', ἀλλ' ἔβαλλον ἐκ χερῶν πέτροις.
πυκνῇ δὲ νιφάδι πάντοθεν σποδούμενος
προύτεινε τεύχη κἀφυλάσσετ' ἐμβολὰς
ἐκεῖσε κἀκεῖσ' ἀσπίδ' ἐκτείνων χερί.
ἀλλ' οὐδὲν ἦνεν· ἀλλὰ πόλλ' ὁμοῦ βέλη,
οἰστοί, μεσάγκυλ' ἔκλυτοί τ' ἀμφώβολοι
σφαγῆς τ' ἐχώρουν βουπόροι ποδῶν πάρος.
δεινὰς δ' ἂν εἶδες πυρρίχας φρουρουμένου
βέλεμνα παιδός. ὡς δέ νιν περισταδὸν
κύκλῳ κατεῖχον οὐ διδόντες ἀμπνοάς,

1114 *ἆρ' E*, *ἄρ' r* (*ἄρ A*), *γρ. ἀεὶ ὑφειστήκει* superscr. *b*, *ξιφήρης κρύφιος εἱστήκει* Nauck 1115 *ὁ δὲ*] Nauck, *ὧν* libri | *κλυταιμνήστρας* libri 1117 *ὄμα A* 1118 *ὁπλισμένοι B* corr. *b* 1119 *ἀτευχῆ* | *εὐτυχῆ E* | *ἀχιλέως B* | *λάθρα* (dubium utrum *ι* an punctum post *ρα*) *A* 1120 *κρούει*] Scaliger, *χωρεῖ* libri | *δὲ*] *δὴ P* 1121 fort. *κἀκ* 1123 *ἔστη πὶ A* | *ἰδεῖν*] *γρ. φανείς* superscr. *b* 1126 *ὄλυμαι B* 1128 *χερῶν* apogr. Paris., *χειρῶν r* 1130 *κἀφυλάσσετ' b* (qui *κἀ* super *καὶ* scripsit), *καὶ φυλάσσετ' Br* (' super *ὶ* add. *p*) 1131 *κἀκεῖσ'*] *κὰκ' εἰσ* A* *κὰκ' εῖσ' A²* | *ἀσπίδος νωμῶν κύτος* vel *ἀσπίδ' εὔκυκλον νέμων* Nauck 1132 *ἦνεν A*, *ἤνυεν r*, *γρ. ἦμεν* (sic) superscr. *b* 1133 *μεσάγκυλοι BE* *α* super *οι* scr. *b*, *μεσάγκυλ* L* *οι* super *λ* scr. *l* | *ἀμφωβολοὶ A*, *ἀμφώβολοι B* *ο* super *ω* et ` super *οι* scr. *b* 1134 *σφαγῆς AP*, *σφαγεῖς r* | *τ'* om. libri, add. Hervagiana altera | *βουπόροι AELbp*, *βούποροι BPl* 1135 *δ'* om. *BE* add. *b* | *φορουμένου L* sed *ορ* in ras. scr. *l* 1136 *παιδὸς BEP*, *ποδὸς AL* | *νιν Lb*, *μιν r* *περιστάδειν P* 1137 *ἀναπνοάς L*

βωμοῦ κενώσας δεξίμηλον ἐσχάραν,
τὸ Τρωικὸν πήδημα πηδήσας ποδοῖν
χωρεῖ πρὸς αὐτούς· οἳ δ' ὅπως πελειάδες
ἱέρακ' ἰδοῦσαι πρὸς φυγὴν ἐνώτισαν.
πολλοὶ δ' ἔπιπτον μιγάδες ἔκ τε τραυμάτων
αὐτοί θ' ὑπ' αὐτῶν στενοπόρους κατ' ἐξόδους,
κραυγὴ δ' ἐν εὐφήμοισι δύσφημος δόμοις
πέτραισιν ἀντέκλαζ'· ἐν εὐδίᾳ δέ πως
ἔστη φαεννοῖς δεσπότης στίλβων ὅπλοις,
πρὶν δή τις ἀδύτων ἐκ μέσων ἐφθέγξατο
δεινόν τι καὶ φρικῶδες, ὦρσε δὲ στρατὸν
στρέψας πρὸς ἀλκήν. ἔνθ' Ἀχιλλέως πίτνει
παῖς ὀξυθήκτῳ πλευρὰ φασγάνῳ τυπεὶς
Δελφοῦ πρὸς ἀνδρός, ὅσπερ αὐτὸν ὤλεσε
πολλῶν μετ' ἄλλων· ὡς δὲ πρὸς γαῖαν πίτνει,
τίς οὐ σίδηρον προσφέρει, τίς οὐ πέτρον,
βάλλων ἀράσσων; πᾶν δ' ἀνήλωται δέμας
τὸ καλλίμορφον τραυμάτων ὑπ' ἀγρίων.
νεκρὸν δὲ δή νιν κείμενον βωμοῦ πέλας
ἐξέβαλον ἐκτὸς θυοδόκων ἀνακτόρων.
ἡμεῖς δ' ἀναρπάσαντες ὡς τάχος χεροῖν
κομίζομέν νιν σοὶ κατοιμῶξαι γόοις
κλαῦσαί τε, πρέσβυ, γῆς τε κοσμῆσαι τάφῳ.
τοιαῦθ' ὁ τοῖς ἄλλοισι θεσπίζων ἄναξ,
ὁ τῶν δικαίων πᾶσιν ἀνθρώποις κριτής,
δίκας διδόντα παῖδ' ἔδρασ' Ἀχιλλέως.

1139 *Τρωικὸν*] fort. *πατρικὸν* 1140 *οἳ*] *τοὶ BE* *οἳ* superscr. *b* 1142 *τε* om. *E* 1143 *ὑφ' αὐτῶν* Js. Vofs | *γρ. στεμπόρους* superscr. *b* | *κατεξόδους ABP* corr. *bp* 1144 *εὐφήμοις A* 1145 *ἀντέκλαζ'· ἐν εὐδίᾳ*] scripsi (*ἀντέκλαγξ'· ἐν εὐδίᾳ* Reiske), *ἀντέκλαζεν* (*L*, *ἀντέκλαξεν P*, *ἀντέκλαγξεν r*) *εὐδία* libri 1147 *ἐκ μέσον B* *ω* super *ο* scr. *b*, *ἐς μέσον E* 1148 *τι*] Lenting, *τε* libri 1149 *πρὸς ὀλκήν B* corr. *b* | *ἀχιλέως B* | *πιτνεῖ* libri 1150—52 in textu omissos in marg. add. *B* 1150 *πλευρὰ E*, *πλευρὰ* * *P*, *πλευρᾶ r* 1151 *αὐτὸν* ex *τ'* corr. *b*, ante quam literam lacunam reliquerat *B* | *ὤλεσεν AEP* 1151 sq. verba *ὅσπερ . . ἄλλων* suspecta habuit Hermann, delevit Herwerden 1152 *πιτνεῖ* libri 1153 *τίς* * *οὐ πέτρον L* 1154 *ἀνήλωται*] Nauck, *ἀνάλωται* libri, cfr. Suid. *ἀνήλωται· πεφόνευται* 1159 *κομίζωμεν A* | *γόους E*, *γέρον B* *γρ. γόοις* superscr. *b* 1160 *κοσμῆσαι B* *οι* super *κοσ* scr. *b*, *κομῆσαι A* 1161 *ἄλλοισι*] *Ἕλλησι* Dobree 1162 *ἀνθρώποισι A* 1163 *ἔδρασ AB* *'* super *σ* add. *b*

ἐμνημόνευσε δ', ὥσπερ ἄνθρωπος κακός,
παλαιὰ νείκη· πῶς ἂν οὖν εἴη σοφός;

ΧΟ. καὶ μὴν ὅδ' ἄναξ ἤδη φοράδην
Δελφίδος ἐκ γῆς δῶμα πελάζει.
τλήμων ὁ παθών, τλήμων δέ, γέρον,
καὶ σύ· δέχῃ γὰρ τὸν Ἀχίλλειον
σκύμνον ἐς οἴκους οὐχ ὡς σὺ θέλεις·
αὐτός τε κακοῖς [πήμασι κύρσας]
εἰς ἓν μοίρας συνέκυρσας.

ΠΗ. ὤμοι ἐγώ, κακὸν οἷον ὁρῶ τόδε stroph.
καὶ δέχομαι χερὶ δώμασί θ' ἁμοῖς.
ἰώ μοί μοι, αἰαῖ,
ὦ πόλι Θεσσαλία, διολώλαμεν,
οἰχόμεθ'· οὐκέτι μοι γένος, οὐκέτι
λείπεται οἴκοις.
ὦ σχέτλιος παθέων ἐγώ· ἐς τίνα
δὴ φίλον αὐγὰς βαλὼν τέρψομαι;
ὦ φίλιον στόμα καὶ γένυ καὶ χέρες,
εἴθε σ' ὑπ' Ἰλίῳ ἤναρε δαίμων
Σιμοεντίδα παρ' ἀκτάν.

ΧΟ. οὗτός τ' ἂν ὡς ἐκ τῶνδ' ἐτιμᾶτ' ἄν, γέρον,
θανών, τὸ σὸν δ' ἦν ὧδ' ἂν εὐτυχέστερον.

1165 *πῶς οὖν ἂν P* 1166 *ἤδη* om. *P* 1168 *δ' ὁ γέρον* (ὦ superscr.) *E*, *γέρων B* ο super ω scr. *b* 1169 *ἀχίλειον B* 1171 *πήμασι κύρσας* (*πημασιν ἔκυρσας A*) eiecit J. D. Koerner 1171 sq. *αὐτή . . συνέκυρσα* E. Holzner 1173 *ὤμοι*] *ἰώ μοι μοι P* 1174 *χεροῖν L* | *δώμασι θ' A B*, *δώμασί τ' E*, *δώμασιν L P* | *ἀμοῖς B L*, *ἁμοῖς b l* et mut. in *ἁμοῖς P*, *ἐμοῖς E* | verba *δώμασί θ' ἁμοῖς* suspecta 1175—77 evanuerunt in *A* rescr. A^2 1175 *αἶ αἶ A B E P*, *αἲ αἲ L* 1176 *πόλι*] Aldina, *πόλις* libri 1177 *οἰχόμεθ'*] L. Dindorf, *ὀχόμεθ' B* (*ᾠχόμεσθ' b*), *ᾠχόμεθ' r* | *οὐκ ἔτι P*, *οὐκέτι* (*οὐκέστι* A^2 loco rescripto) *μοι τέκνα r* 1178 in ras. scr. *P* | *λείπετ' ἐν E L P* et superscr. *b* 1179 *ὦ B* ὦ superscr. *b* | *σχέτλια παθών L P* et superscr. *b* 1180 *φίλον B* *φίλων* (ο superscr.) *E*, *φίλων r* | *βαλὼν τέρψομαι*] fort. *ὄμματος ἀρῶ* 1181 *φίλον B* ι super ο add. *b* 1182 *ὑπ'* ex *ἐπ'* corr. *L* | *ἤναρε*, superscr. *γρ. ἤπαφε B* 1184 *τ' ἂν ὡς ἐκ*] *μὲν οὖν κἀκ* (*μὲν οὖν κἀ* in ras.) *P* | *τῶνδε τιμᾶτ' B* 1184 sq. *οὗτος θανὼν ἐκ τῶνδ'* (malim *ἐκεῖ γ'*) *ἐτιμᾶτ' ἄν, γέρον, μᾶλλον* Hartung

ΠΗ. ὦ γάμος, ὦ γάμος, ὃς τάδε δώματα antistr.
καὶ πόλιν ὤλεσας·
αἰαῖ αἰαῖ, ὦ παῖ,
μήποτε σῶν λεχέων τὸ δυσώνυμον
ὤφελ' ἐμὸν γένος ἐς τέκνα καὶ δόμον
ἀμφιβαλέσθαι
Ἑρμιόνας Ἀίδαν ἐπὶ σοί, τέκνον,
ἀλλὰ κεραυνῷ πρόσθεν ὀλέσθαι,
μηδ' ἐπὶ τοξοσύνᾳ φονίῳ πατρὸς
αἷμα τὸ διογενές ποτε Φοῖβον
βροτὸς ἐς θεὸν ἀνάψαι.

ΧΟ. ὀττοτοτοτοί, θανόντα δεσπόταν γόοις stroph.
νόμῳ τῷ νερτέρων κατάρξω.

ΠΗ. ὀττοτοτοτοί, διάνδιχ' ὦ τάλας ἐγὼ
γέρων καὶ δυστυχὴς δακρύω.

ΧΟ. θεοῦ γὰρ αἶσα, θεὸς ἔκρανε συμφοράν.
ΠΗ. ὦ φίλος, δόμον ἔλειπες ἔρημον,
[ὤμοι μοι, ταλαίπωρον ἐμὲ]
γέροντ' ἄπαιδα νοσφίσας.
ΧΟ. θανεῖν θανεῖν σε, πρέσβυ, χρῆν πάρος τέκνων.

1186 ὃς] ὡς *B* 1187 πόλιν] Kirchhoff, πόλιν ἐμὰν libri | ὤλεσας ὤλεσας ἀμάν Hermann, at cfr. 1174 1188 αἰαῖ αἰαῖ] αἶ αἶ (αἶ αἶ *E*, αἲ αἲ *L*) ἒ ἒ (ἒ ἒ *AB*) libri 1190 ὤφειλ' *BLP* ὤφελ' *b* | fort. ἐς τέκνα καὶ δόμον ὤφελ' ἐμὸν γένος 1192 ἑρμιόνας *B* αν super ας scr. *b* | τέκον *B* ν post κ add. *b* 1195 Φοῖβον] Barnes, φοίβον libri 1197—99 non solum = 1213—15, sed etiam = 1200 sq. 1197. 1200 ὀττοτοτοτοί *A*, ὀττοτοτοτοῖ *B*, ὀττοτοῖ ὀττοτοῖ (1200 semel ὀττοτοῖ) *E*, ὀττοτοτοῖ *L*, ὀττοτοὶ ὀττοτοὶ *P* 1198 δεσπότην *LP* 1199 τῷ *BE*, τῶν *r* | κατάρξομαι *LP* et superscr. *b* 1201 διάνδιχ' ὦ] Heimsoeth, διάδοχα δ' ὦ *E*, διάδοχα *r* (in *B* initium versus evanuit ita ut sola verba τάλας ἐγώ appareant) 1202 γέρων παιδοστερὴς Heimsoeth | δακρύων ut videtur *L* 1204 συμφοράς *P* 1205 ὦ] ἰὼ *A* (rescr. A^2) *L* | ἔλειπες] ἔλιπες *E* (in *B* solae literae λ πες restant) | ὦ φίλος, ἔλειπες ἐν δόμοις ἔρημον Hartung (ἔλειπες ἐν δόμῳ μ' ἔρημον Hermann) 1206 ὤιμοι *A*, ὦ μοι *B* ʺ super ᾿ scr. *b*, ἰώ μοι *P* | ταλαίπορον *B* | versum delevit Matthiae 1208 θανεῖν θανεῖν *E*, θανεῖν *r* (in *B* initium versus evanuit, sed unius θανεῖν spatium est) | χρῆν *Ebp*, χρὴν *ABP*, χρὴ *L* | τέκνων *ALb*, τέκνον *B* et mut. in τέκνων *E*, τῶν σῶν τέκνων *P*

ΠΗ. οὐ σπαράξομαι κόμαν,
οὐκ ἐπιθήσομαι κάρᾳ
κτύπημα χειρὸς ὀλοόν; ὦ πόλις πόλις,
διπλῶν τέκνων μ' ἐστέρησε Φοῖβος.

ΧΟ. ὦ κακὰ παθὼν ἰδών τε δυστυχῆ γέρον, antistr.
τίν' αἰῶν' ἐς τὸ λοιπὸν ἕξεις;

ΠΗ. ἄτεκνος ἔρημος, οὐκ ἔχων πέρας κακῶν
διαντλήσω πόνους ἐς Ἅιδαν.

ΧΟ. μάτην δέ σ' ἐν γάμοισιν ὤλβισαν θεοί.
ΠΗ. ἀμπτάμενα φροῦδα πάντα κεῖται
κόμπων μεταρσίων πρόσω.
ΧΟ. μόνος μόνοισιν ἐν δόμοις ἀναστρέφῃ.
ΠΗ. οὔτε μοι πόλις πόλις,
σκῆπτρά τ' ἐρρέτω τάδ' ἐπὶ γαῖαν,
σύ τ', ὦ κατ' ἄντρα βρύχια Νηρέως κόρη,
πανώλεθρόν μ' ὄψεαι πίτνοντα.

ΧΟ. ἰὼ ἰώ·
τί κεκίνηται; τίνος αἰσθάνομαι
θείου; κοῦραι, λεύσσετ' ἀθρήσατε·
δαίμων ὅδε τις λευκὴν αἰθέρα

1209 *σπαράξομαι P* 1210 *ἐπιθήσω B* | *κάρᾳ*] olim Hermann, *ἐμῷ κάρᾳ* libri 1211 *κτύπτημα* (*η* in ras.) *P* | *χειρὸς* exhibere dicitur *a*, sed dubium, *χερὸς r* | *πόλις πόλις*] olim Hermann, *πόλις* libri

1212 *ἐστέρησ'* (ε supra) *ὁ L* 1214 *ἰδόν A* corr. A^2 | *δυστυχῆ*] F. Gu. Schmidt, *δυστυχὴς* libri 1215 *εἰς* in ras. *p* 1217 *διαντλήσομαι P* | *ἐς E*, *εἰς r* | *Ἅιδαν*] *ἀΐδαν* libri 1218 *γάμοισιν lP*, *γάμοις r* 1219 *πάντα φροῦδα P* | *ἀμπτάμενα τἀμὰ φροῦδα πάντα* Hartung (*φροῦδα τἀμὰ πάντα* Hermann) | *κεῖται*] *ἀνεῖται* Musgrave, fort. *ἀφεῖται* 1220 *κόμπων μεταρσίων*] Reiske, *κόμπῳ μεταρσίῳ* libri 1221 *ἀναστρέφων B* *ῃ* super *ων* scr. *b* 1222 *οὔτε*] *οὐκέτι E*, *οὐκ ἔτι P* | *οὐκέτ' ἔστι μοι πόλις* (semel) Hermann 1223 *ἐπὶ γαῖαν* delet Burges, *σκῆπτρα τάδ' ἐρρέτω 'πὶ γᾶν* Hermann, fort. *σκῆπτρα τάδ' ἐρρέτω πέδοι* 1224 om. *P* inter versus add. *p* | *βρύχια*] scripsi, *νύχια* libri (*νυχία B* *ή* super *υ* scr. *b*), gloss. *βύθια* super *νύχια* scr. *E*, *γρ. βύθια* in marg. *a* *κόρα L* corr. *l* 1225 *πίτνοντα a*, *πιτνόντα ABP*, *πιτνοῦντα Lpb*, *πιτνῶντα E* | *πρὸς γᾶν* addunt libri, delevit Seidler 1227 *κοῦραι* A^2*B*, *κοῦρα* A*, *κόραι ELP* superscr. *b*, *κόρα a* | *λεύσσετ' L*, *λεύσετ' ABP*, *λεύσατ' E* | *ἀθροίσατε A* corr. A^2, *ἀθροίσετε P* 1228 *γρ. λευκὸν αἰθέρα* in marg. *a*

πορθμευόμενος τῶν ἱπποβότων
Φθίας πεδίων ἐπιβαίνει.

ΘΕΤΙΣ.

Πηλεῦ, χάριν σοι τῶν πάρος νυμφευμάτων
ἥκω Θέτις λιποῦσα Νηρέως δόμους.
καὶ πρῶτα μὲν δὴ τοῖς παρεστῶσιν κακοῖς
μηδέν τι λίαν δυσφορεῖν παρῄνεσα·
κἀγὼ γάρ, ἣν ἄκλαυτα χρῆν τίκτειν τέκνα,
ἀπώλεσ' ἐκ σοῦ παῖδα τὸν ταχὺν πόδας
Ἀχιλλέα τεκοῦσα πρῶτον Ἑλλάδος.
ὧν δ' εἵνεκ' ἦλθον σημανῶ, σὺ δ' ἐνδέχου.
τὸν μὲν θανόντα τόνδ' Ἀχιλλέως γόνον
θάψον πορεύσας Πυθικὴν πρὸς ἐσχάραν,
Δελφοῖς ὄνειδος, ὡς ἀπαγγέλλῃ τάφος
φόνον βίαιον τῆς Ὀρεστείας χερός·
γυναῖκα δ' αἰχμάλωτον, Ἀνδρομάχην λέγω,
Μολοσσίαν γῆν χρὴ κατοικῆσαι, γέρον,
Ἑλένῳ συναλλαχθεῖσαν εὐναίοις γάμοις,
καὶ παῖδα τόνδε τῶν ἀπ' Αἰακοῦ μόνον
λελειμμένον δή· βασιλέα δ' ἐκ τοῦδε χρὴ
ἄλλον δι' ἄλλου διαπερᾶν Μολοσσίας
εὐδαιμονοῦντας· οὐ γὰρ ὧδ' ἀνάστατον
γένος γενέσθαι δεῖ τὸ σὸν κἀμόν, γέρον,
Τροίας τε· καὶ γὰρ θεοῖσι τἀκείνης μέλει,

1229 om. *P* inter versus add. *p* | *πορθμευόμενος L*, sed *ευό* in ras. scr. *l* 1131—32 evanuerunt in *A* rescr. *A*[2], sed 1232 etiam scriptura *A*[2] evanuit, quamobrem alia manus hunc v. in imo margine addidit pro *ἥκω* scribens *ἦλθον* 1231 *σοι*] A. Platt, *σῶν* libri 1232 *δὴ L*, *σοι r* | *παρεστῶσιν Al*, *παρεστῶσι r* 1234 *συμφορεῖν E* | *ἐπῄνεσα P* 1235 *ἄκλαυτα χρῆν*] *ἄκλαυτ' Aa*, *ἄκλαυστ' r* | *ἐχρὴν AB*, *ἐχρῆν rb* | *τίκτειν* om. *P* supra versum add. *p* 1236—49 om. *a* 1236 *παῖδασ A σ* delere voluisse videtur *A*[2] 1237 *ἀχιλέα B* | fort. *τεκοῦσ' ἄωτον* 1238 *οὕνεκ'* libri | fort. *ἐκδέχου* 1239 *ἀχιλέως B* 1240 *πρὸς*] *ἐπ' E* 1241 *ἀπαγγέλλῃ E* et ex *ἀπαγγέλει* corr. *L*, *ἀπαγγέλῃ AP*, *ἀπαγγέλει B η* super *ει* scr. *b* 1244 *χρὴ Eb* et mut. in *χρῆν L*, *χρῆν AP*, *χρὴν B* | *κατοικίσαι L* 1245 *εὐναίοις* ex *εὐναίαν* corr. *p* 1246 *τῶν*] Barnes, *τὸν* libri (*τῶνδ' dc*?) 1247 *βασιλείαν B έα* super *είαν* scr. *b* | *δ' ἐκ*] *κἀκ L* | *χρὴ*] *δεῖ E* 1248 *Μολοσσίας*] Lenting, *μολοσσίαν* libri 1249 *οὐ*] *οὐδὲ E* 1250 *δεῖ*] *δὴ P*, fort. *χρὴ* 1251 *τἀκείνης*] Lenting, *κἀκείνης* libri (*κἀκείνοις E*)

καίπερ πεσούσης Παλλάδος προθυμίᾳ.
σὲ δ', ὡς ἂν εἰδῇς τῆς ἐμῆς εὐνῆς χάριν,
[θεὰ γεγῶσα καὶ θεοῦ πατρὸς τέκος,]
κακῶν ἀπαλλάξασα τῶν βροτησίων
ἀθάνατον ἄφθιτόν τε ποιήσω θεόν.
κἄπειτα Νηρέως ἐν δόμοις ἐμοῦ μέτα
τὸ λοιπὸν ἤδη θεὸς συνοικήσεις θεᾷ·
ἔνθεν κομίζων ξηρὸν ἐκ πόντου πόδα
τὸν φίλτατον σοὶ παῖδ' ἐμοί τ' Ἀχιλλέα
ὄψει δόμους ναίοντα νησιωτικοὺς
Λευκὴν κατ' ἀκτὴν ἐντὸς Εὐξείνου πόρου.
ἀλλ' ἕρπε Δελφῶν ἐς θεόδμητον πόλιν
νεκρὸν κομίζων τόνδε, καὶ κρύψας χθονὶ
ἐλθὼν παλαιᾶς χοιράδος κοῖλον μυχὸν
Σηπιάδος ἵζου· μίμνε δ', ἔστ' ἂν ἐξ ἁλὸς
λαβοῦσα πεντήκοντα Νηρῄδων χορὸν
ἔλθω κομιστήν σου· τὸ γὰρ πεπρωμένον
δεῖ σ' ἐκκομίζειν· Ζηνὶ γὰρ δοκεῖ τάδε.
παῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ·
πᾶσιν γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν
ψῆφος κέκρανται κατθανεῖν τ' ὀφείλεται.
ΠΗ. ὦ πότνι', ὦ γενναῖα συγκοιμήματα,
Νηρέως γένεθλον, χαῖρε· ταῦτα δ' ἀξίως
σαυτῆς τε ποιεῖς καὶ τέκνων τῶν ἐκ σέθεν.
παύω δὲ λύπην σοῦ κελευούσης, θεά,
καὶ τόνδε θάψας εἶμι Πηλίου πτυχάς,
οὗπερ σὸν εἷλον χερσὶ κάλλιστον δέμας.
κᾆτ' οὐ γαμεῖν δῆτ' ἔκ τε γενναίων χρεὼν

1252 προμηθία *LP* superscr. *b* 1254 schol. ἐν τοῖς πολλοῖς τῶν ἀντιγράφων οὐ φέρεται ὁ ἴαμβος | θεᾶ *L* | τόκος *LP* 1256 τε] σε *B* 1257 ἐμοῦ] ὁμοῦ *A* 1258 ἤδη] ἤδη καὶ *P* | θεᾷ] θεῷ *L* ut vid. 1260 ἀχιλέα *B* 1261 ναίοντας *LP* corr. *lp* 1262 κατ'] τ' *P* ἐπ' *p* | ἀξένου Cobet | πόρου ex πόντου corr. *B* πόντου superscr. *b* 1265 παλαιὰς *LP* corr. *lp* 1266 μεῖνε *a* | ἀλλὸσ *A* 1267 νηρηΐδων libri (νηρηιάδων *a*) 1268 κομιστήρ *B* ήν super ήρ scr. *b* 1271 πᾶσι *BP v* add. *p* | ἧδε *A* 1272—88 desunt in *a* 1272 κέκραται *P*, κέκρανται *B v* delere voluit *b* | τ' om. *EL* add. *l* 1273 ποτνί *A*, πότνια *P* 1275 τε om. *E* 1276 παύω] παύσω A^2 (σ nunc evanuit) *E* (ut videtur) *C* | λύπης *B* ην superscr. *b* 1277 πυλίου *E* et corr. in πηλίου *B* | πτύχας libri 1279 κάτ' *B* κᾶτ' *b* | δῆτ'] fort. θὴν

δοῦναί τ᾽ ἐς ἐσθλούς, ὅστις εὖ βουλεύεται,
κακῶν δὲ λέκτρων μὴ ᾽πιθυμίαν ἔχειν,
μηδ᾽ εἰ ζαπλούτους οἴσεται φερνὰς δόμοις;
[*οὐ γάρ ποτ᾽ ἂν πράξειαν ἐκ θεῶν κακῶς.*]
ΧΟ. *πολλαὶ μορφαὶ τῶν δαιμονίων,*
πολλὰ δ᾽ ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ᾽ οὐκ ἐτελέσθη,
τῶν δ᾽ ἀδοκήτων πόρον ηὗρε θεός.
τοιόνδ᾽ ἀπέβη τόδε πρᾶγμα.

1280 *τ᾽ ἐσσθλούς L*, *τ᾽ ἐσθλούς B*, fort. *τ᾽ ἐς ἐσθλῶν* | *βούλεται E*, superscr. *b* 1281 *δὴ P δὲ p* | *πιθυμίαν A*, *᾽πιθυμίαν B ας* super *αν* scr. *b* 1282 *ζαπλούτους*] *ζαχρύσους* Stob. fl. 72, 3 | *εἴσεται L* | *φερνὰς* ex *φρ∗νας* corr. *p* | *δόμους B οις* superscr. *b* 1283 *πράξειαν ἐς τέλος κακῶς* Stob. fl. 70, 10 qui hunc v. fragmento Antiopae (215 N.) adiungit, ad quam fabulam eum ablegavit Hartung | *κακῶς B λῶς* superscr. *b* 1284 *δαιμόνων LP* corr. *l* 1285 *ἀέλπως B τ* inseruit *b* 1286 *δοκηθέντα τ᾽ οὐκ E* 1287 *εὗρε* libri 1288 *τόδε*] *τόδε τὸ BE* In fine *ἀνδρομάχης τέλος B*, *τέλος ἀνδρομάχης E*, *εὐριπίδου τέλος ἀνδρομάχης L*, *τέλος εὐριπίδου ἀνδρομάχης P*, subscriptio deest aut evanuit in *A*

APPENDIX

coniecturas minus certas continens.

Argum. lin. 5 πρῶτον] πρότερον Lascaris, 17 οἱ ex *A* recipiens deesse non pauca putat E. Schwartz, ante 22 lacunam significat Kirchhoff („quae sequuntur argumenti Aristophanei sunt fragmentum capite truncum"), 25 ἔτι δὲ Hermann, 28 εὖ] ἔτι Bergk

In personarum indice τροφός pro θεράπαινα scribit Elmsley

V. 6 δυστυχεστέρα Lascaris | νῦν δ' αὖ τίς ἄλλη δυστυχεστέρα Hermann 9 ἐπεῖδον Naber

στυγνὸν δ' ὀφρύων νέφος αὐξάνεται.
τί ποτ' ἔστι μαθεῖν ἔραται ψυχή,
τί δεδήληται
δέμας ἀλλόχροον βασιλείας.

ΤΡΟΦΟΣ.

ὦ κακὰ θνητῶν στυγεραί τε νόσοι.
τί σ' ἐγὼ δράσω; τί δὲ μὴ δράσω;
τόδε σοι φέγγος, λαμπρὸς ὅδ' αἰθήρ·
ἔξω δὲ δόμων ἤδη νοσερᾶς
δέμνια κοίτης.
δεῦρο γὰρ ἐλθεῖν πᾶν ἔπος ἦν σοι·
τάχα δ' ἐς θαλάμους σπεύσεις τὸ πάλιν.
ταχὺ δ' ἀσχάλλεις κοὐδενὶ χαίρεις,
οὐδέ σ' ἀρέσκει τὸ παρόν, τὸ δ' ἀπὸν
φίλτερον ἡγῇ.
κρεῖσσον δὲ νοσεῖν ἢ θεραπεύειν·
τὸ μέν ἐστιν ἁπλοῦν, τῷ δὲ συνάπτει
λύπη τε φρενῶν χερσίν τε πόνος.
πᾶς δ' ὀδυνηρὸς βίος ἀνθρώπων,
κοὐκ ἔστι πόνων ἀνάπαυσις.
ἀλλ' ὅ τι τοῦ ζῆν φίλτερον ἄλλο
σκότος ἀμπισχὼν κρύπτει νεφέλαις.
δυσέρωτες δὴ φαινόμεθ' ὄντες
τοῦδ' ὅ τι τοῦτο στίλβει κατὰ γῆν,
δι' ἀπειροσύνην ἄλλου βιότου
κοὐκ ἀπόδειξιν τῶν ὑπὸ γαίας·
μύθοις δ' ἄλλως φερόμεσθα.

---

173 ἔραται ψυχὰ *EL*, ἐρᾶι τᾶι (ἐρᾶται *A*[2]) ψυχᾶι *Aa*, ἐρᾶται ψυχῆ *B*, ἐρᾶται ψυχὰ *C*, ἔρατι (ἔραται *p*) ψυχά *P* 175 ἀλόχροον *B* 178 λαμπρὸς *AE*, λαμπρὸν *aBCLP* 179 δωμάτων *C* 180 κοίτης *AE*, κοίτας *aBCLP* 183 δ' ἀσχάλλεις] Usener, γὰρ (δὲ *a*) σφάλλῃ libri (σφάλῃ *Bl*) | κοὐδ' ἑνὶ *E* 184 οὐδέν σ' *BCLP*, σ' erasit *l* 187 τῶ δὲ *A* τὸ δὲ *A*[2] 188 χερσί *EBCP*, χειροῖν Porson 190 om. *LP*, add. *l* | οὐκ *C* 191 τοῦ ζῆν] τούτου schol. Aristoph. ran. 1082 192 ἀμπισχὼν] scripsi, ἀμπίσχων *AaB*, ἀμπίσχων scripto ο super ω *E*, ἀμπίσχον *CLP* | κρύπτειν *E* 193 δὲ *LP* (δὴ *l*) | φαινόμεσθ' mut. in φαινόμεθ' *A* 194 τοῦδ' ὅτι *BCLP* (γρ. ταῦθ' ὅτι in marg. scr. *l*, τοῦ φωτὸς superscr. *p*), ταῦθ' (superscr. γρ. τοῦδ') ὅτι *a* | γᾶν *A* | τοῦτο] τοῦθ' ὃ Gomperz, τοῦτ' ὂν Weil 195 ἀπειροσύνην *BC*, ἀπειροσύναν *AEaLP* 196 γαῖαν *E*, γαίας scripto ν super ς *a*

ΦΑΙΔΡΑ.

ἄρατέ μου δέμας, ὀρθοῦτε κάρα·
λέλυμαι μελέων σύνδεσμα, φίλαι.
λάβετ' εὐπήχεις χεῖρας, πρόπολοι.
βαρύ μοι κεφαλᾶς ἐπίκρανον ἔχειν·
ἄφελ', ἀμπέτασον βόστρυχον ὤμοις.
ΤΡ. *θάρσει, τέκνον, καὶ μὴ χαλεπῶς*
μετάβαλλε δέμας.
ῥᾷον δὲ νόσον μετά θ' ἡσυχίας
καὶ γενναίου λήματος οἴσεις·
μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη.
ΦΑΙ. *αἰαῖ·*
πῶς ἂν δροσερᾶς ἀπὸ κρηνῖδος
καθαρῶν ὑδάτων πῶμ' ἀρυσαίμαν,
ὑπό τ' αἰγείροις ἔν τε κομήτῃ
λειμῶνι κλιθεῖσ' ἀναπαυσαίμαν;
ΤΡ. *ὦ παῖ, τί θροεῖς;*
οὐ μὴ παρ' ὄχλῳ τάδε γηρύσῃ
μανίας ἔποχον ῥίπτουσα λόγον;
ΦΑΙ. *πέμπετέ μ' εἰς ὄρος· εἶμι πρὸς ὕλαν*
καὶ παρὰ πεύκας, ἵνα θηροφόνοι
στείβουσι κύνες
βαλιαῖς ἐλάφοις ἐγχριμπτόμεναι·
πρὸς θεῶν, ἔραμαι κυσὶ θωΰξαι

---

198 *ἄρατε BCLP*, *αἴρετε* et in marg. *γρ. ἄρατε l*, *αἴρετε A*, *αἴρετε* (*αἴ* in ras.) *E*, *αἴρετε* mut. in *αἶρετε* a | *ὀρθοῦται A* 199 *σύνδεσμα φίλαι B* *συνδέσμων φίλων b* | *φίλων Ac*, *φίλα* Lenting 200 *πρόπολοι l*, *πρόσπολοι* vel *πρὸσπολοι AEaBCP* et ante ras. *L* 201 *βαρύ μου LP* | *κεφαλᾶς E* ut vid., *κεφαλῆς* ceteri 202 *ἄφελε L* *ἄφελ' l* | *ὤμοις* mut. in *ὤμοι* cum schol. *ὤμοι*: *γρ. φεῦ φεῦ A*, *ὤμοις EaBL*, *ὤμοι C*, *οἴμοι P* 205 *μεθ' ἡσυχίας P* 206 *λήμματος B* et ante ras. *P* 208 *αἶ αἶ A*, *αἲ αἲ BC*, *ἒ ἒ LP* 209 *πῶμ' A*, sed *μ'* in ras. scr. *A*², *πόμ' EaBCLP* | *ἀρυσαίμαν L*, *ἀρυσαίμην* reliqui 210 sq. om., sed in marg. add. *L* (man. prim., ut vid., non tert.) 211 *ἀναπαυσαίμαν LP*, *ἀναπαυσαίμην* reliqui 213 sq. et 225—27 permutat O. Jahn 213 *τάδε λόγον*, omisso *λόγον* in v. proximo, *C* | *γηρύσσῃ BC* 214 *ῥιπτοῦσα BLP*, *ῥίπτοῦσα a* 215 *ὕλαν EL*, *ὕλην* reliqui 216 *θηροφόροι C* 218 *ἐγχριμπτόμεναι AEa*, *ἐγχριπτόμεναι BCL*, om. *P*, cfr. Plut. Mor. 52 B *ὁ κόλαξ . . μόνον οὐ τὰ τῆς Φαίδρας ἀναβοῶν ἕπεται „πρὸς θεῶν ἔραμαι κυσὶ θωΰξαι βαλίαις ἐλάφοις ἐγχριπτόμενος“* et p. 959 B

καὶ παρὰ χαίταν ξανθὰν ῥῖψαι
Θεσσαλὸν ὅρπακ', ἐπίλογχον ἔχουσ'
ἐν χειρὶ βέλος.
ΤΡ. τί ποτ', ὦ τέκνον, τάδε κηραίνεις;
τί κυνηγεσίων καὶ σοὶ μελέτη;
τί δὲ κρηναίων νασμῶν ἔρασαι;
πάρα γὰρ δροσερὰ πύργοις συνεχὴς
κλιτύς, ὅθεν σοι πῶμα γένοιτ' ἄν.
ΦΑΙ. δέσποιν' ἁλίας Ἄρτεμι Λίμνας
καὶ γυμνασίων τῶν ἱπποκρότων,
εἴθε γενοίμαν ἐν σοῖς δαπέδοις,
πώλους Ἐνέτας δαμαλιζομένα.
ΤΡ. τί τόδ' αὖ παράφρων ἔρριψας ἔπος;
νῦν δὴ μὲν ὄρος βᾶσ' ἐπὶ θήρας
πόθον ἐστέλλου, νῦν δ' αὖ ψαμάθοις
ἐπ' ἀκυμάντοις πώλων ἔρασαι.
τάδε μαντείας ἄξια πολλῆς,
ὅστις σε θεῶν ἀνασειράζει
καὶ παρακόπτει φρένας, ὦ παῖ.
ΦΑΙ. δύστανος ἐγώ, τί ποτ' εἰργασάμαν;
ποῖ παρεπλάγχθην γνώμας ἀγαθᾶς;
ἐμάνην, ἔπεσον δαίμονος ἄτᾳ.
φεῦ φεῦ, τλάμων.
μαῖα, πάλιν μου κρύψον κεφαλάν·

---

220 ξανθὰν *CL*, ξανθὴν reliqui 221 ὅρπακ' *ABaLP*, ὅρπηκ' *EC* 222 χερὶ *C* 224 τί σοι κυνηγεσίων μελέτη *C* | καί σοι L. Dindorf | μελέτη *EB*, μελέτης *AabLP* (μελετής *L*) | μέτα σοὶ μελέτης; Kirchhoff, fort. κοινοῖ μελέτης; 225 νασμάτων *C* 227 πῶμα *A*, πόμα *EaBCLP* 228 δέσποιν' ἁλία· *E* (cum ras. super ν') a^2*BC*, δέσποινα δίας *AaLP*, δέσποιν' ἀδίας scripto λ super ἀδ *l*, δέσποιν' ὁμαλᾶς ex schol. ὦ δέσποινα τῆς ἰσοπέδου Λίμνης (cl. Hesych. gl. ὁμαλόν· ἰσόπεδον) Hartung 231 δαμαλιζομένα *AL*, δαμαζομένα *EaBCP* 232 παράφρων scripto ο super ω *B*, παράφρον *AaCLP*, παράφρον' *E* 233 νῦν μὲν δὴ *B* | θῆρας mut. in θήρας *AaB*, θήρας *ELP*, θύρας *C* 234 πόθον *E* (sed ον in ras.) *BC*a^2, πόθεν *AaLP* cum Phot. p. 305, 14, cfr. schol. τινὲς γράφουσι καὶ πόθον | ἐστέλον *B*, ἐτέλλου *P* 235 πώλοις *AaC*, πώλων A^2a^2 cum reliquis 237 ὅστις τε *E* | ἀνασιράζει *A* 239 εἰργασάμαν *a*, εἰργασάμην ceteri 240 γνώμας ἀγαθῆς *a* (γνώμας etiam in lemm. schol.), γνώμης ἀγαθῆς ceteri 241 ἄτῃ libri 242 τλήμων *BaLP*, τλήμων mut. in τλῆμον *E*, τλῆμον *AC* 243 κεφαλάν *AELP*, κεφαλήν *BC*

αἰδούμεθα γὰρ τὰ λελεγμένα μοι.
κρύπτε· κατ' ὄσσων δάκρυ μοι βαίνει,
καὶ ἐπ' αἰσχύναν ὄμμα τέτραπται.
τὸ γὰρ ὀρθοῦσθαι γνώμαν ὀδυνᾷ,
τὸ δὲ μαινόμενον κακόν, ἀλλὰ κρατεῖ
μὴ γιγνώσκοντ' ἀπολέσθαι.

ΤΡ. *κρύπτω· τὸ δ' ἐμὸν πότε δὴ θάνατος*
σῶμα καλύψει;
πολλὰ διδάσκει μ' ὁ πολὺς βίοτος.
χρῆν γὰρ μετρίας εἰς ἀλλήλους
φιλίας θνητοὺς ἀνακίρνασθαι
καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς,
εὔλυτα δ' εἶναι στέργηθρα φρενῶν
ἀπό τ' ὤσασθαι καὶ ξυντεῖναι.
τὸ δ' ὑπὲρ δισσῶν μίαν ὠδίνειν
ψυχὴν χαλεπὸν βάρος, ὡς κἀγὼ
τῆσδ' ὑπεραλγῶ.
βιότου δ' ἀτρεκεῖς ἐπιτηδεύσεις
φημὶ σφάλλειν πλέον ἢ τέρπειν
τῇ θ' ὑγιείᾳ μᾶλλον πολεμεῖν.
οὕτω τὸ λίαν ἧσσον ἐπαινῶ
τοῦ μηδὲν ἄγαν·
καὶ ξυμφήσουσι σοφοί μοι.

ΧΟ. *γύναι γεραιά, βασιλίδος πιστὴ τροφέ,*
Φαίδρας ὁρῶμεν τάσδε δυστήνους τύχας,
ἄσημα δ' ἡμῖν ἥτις ἐστὶν ἡ νόσος·
σοῦ δ' ἂν πυθέσθαι καὶ κλύειν βουλοίμεθ' ἄν.

---

245 *ἴσσων P* | *δάκρυ l*, *δάκρυα AEaBLP* 246 *αἰσχύναν*] Dindorf, *αἰσχύνην* libri 247 *γνώμαν LP*, *γνώμην* reliqui 249 *γινώσκοντ' ACLP* | *ἀπολλέσθαι B* 250 notam om. *C* 252 *πολλὰ δὲ* et *βίος LP* 253 sq. *μετρίαν . . φιλίαν θνατοὺς* Plut. Mor. p. 95 E 254 *φιλίας βροτοὺς B* | *ἀνακρίνασθαι A* et ante corr. *B*, quid *B* corrigere voluerit (*ἀνακοινοῦσθαι?*), non patet 256 *στέργηθρα*] *θέλγητρα* Plutarchus 258 *ὠδίνειν* correcto *ει* ex *η A* 259 *ψυχὰν l* 262 *φημὶ*] E. Kurtz, *φασὶ* libri (*φασὶν AE*) | *σφάλειν BP* 263 *ὑγεία BC* 265 om. *L*, add. *l* 267 *γηραιά B* 268 *τάσδε* ex *τᾶσδε* fecit *A*, *τῆσδε* Markland | alii *Φαίδρας, ὁρῶ μὲν* (Monk) *τῆσδε δυστήνου* (Luzac) *τύχας* 269 *ἡμῖν ἐστὶν ἥτις L* 270 *σοῦ δ' ἐκπυθέσθαι* Blomfield | *καὶ λύειν E*

ΤΡ. οὐκ οἶδ' ἐλέγχουσ'· οὐ γὰρ ἐννέπειν θέλει.
ΧΟ. οὐδ' ἥτις ἀρχὴ τῶνδε πημάτων ἔφυ;
ΤΡ. ἐς ταὐτὸν ἥκεις· πάντα γὰρ σιγᾷ τάδε.
ΧΟ. ὡς ἀσθενεῖ τε καὶ κατέξανται δέμας.
ΤΡ. πῶς δ' οὔ, τριταίαν γ' οὖσ' ἄσιτος ἡμέραν;
ΧΟ. πότερον ὑπ' ἄτης ἢ θανεῖν πειρωμένη;
ΤΡ. θανεῖν· ἀσιτεῖ δ' εἰς ἀπόστασιν βίου.
ΧΟ. θαυμαστὸν εἶπας, εἰ τάδ' ἐξαρκεῖ πόσει.
ΤΡ. κρύπτει γὰρ ἥδε πῆμα κοὔ φησιν νοσεῖν.
ΧΟ. ὁ δ' ἐς πρόσωπον οὐ τεκμαίρεται βλέπων;
ΤΡ. ἔκδημος ὢν γὰρ τῆσδε τυγχάνει χθονός.
ΧΟ. σὺ δ' οὐκ ἀνάγκην προσφέρεις, πειρωμένη
νόσον πυθέσθαι τῆσδε καὶ πλάνον φρενῶν;
ΤΡ. ἐς πᾶν ἀφῖγμαι κοὐδὲν εἴργασμαι πλέον·
οὐ μὴν ἀνήσω γ' οὐδὲ νῦν προθυμίας,
ὡς ἂν παροῦσα καὶ σύ μοι ξυμμαρτυρῇς
οἵα πέφυκα δυστυχοῦσι δεσπόταις.
ἄγ', ὦ φίλη παῖ, τῶν πάροιθε μὲν λόγων
λαθώμεθ' ἄμφω, καὶ σύ θ' ἡδίων γενοῦ
στυγνὴν ὀφρὺν λύσασα καὶ γνώμης ὁδόν,
ἐγώ θ' ὅπῃ σοι μὴ καλῶς τόθ' εἰπόμην
μεθεῖσ' ἐπ' ἄλλον εἶμι βελτίω λόγον.
κεἰ μὲν νοσεῖς τι τῶν ἀπορρήτων κακῶν,
γυναῖκες αἵδε συγκαθιστάναι νόσον·

---

271 sqq. pro τροφ exhibet *A* θερά(παινα) excepto v. 310, ubi ante θιγγάνει τροφ. est, τροφ etiam in *K* | ἐλέγχουσ'] ἐλέγχους *B*, ἐννέπουσα *A* 272 πημάτων] δωμάτων *A* δειμάτων *A*², πῆμα superscr. schol. 273 inde ab hoc v. lineolae in *L* | εἰς τοῦτον *K* | ἥκει *ABK*, ἥκεις *ECLP*, ἥκει mut. in ἥκεις *a*, cfr. schol. ἐὰν μὲν ἥκει, πρὸς τὴν ἀρχήν ἐστιν ὁ λόγος . . εἰ δὲ ἥκεις κτέ. et ad Hel. 813 274 τε] δὲ Wilamowitz | κατέξαται *C*, fort. κατηύανται, cfr. Soph. Phil. 954 275 fort. τριταῖόν | γ' exhibent *aKCLP*, om. *AEB* | ἄσιτον *P* 277 θανεῖν] fort. ἔγνως 278 εἰ τῶδ' *P* 279 sq. delet Barthold 279 καὶ οὐ *A* | φησι *LP*, ν superscr. *l* 280 ὃ δ' *A* et fort. *E*, ὅδ' ceteri (ex οὐδ' corr. *L*) 281 γὰρ ὢν *P* 283 πλάνον etiam *K*, πλάνην *E* 284 εἰς πᾶν *ABC*, ἐς πάντ' *L*, εἰς πάντ' *EKP* | καὶ οὐδὲν *A* 285 γρ. τὴν ἐμὴν προθυμίαν schol. *aB* 288 ἄγ' ὦ *AEaBC* atque etiam *K* ut vid., ἀλλ' ὦ *LP*, ἄγ' ὦ et in marg. γρ. ἀλλ' ὦ *l* | παῖ om. *C* | πάροιθεν *AC* 289 λαθόμεθ mut. in λαθώμεθ' *L* 290 ὀφρὴν *P* 291 ἐγὼ δ' *C* | ὅποι *P* 292 μεθεῖσα *A* 293 καὶ εἰ *A* 294 συγκαθίστανται *AEL*, συγ-

εἰ δ' ἔκφορός σοι συμφορὰ πρὸς ἄρσενας,
λέγ', ὡς ἰατροῖς πρᾶγμα μηνυθῇ τόδε.
εἶεν· τί σιγᾷς; οὐκ ἐχρῆν σιγᾶν, τέκνον,
ἀλλ' ἤ μ' ἐλέγχειν, εἴ τι μὴ καλῶς λέγω,
ἢ τοῖσιν εὖ λεχθεῖσι συγχωρεῖν λόγοις.
φθέγξαι τι, δεῦρ' ἄθρησον· ὢ τάλαιν' ἐγώ.
γυναῖκες, ἄλλως τούσδε μοχθοῦμεν πόνους,
ἴσον δ' ἄπεσμεν τῷ πρίν· οὔτε γὰρ τότε
λόγοις ἐτέγγεθ' ἥδε νῦν τ' οὐ πείθεται.
ἀλλ' ἴσθι μέντοι· πρὸς τάδ' αὐθαδεστέρα
γίγνου θαλάσσης· εἰ θανῇ, προδοῦσα σοὺς
παῖδας πατρῴων μὴ μεθέξοντας δόμων,
μὰ τὴν ἄνασσαν ἱππίαν Ἀμαζόνα,
ἣ σοῖς τέκνοισι δεσπότην ἐγείνατο
νόθον φρονοῦντα γνήσι', οἶσθά νιν καλῶς,
Ἱππόλυτον ΦΑΙ. οἴμοι. ΤΡ. θιγγάνει σέθεν τόδε;
ΦΑΙ. ἀπώλεσάς με, μαῖα, καί σε πρὸς θεῶν
τοῦδ' ἀνδρὸς αὖθις λίσσομαι σιγᾶν πέρι.
ΤΡ. ὁρᾷς; φρονεῖς μὲν εὖ, φρονοῦσα δ' οὐ θέλεις
παῖδάς τ' ὀνῆσαι καὶ σὸν ἐκσῶσαι βίον.
ΦΑΙ. φιλῶ τέκν'· ἄλλῃ δ' ἐν τύχῃ χειμάζομαι.
ΤΡ. ἁγνὰς μέν, ὦ παῖ, χεῖρας αἵματος φέρεις;

καθιστάναι A^2 P, συγκαθεστᾶναι BC, συγκαθίσταναι b, συγκαθέστανται a, συγκαθεστᾶναι a^2 | νόσον] ον ex aliis litteris corr. L 296 ὡς om. A inseruit A^2 | ἰατρῷ superscr. οῖς L | μηνυθῇ mut. in μηνύσω B 297 οὐκ ἐχρῆν σε σιγᾶν B χρῆν σε μὴ σιγᾶν b 298 εἰ] ἦν in ras. l, quae manus superscr. εἰ, ει ex η factum in C 300 ἄθροισον C, ἄθρησ P 301 πόνους] λόγους C 302 τῷ K, τῶν ceteri (in a superscr. οῖς alia manus), cfr. schol. τοῖς πρὶν ῥήμασιν 303 ἐτέγγεθ' AKC, ἐτέγγεθ' cum ras. supra ἐ et εγγ E, ἐτέγγεθ' a, superscr. ἐθέλγεθ' ut glossam a^2, ἐθέλγεθ' B superscr. γρ. ἐτέγγεθ' b, ἐθέλγεθ' L, sed θ et λ scr. in ras. et superscr. γρ. ἐτέγγεθ' manus sec., ἐθέλγεθ' P, cfr. schol. γράφεται δὲ τριχῶς· λόγοις ἐπείθετο, λόγοις ἐθέλγετο, λόγοις ἐτέγγετο | νῦν δ' AECK 304 αὐθαστέρα P 305 γίγνου scripto η super ον L, γίνου ACP, γενοῦ in schol. Aa 307 ἱππείαν LP, super ει scr. πι ut vid. l 308 τέκνοις C 309 νόθο A νόθον A^2 | γνήσια AEaB 310 θιγγάνει τόδ' αὖ σέθεν P (ἱππόλυτον .. θιγγάνει τόδ' in litura) 311 ἀπόλεσας A corr. A^2 312 τοῦδ' αὖθις ἀνδρὸς E | αὖθι AKP, αὖθις A^2 | λίσομαι AC, λίσσομαι A^2 315 τέκνα AE 316 αἱμάτων φέρεις Christ. pat. 703 | φέρεις aBC LP, φορεῖς AEK

ΦΑΙ. χεῖρες μὲν ἁγναί, φρὴν δ' ἔχει μίασμά τι.
ΤΡ. μῶν ἐξ ἐπακτοῦ πημονῆς ἐχθρῶν τινος;
ΦΑΙ. φίλος μ' ἀπόλλυσ' οὐχ ἑκοῦσαν οὐχ ἑκών.
ΤΡ. Θησεύς τιν' ἡμάρτηκεν ἐς σ' ἁμαρτίαν;
ΦΑΙ. μὴ δρῶσ' ἔγωγ' ἐκεῖνον ὀφθείην κακῶς.
ΤΡ. τί γὰρ τὸ δεινὸν τοῦθ' ὅ σ' ἐξαίρει θανεῖν;
ΦΑΙ. ἔα μ' ἁμαρτεῖν· οὐ γὰρ ἐς σ' ἁμαρτάνω.
ΤΡ. οὐ δῆθ' ἑκοῦσά γ', ἐν δὲ σοὶ λελείψομαι.
ΦΑΙ. τί δρᾷς; βιάζῃ χειρὸς ἐξαρτωμένη;
ΤΡ. καὶ σῶν γε γονάτων, κοὐ μεθήσομαί ποτε.
ΦΑΙ. κάκ', ὦ τάλαινα, σοὶ τάδ', εἰ πεύσῃ, κακά.
ΤΡ. μεῖζον γὰρ ἢ σοῦ μὴ τυχεῖν τί μοι κακόν;
ΦΑΙ. ὀλῇ· τὸ μέντοι πρᾶγμ' ἐμοὶ τιμὴν φέρει.
[*ΤΡ.* κἄπειτα κρύπτεις χρήσθ' ἱκνουμένης ἐμοῦ;
ΦΑΙ. ἐκ τῶν γὰρ ἐσθλῶν αἰσχρὰ μηχανώμεθα.]
ΤΡ. οὔκουν λέγουσα τιμιωτέρα φανῇ.
ΦΑΙ. ἄπελθε πρὸς θεῶν δεξιᾶς τ' ἐμῆς μέθες.
ΤΡ. οὐ δῆτ', ἐπεί μοι δῶρον οὐ δίδως ὃ χρῆν.
ΦΑΙ. δώσω· σέβας γὰρ χειρὸς αἰδοῦμαι τὸ σόν.
ΤΡ. σιγῷμ' ἂν ἤδη· σὸς γὰρ οὑντεῦθεν λόγος.
ΦΑΙ. ὦ τλῆμον, οἷον, μῆτερ, ἠράσθης ἔρον,
ΤΡ. ὃν ἔσχε ταύρου, τέκνον, ἢ τί φῂς τόδε;
ΦΑΙ. σύ τ', ὦ τάλαιν' ὅμαιμε, Διονύσου δάμαρ,
ΤΡ. τέκνον, τί πάσχεις; συγγόνους κακορροθεῖς.

---

317 ἔχεται μιάσματι *B* 319 με *A* | ἀπόλλυσιν *AaBCK* 320 θησσεὺς *B* | τίν' *AEBCP* 321 ἔγωγε κεῖνον *Aa* 322 τοῦτο σ' *K* | ἐξαιρεῖ *A* 323 inde ab hoc v. lineolae praefixae in *L* (352 φαῖ, non linea) | εἴ σ' *P* 324 λελείψομαι, scripto η super ει, *E*, λελήψομαι *B*, λελίψομαι *K* 325 ἐξηρτημένη *BC*, ἐξαρτωμένη *b* 326 σῶν γε *ALPK*, σῶν, omisso γε, *EBC*, τῶν γε *a* | κοὐ *K*, καὶ οὐ *A*, οὐ *EaBCLP* 328 μείζω *a* μεῖζον *a*[2] | εἴ *Aa* ἢ *A*[2]*a*[2] | σοῦ μὴ τυχεῖν] σοῦ γ' ἀμπλακεῖν Hartung 329 ὀλῇ etiam in *K* | πρᾶγμα τιμὴν ἐμοὶ *C* 330 sq. delevit Nauck 330 ἱκνουμένης ἐμοῦ om. *A*, add. man. 2 quae χρηστὰ in χρήστ' mutavit | χρήστ' *aBCP* | ἐμοί *E* 331 ἐσθλῶν αἰσχρὰ *AEaBCKLP* (in *C* et *L* αἰσχρὰ in ras.), αἰσχρῶν ἐσθλὰ *A*[2], superscr. schol. in *a*, γρ. ἐκ τῶν γὰρ αἰσχρῶν ἐσθλά schol. *B* 332 οὐκ ἦν *h* 333 δεξιᾶς δ', scripto τ super δ, *K* | δεξιὰν ἐμὴν *a*[2] | fort. μεθοῦ 334 δῆτα *A* 337 ὦ μῆτερ οἷον τλῆμον *BC* | ἔρων *K* 338 ταύρου, ύ ex ῦ facto, *A*, ταῦρον *a*, mut. in ταύρου *a*[2] 339 σὺ δ' *AEa* 640 συγγόνους scripto σου ut vid. super συ *L*

ΦΑΙ. τρίτη δ' ἐγὼ δύστηνος ὡς ἀπόλλυμαι.
ΤΡ. ἔκ τοι πέπληγμαι· ποῖ προβήσεται λόγος;
ΦΑΙ. ἐκεῖθεν ἡμεῖς κοὐ νεωστὶ δυστυχεῖς.
ΤΡ. οὐδέν τι μᾶλλον οἶδ' ἃ βούλομαι κλύειν.
ΦΑΙ. φεῦ·
πῶς ἂν σύ μοι λέξειας ἁμὲ χρῆς λέγειν;
ΤΡ. οὐ μάντις εἰμὶ τἀφανῆ γνῶναι σαφῶς.
ΦΑΙ. τί τοῦθ' ὃ δὴ λέγουσιν ἀνθρώπους ἐρᾶν;
ΤΡ. ἥδιστον, ὦ παῖ, ταὐτὸν ἀλγεινόν θ' ἅμα.
ΦΑΙ. ἡμεῖς ἂν εἶμεν θατέρῳ κεχρημένοι.
ΤΡ. τί φής; ἐρᾷς, ὦ τέκνον; ἀνθρώπων τίνος;
ΦΑΙ. ὅστις ποθ' οὗτός ἐσθ' ὁ τῆς Ἀμαζόνος
ΤΡ. Ἱππόλυτον αὐδᾷς; ΦΑΙ. σοῦ τάδ', οὐκ ἐμοῦ κλύεις.
ΤΡ. οἴμοι, τί λέξεις, τέκνον; ὥς μ' ἀπώλεσας.
γυναῖκες, οὐκ ἀνασχέτ' οὐκ ἀνέξομαι
ζῶσ'· ἐχθρὸν ἦμαρ, ἐχθρὸν εἰσορῶ φάος.
ῥίψω μεθήσω σῶμ', ἀπαλλαχθήσομαι
βίου θανοῦσα· χαίρετ'· οὐκέτ' εἴμ' ἐγώ.
οἱ σώφρονες γὰρ οὐχ ἑκόντες, ἀλλ' ὅμως
κακῶν ἐρῶσι. Κύπρις οὐκ ἄρ' ἦν θεός,
ἀλλ' εἴ τι μεῖζον ἄλλο γίγνεται θεοῦ,
ἣ τήνδε κἀμὲ καὶ δόμους ἀπώλεσεν.
ΧΟ. ἄιες ὤ, ἔκλυες ὢ stroph.
ἀνήκουστα τᾶς
τυράννου πάθεα μέλεα θρεομένας;

---

341 τρίτη τ' Nauck | ὥς *EB* 342 πῆ *C* 343 ἐκεῖθεν correcto ἐ ex ου *L* | κοὐ] scripsi, ὁ *A* οἱ A^2, οὐ ceteri (postmodum supra versum addidit *L*), schol. γρ. καὶ νεωστί et γρ. καὶ οἱ νεωστὶ δυστυχεῖς | δυστυχής mut. in δυστυχεῖς *B* 344 οὐδέν τοι *P* | ἃ *A* ὧν superscr. A^2 345 ἁμὲ χρῆς] Bergk, ἅμε χρὴ *AaB*, ἅμ' ἐχρὴν *EC LP* (χρῆν etiam in *K*), cfr. Aristoph. Equ. 15 347 ὃ ex οἳ ut vid. corr. *L* | δὴ om. *h* 348 ἥδυστον *C*, ἥδιστος mut. in ἥδιστον *P* | ἄλγιστον *d* 349 εἶμεν *AaKLP*, ἦμεν *EBC* | κεχρημένοι *AEaBC*, κεχρημέναι *LP* 350 ἀνθρώπου *C* | τινός libri 351 οὗτος ἐστὶν *P* 352 σὺ *C* 354 οὐκέτ' *BC* | ἀνασχετὰ *ABC*, ἀνεσχετὰ *L*, ἀνασχετὸν *P* 355 ἐχθρὸν (ο in ras.) ἦμαρ *L* | ἐχθρὸν δ' *A* ἐχθρὸν τ' A^2 356 σῶμα κἀπαλλαχθήσομαι *C* | ἀπαλλαγήσομαι Christ. pat. 371 359 κακῶς *abC* 360 ἄλλο τι *C* | γίγνεται *B*, γίνεται *AECLP* 361 διώλεσεν *B* 362 ὢ . . ὢ *EBLP*, ὢ . . ὦ *a*, ὦ . . ὦ *A* | τὰς *L* τᾶς *l* 363 πάθη Monk | θρευμένας Dindorf (θρουμένας Monk)

ὀλοίμαν ἔγωγε, πρὶν σὰν ὀφλεῖν
κατάλυσιν φρενῶν. ἰώ μοι, φεῦ φεῦ.
ὦ τάλαινα τῶνδ' ἀλγέων·
ὦ πόνοι τρέφοντες βροτούς.
ὄλωλας, ἐξέφηνας ἐς φάος κακά.
τίς σε παναμέριος ὅδε χρόνος μένει;
τελευτάσεταί τι καινὸν δόμοις.
ἄσημα δ' οὐκέτ' ἐστὶν οἷ φθίνει τύχα
Κύπριδος, ὦ τάλαινα παῖ Κρησία.

ΦΑΙ. Τροιζήνιαι γυναῖκες, αἳ τόδ' ἔσχατον
οἰκεῖτε χώρας Πελοπίας προνώπιον,
ἤδη ποτ' ἄλλως νυκτὸς ἐν μακρῷ χρόνῳ
θνητῶν ἐφρόντισ' ᾗ διέφθαρται βίος.
καί μοι δοκοῦσιν οὐ κατὰ γνώμης φύσιν
πράσσειν κάκιον· ἔστι γὰρ τό γ' εὖ φρονεῖν
πολλοῖσιν· ἀλλὰ τῇδ' ἀθρητέον τάδε·
τὰ χρήστ' ἐπιστάμεσθα καὶ γιγνώσκομεν,
οὐκ ἐκπονοῦμεν δ', οἱ μὲν ἀργίας ὕπο,
οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ
ἄλλην τιν'. εἰσὶ δ' ἡδοναὶ πολλαὶ βίου,
μακραί τε λέσχαι καὶ σχολή, τερπνὸν κακόν,

---

364 nutricis notam praefigit *B* | σὰν ὀφλεῖν] scripsi, σὰν φιλίαν *AEa²BC*, σὰν φίλαν *aLP* 365 κατάλυσιν] Kayser, καταλῦσαι *Aa BC*, καταλύσαι *LP*, κατανῦσαι *El*, cfr. schol. τὸ γὰρ κατανύσαι ἀντὶ τοῦ πληρῶσαι | φρένα *a* φρενῶν *a²* | ἰώ μοι φεῦ φεῦ *AEa*, οἴμοι οἴμοι φεῦ φεῦ *B*, ὤμοι φεῦ φεῦ *C*, ἰώ μοι μοι φεῦ φεῦ *K*, ἰώ μοι μοι φεῦ *LP* (post φεῦ tres literae erasae in *L*) 366 sq. ὦ πόνοι τρέφοντες βροτούς | ὦ τάλαινα τῶνδ' ἀλγέων ὦ πόνοι *B* 368 ἐξέφανας ἐς *C* 369 τί *KP* | παναμέριος *L*, ω superscr., post erasit *l* | τίς ὁ πανάμερος σ' ὅδε Weil | μένει] μίμνει Musgrave 370 τελευτᾶσσετε *A*, sed σε in ras. maiore scr. et ˜ in ´ mut. *A²*, τελευτάσεται *B*, τελευτασ- *K*, τελευτήσεται *EaCLP* | κενὸν *P* | ἐν δόμοις *ABC* | δόμοις erasum in *L* 371 ἔσθ' ὅτι φθίνεις τέχνᾳ Herwerden | ἐστιν ἡ *C* | τύχᾳ *E*, τύχη *CL* 372 κρησσία *A* 375 ἄλλως] ἄυπνος Nauck coll. schol. πολλάκις, φησί, διαγρυπνήσασα ἐν νυκτὶ ἐσκόπησα et Aristoph. Ran. 931 | ἐφρόντισα ἢ *A* 377 φύσιν *B* φύσεως *b* 378 κάκιον] τὰ πλείον' Nauck, τὰ χεῖρον' Weil 379 ἀθροιτέον *P* et superscr. η *C* | τάδε *ACP*, τόδε *EaBKL* 380 ἃ χρήστ' *BCK* | ἐπιστάμεθα *BP* | γινώσκομεν *ABCP* 381 κοὐκ omisso δ' *Kl* | δ' om. *BC* | ἀργείας *C* 382 προθέντες *EBCKLP*, προσθέντες *A* (superscr. προτιμήσαντες) et *a*, προθέντες *a²* 383 sqq. fort. ἄλλην τιν' ἄλλος· εἰσὶ γὰρ πολλαὶ βίου· μακράς τε λέσχας καὶ σχολήν, τερπνὸν κακόν, αἰδῶ τε

αἰδώς τε. δισσαὶ δ' εἰσίν, ἡ μὲν οὐ κακή,
ἡ δ' ἄχθος οἴκων. εἰ δ' ὁ καιρὸς ἦν σαφής,
οὐκ ἂν δύ' ἤστην ταὔτ' ἔχοντε γράμματα.
ταῦτ' οὖν ἐπειδὴ τυγχάνω προγνοῦσ' ἐγώ,
οὐκ ἔσθ' ὁποίῳ φαρμάκῳ διαφθερεῖν
ἔμελλον, ὥστε τοὔμπαλιν πεσεῖν φρενῶν.
λέξω δὲ καὶ σοὶ τῆς ἐμῆς γνώμης ὁδόν·
ἐπεί μ' ἔρως ἔτρωσεν, ἐσκόπουν ὅπως
κάλλιστ' ἐνέγκαιμ' αὐτόν. ἠρξάμην μὲν οὖν
ἐκ τοῦδε, σιγᾶν τήνδε καὶ κρύπτειν νόσον.
γλώσσῃ γὰρ οὐδὲν πιστόν, ἣ θυραῖα μὲν
φρονήματ' ἀνδρῶν νουθετεῖν ἐπίσταται,
αὐτὴ δ' ὑφ' αὑτῆς πλεῖστα κέκτηται κακά.
τὸ δεύτερον δὲ τὴν ἄνοιαν εὖ φέρειν
τῷ σωφρονεῖν νικῶσα προυνοησάμην.
τρίτον δ', ἐπειδὴ τοισίδ' οὐκ ἐξήνυτον
Κύπριν κρατῆσαι, κατθανεῖν ἔδοξέ μοι,
κράτιστον, οὐδεὶς ἀντερεῖ, βουλευμάτων.
ἐμοὶ γὰρ εἴη μήτε λανθάνειν καλὰ
μήτ' αἰσχρὰ δρώσῃ μάρτυρας πολλοὺς ἔχειν.
τὸ δ' ἔργον ᾔδη τὴν νόσον τε δυσκλεᾶ,
γυνή τε πρὸς τοῖσδ' οὖσ' ἐγίγνωσκον καλῶς,
μίσημα πᾶσιν. ὡς ὄλοιτο παγκάκως
ἥτις πρὸς ἄνδρας ἤρξατ' αἰσχύνειν λέχη

---

385 δισαὶ *A* | οὖν καλή *C* 386 οἶκον *K* 387 ἤσθην *C*, ἤστην etiam *K*, ἤτην schol. Hom. Il. 1, 104 | ταὔτ' *L*, ταῦτ' *AaBP* | ταῦτ' ἔχοντα *E*, ταῦτ' ἔχοντες *C* | ἔχοντε γράματα *K* | πράγματα *E*, πράγματα et in marg. γρ. γράμματα *a* 388 'τύγχανον Reiske, cfr. schol. ἐτύγχανον γινώσκουσα | προγνοῦσ' *E*, φρονοῦσ' *AaCLP*, φρονοῦσιν mut in φρονοῦσα *B*, φρονῦσ' *K* 389 διαφθαρεῖν *A* 390 ἔμελλον postmodum addidit *A*, habet etiam *K* | ὥστε γ' ἔμπαλιν mut. in ὥστε τοὔμπαλιν *K*, ὥστ' ἐς τοὔμπαλιν Herwerden 393 ἐνέγκοιμ' Dindorf | μὲν om. *C* 395 γλώσσει *E* 398 δὲ *BCKLP*, τε *AE* (de *a* mihi non constat) | εὔνοιαν mut. in ἄνοιαν *B* 400 τρίττον *A* | τοισίδ'] Valckenaer, τοῖσιν libri (etiam *K*) | ἐξήνυτον *A*, sed τ erasum 402 κράτισον *P* | οὐδεῖ *A*, σ add. *A*[2] | βουλευμάτων *Aa*, βουλεύμασι *EL*, βουλεύμασιν *a*[2] *BClP* 403 ἐμοί τε γὰρ *P* | κακὰ *C* 404 μὴ πολλοὺς *C* 405 ἤδη vel ᾔδη *AE* (minio supra scriptum ἀντὶ τοῦ ἤδειν) *aK*, ᾔδειν *a*[2]*BCLP* 406 τε *LP* (τ in δ et denuo in τ mut. *l*), δὲ *AEaBK*, om. *C* | τοῖς *K*, τῆσδ' *P* | ἐγίνωσκον *ACP* 407 ὡς *a*[2]*BCLP*, ὥστ' *AEaK* | ὤλοιτο *A* ὄλοιτο *A*[2] 408 αἰσχύνην *a* αἰσχύνειν *a*[2]

πρώτη θυραίους. ἐκ δὲ γενναίων δόμων
τόδ' ἦρξε θηλείαισι γίγνεσθαι κακόν.
ὅταν γὰρ αἰσχρὰ τοῖσιν ἐσθλοῖσιν δοκῇ,
ἦ κάρτα δόξει τοῖς κακοῖς εἶναι καλά.
μισῶ δὲ καὶ τὰς σώφρονας μὲν ἐν λόγοις,
λάθρᾳ δὲ τόλμας οὐ καλὰς κεκτημένας.
αἳ πῶς ποτ', ὦ δέσποινα ποντία Κύπρι,
βλέπουσιν ἐς πρόσωπα τῶν ξυνευνετῶν
οὐδὲ σκότον φρίσσουσι τὸν ξυνεργάτην
τέραμνά τ' οἴκων μή ποτε φθογγὴν ἀφῇ;
ἡμᾶς γὰρ αὐτὸ τοῦτ' ἀποκτείνει, φίλαι,
ὡς μήποτ' ἄνδρα τὸν ἐμὸν αἰσχύνασ' ἁλῶ,
μὴ παῖδας οὓς ἔτικτον· ἀλλ' ἐλεύθεροι
παρρησίᾳ θάλλοντες οἰκοῖεν πόλιν
κλεινῶν Ἀθηνῶν, μητρὸς εἵνεκ' εὐκλεεῖς.
δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ,
ὅταν ξυνειδῇ μητρὸς ἢ πατρὸς κακά.
μόνον δὲ τοῦτό φασ' ἁμιλλᾶσθαι βίῳ,
γνώμην δικαίαν κἀγαθήν, ὅτῳ παρῇ.
κακοὺς δὲ θνητῶν ἐξέφην', ὅταν τύχῃ,
προθεὶς κάτοπτρον ὥστε παρθένῳ νέᾳ
χρόνος· παρ' οἷσι μήποτ' ὀφθείην ἐγώ.

ΧΟ. φεῦ φεῦ· τὸ σῶφρον ὡς ἁπανταχοῦ καλὸν
καὶ δόξαν ἐσθλὴν ἐν βροτοῖς καρπίζεται.

ΤΡ. δέσποιν', ἐμοί τοι συμφορὰ μὲν ἀρτίως
ἡ σὴ παρέσχε δεινὸν ἐξαίφνης φόβον·

---

410 *γίνεσθαι AP* 411 *ἐσθλοῖσι BCLP, ἐσθλοῖσιν l* | *δοκὴ L*, sed *ῆ* ex alia litera corr. *L* vel *l* 412 *ἢ AP* | *δόξει KLP, δόξῃ A, δόξῃ* mut. in *δόξει Ea, δόξῃ BC* | *κακοῖς γ' AaBC, γ'* om. *ELP* 414 *λάθρα δὲ τόλμασ' A* 415 *αἶ A* (adscr. schol. *στενακτικὸν καὶ σχετλιαστικὸν*) | *ποθ'* corr. in *ποτ' K* 417 *φρίσσουσιν A, φρίσουσι P* | *συνεργάτην P* (*ξυνεργάτην* etiam *K*) 418 *τέραμνα L, τέρεμνα AEaCKP*, cfr. Phoen. 333 419 *τοῦτο K* | *ἀποκτείνει ELP, ἀποκτενεῖ AaBCK* 422 *οἰκεῖεν BC* 423 *οὕνεκ'* vel *οὕνεκ'* libri 424 *θρασύσπλαγχνος L, θρασύστομος* Diog. L. 4, 51 | *εἶ C* 426 *δὲ καὶ L* | *φασὶ τοῦθ'* Stob. fl. 90, 11 (*τοῦτό φασ'* etiam *K*) 427 *ὅτῳ*] *ὅταν* Stobaeus (*ὅτῳ* etiam *K*) 429 *προσθεὶς P* | *ὡς C* | *παρθένος νέα LP* 430 *ὁ χρόνος* et *οἷσιν l* | *μὴ προσοφθείην K* 431 *ὡς*] *πῶς LP* | *ἁπανταχοῦ AEaBKP, ἁπανταχῇ CL* 432 *κομίζεται LP*, Stob. fl. 5, 20, Christ. pat. 549 433 *ἐμοί τ' οι ἡ συμφορὰ A*

νῦν δ' ἐννοοῦμαι φαῦλος οὖσα· κἂν βροτοῖς
αἵ δεύτεραί πως φροντίδες σοφώτεραι.
οὐ γὰρ περισσὸν οὐδὲν οὐδ' ἔξω λόγου
πέπονθας· ὀργαὶ δ' ἐς σ' ἀπέσκηψαν θεᾶς.
ἐρᾷς· τί τοῦτο θαῦμα; σὺν πολλοῖς βροτῶν.
κἄπειτ' ἔρωτος εἵνεκα ψυχὴν ὀλεῖς;
οὔ τἄρα λύει τοῖς ἐρῶσι τῶν πέλας
ὅσοι τε μέλλουσ', εἰ θανεῖν αὐτοὺς χρεών·
Κύπρις γὰρ οὐ φορητός, ἢν πολλὴ ῥυῇ·
ἣ τὸν μὲν εἴκονθ' ἡσυχῇ μετέρχεται,
ὃν δ' ἂν περισσὸν καὶ φρονοῦνθ' εὕρῃ μέγα,
τοῦτον λαβοῦσα, πῶς δοκεῖς; καθύβρισεν.
φοιτᾷ δ' ἀν' αἰθέρ', ἔστι δ' ἐν θαλασσίῳ
κλύδωνι Κύπρις, πάντα δ' ἐκ ταύτης ἔφυ·
ἥδ' ἐστὶν ἡ σπείρουσα καὶ διδοῦσ' ἔρον,
οὗ πάντες ἐσμὲν οἱ κατὰ χθόν' ἔκγονοι.
ὅσοι μὲν οὖν γραφάς τε τῶν παλαιτέρων
ἔχουσιν αὐτοί τ' εἰσὶν ἐν μούσαις ἀεί,
ἴσασι μὲν Ζεὺς ὥς ποτ' ἠράσθη γάμων
Σεμέλης, ἴσασι δ' ὡς ἀνήρπασέν ποτε
ἡ καλλιφεγγὴς Κέφαλον ἐς θεοὺς Ἕως
ἔρωτος εἵνεκ'· ἀλλ' ὅμως ἐν οὐρανῷ
ναίουσι κοὐ φεύγουσιν ἐκποδὼν θεούς,
στέργουσι δ', οἶμαι, ξυμφορᾷ νικώμενοι.
σὺ δ' οὐκ ἀνέξῃ; χρῆν σ' ἐπὶ ῥητοῖς ἄρα
πατέρα φυτεύειν ἢ 'πὶ δεσπόταις θεοῖς

---

435 *βροτοῖς*] *σοφοῖς* Barthold 437 sq. suspecti (438 delet Nauck) 438 *ἀπέσκηψαν EaLP*, *ἐπέσκηψαν ABCKl* 440 *οὕνεκα* vel *οὕνεκα* libri 441 sq. *οὔ τἄρα λύει*] Valckenaer, *οὔτ' ἆρα* (vel *ἄρα*) *γ' οὐ δεῖ EaCbLP*, *οὐκ ἄρα γ' οὐ δεῖ AB*, cfr. schol. *οὐ λυσιτελεῖ, οὐ σεμφέρει* | post *πέλας* addit *ἐρᾶν A* | fort. *τοῖς ἐρῶσι τοὺς πέλας νόσον μαλάσσειν* 443 *φορητόν* Stob. fl. 63, 5 (*φορητός* etiam in *K* et in schol. Tro. 990) 444 *ἤκονθ' E* 445 *ὃν δ' αὖ Cl* | *εὗροι C* 446 *καθύβρισε aBCL* (*καθύβρισεν l*) 447 *ἂν αἰθέρα A* 449 sq. delet Herwerden 449 *ἐστι L ἐστιν l* | *κἀλδαίνουσ'* Metzger 450 *ἔκγονοι aBCL* Plut. Mor. p. 756 E Christ. pat. 50, *ἔγγονοι AEP* 454 *ἀνήρπασε EBC* 456 *εἵνεκ' K*, *οὕνεκ'* vel *οὕνεκ'* ceteri libri 457 *ναίουσιν A* | *θεῶν C* 458 *ξυμφορᾷ KLP*, *συμφορᾷ* ceteri, *συμφοραῖς* Christ. pat. 1065 459 *ἐπιρρητοῖς A*, *ἐπὶρρητοῖς B* et mut. in *ἐπὶ ῥητοῖς a* 460 *ἐπὶ E*

ἄλλοισιν, εἰ μὴ τούσδε γε στέρξεις νόμους.
πόσους δοκεῖς δὴ κάρτ' ἔχοντας εὖ φρενῶν
νοσοῦνθ' ὁρῶντας λέκτρα μὴ δοκεῖν ὁρᾶν;
πόσους δὲ παισὶ πατέρας ἡμαρτηκόσι
συνεκκομίζειν Κύπριν; ἐν σοφοῖσι γὰρ
τάδ' ἐστὶ θνητῶν, λανθάνειν τὰ μὴ καλά.
οὐδ' ἐκπονεῖν τοι χρῆν βίον λίαν βροτούς·
οὐδὲ στέγην γὰρ ἧς κατηρεφεῖς δόμοι
κανὼν ἀκριβώσειεν· ἐς δὲ τὴν τύχην
πεσοῦσ' ὅσην σὺ πῶς ἂν ἐκνεῦσαι δοκεῖς;
ἀλλ', εἰ τὰ πλείω χρηστὰ τῶν κακῶν ἔχεις,
ἄνθρωπος οὖσα κάρτα γ' εὖ πράξειας ἄν.
ἀλλ', ὦ φίλη παῖ, λῆγε μὲν κακῶν φρενῶν,
λῆξον δ' ὑβρίζουσ'· οὐ γὰρ ἄλλο πλὴν ὕβρις
τάδ' ἐστί, κρείσσω δαιμόνων εἶναι θέλειν·
τόλμα δ' ἐρῶσα· θεὸς ἐβουλήθη τάδε.
νοσοῦσα δ' εὖ πως τὴν νόσον καταστρέφου.
εἰσὶν δ' ἐπῳδαὶ καὶ λόγοι θελκτήριοι·
φανήσεταί τι τῆσδε φάρμακον νόσου.
ἦ τἄρ' ἂν ὀψέ γ' ἄνδρες ἐξεύροιεν ἄν,
εἰ μὴ γυναῖκες μηχανὰς εὑρήσομεν.

ΧΟ. Φαίδρα, λέγει μὲν ἥδε χρησιμώτερα·
πρὸς τὴν παροῦσαν ξυμφοράν, αἰνῶ δὲ σέ.

---

461 *γε* om. *C* | *στέργεις LP* 462 *δὴ* postmodum add. *L* | *φρενῶν ELP*, *φρονεῖν AaBC* 463 *δοκεῖν θ' E* 464 *παισὶν AP* | *ἡμαρτηκόσι A²EaBCL*, *ἡμαρτηκόσιν lP*, *ἡμαρτηκότας A* 467 *χρῆν AEaBC*, *χρὴ LP* | *λίαν βίον BC* 468 sq. *δόμοι a*, *δοκοὶ* superscr. *a²* | fort. *οὐδὲ στέγης ἂν τὰς κατηρεφεῖς δοκούς*, cfr. schol. *οὐδ' ἂν τέκτονες τὸ μέτρον τοῦ διαστήματος τῶν δόμων* (*δοκῶν* Valckenaer) *φυλάξειαν κτέ.* 469 sq. *κανὼν ἀκριβώσειεν*] Markland, *καλῶς ἀκριβώσειαν* libri | *ἐς κλύδωνα δὲ πεσοῦσ' ὅσον σὺ* Gomperz, *ἐς δὲ συμφορὰν πεσοῦσ' ὅσην σὺ* E. Spangenberg 470 *πῶς*] *ποτ' E* | *ἐκνεῦσαι EaLP*, *ἐκπνεῦσαι ABC* 471 *ἔχοις* Lascaris 472 *κάρτ' L*, *κάρτα γ' l* 473 *φρενῶν κακῶν h* 474 *πλὴν*] *πρὶν*, superscr. *πλὴν*, *a* 475 fort. *τόδ'* | *κρείσσων*, sed *ν* puncto not., et *θέλη* corr. ex *θέλει C* 476 *ἠβουλήθη C* 477 *νοσοῦσα δ' εὖ P*, sed *α δ' εὖ* in litura scr. *p* 478 *εἰσὶ C* 479 om. *P*, in marg. adscr. et post 477 inseri iussit *p* 480 *ἦ τἄρ' ἂν*] Brunck, *ἦ τ' ἆρα* (vel *ἄρα*) *γ' aLP*, *ἦ γὰρ ἂν AEBC* 482 *χρησιμώτεραι A*, *χρησιμώτερον C* 483 *ξυμφοράν aLP*, *συμφορὰν AEBC*

ὁ δ' αἶνος οὗτος δυσχερέστερος ψόγων
τῶν τῆσδε καὶ σοὶ μᾶλλον ἀλγίων κλύειν.
ΦΑΙ. τοῦτ' ἔσθ' ὃ θνητῶν εὖ πόλεις οἰκουμένας
δόμους τ' ἀπόλλυσ', οἱ καλοὶ λίαν λόγοι.
οὐ γάρ τι τοῖσιν ὠσὶ τερπνὰ δεῖ λέγειν,
ἀλλ' ἐξ ὅτου τις εὐκλεὴς γενήσεται.
ΤΡ. τί σεμνομυθεῖς; οὐ λόγων εὐσχημόνων
δεῖ σ', ἀλλὰ τἀνδρὸς — ὡς τάχος διιστέον,
τὸν εὐθὺν ἐξειπόντας ἀμφὶ σοῦ λόγον.
εἰ μὲν γὰρ ἦν σοι μὴ 'πὶ συμφοραῖς βίος
τοιαῖσδε, σώφρων δ' οὖσ' ἐτύγχανες γυνή,
οὐκ ἄν ποτ' εὐνῆς εἵνεχ' ἡδονῆς τε σῆς
προῆγον ἄν σε δεῦρο· νῦν δ' ἀγὼν μέγας
σῶσαι βίον σόν, κοὐκ ἐπίφθονον τόδε.
ΦΑΙ. ὦ δεινὰ λέξασ', οὐχὶ συγκλῄσεις στόμα
καὶ μὴ μεθήσεις αὖθις αἰσχίστους λόγους;
ΤΡ. αἴσχρ' ἀλλ' ἀμείνω τῶν καλῶν τάδ' ἐστί σοι.
κρεῖσσον δὲ τοὔργον, εἴπερ ἐκσώσει γέ σε,
ἢ τοὔνομ', ᾧ σὺ κατθανῇ γαυρουμένη.
ΦΑΙ. καὶ μή γε πρὸς θεῶν, εὖ λέγεις γάρ, αἰσχρὰ δέ,
πέρα προβῇς τῶνδ'· ὡς ὑπείργασμαι μὲν οὐ
ψυχὴν ἔρωτι, τἀσχρὰ δ' ἢν λέγῃς καλῶς,
ἐς τοῦθ' ὃ φεύγω νῦν ἀναλωθήσομαι.
ΤΡ. εἴ τοι δοκεῖ σοι, χρῆν μὲν οὔ σ' ἁμαρτάνειν·

---

484 δυσχερέστερος *E* (ut vid.) *BLP*, δυστυχέστερος *AaC* | ψόγων] Weil, λόγων libri 485 σοῦ *A* | ἄλγιον *AC* 487 δ' *B* | ἀπόλλυσιν *BC* | καλλοὶ *B* 488 γάρ τοι *B*, γάρ τι. (τι in ras.) *L*, γὰρ τὰ Wilamowitz | δεῖ *aLP*, χρὴ ceteri 491 εἰς τάχος *P* | διιστέον *aBL*, διοιστέον *AECP* 493 εἰ μὴ *L* 494 versus suspectus 495 οὕνεκ' vel οὕνεχ' libri (ἕνεχ' *P*) 496 προῆγον] Scaliger, προσῆγον libri 498 συγκλῄσεις *EK*, συγκλείσεις *AaBCLP* 499 μεθήσεις *L*, η super ει scr. *l* 500 Phaedrae continuat, nutricis nota ante 501 posita, *E* | καλῶν *A*² *EaLP*, κακῶν *AC*, κακῶν mut. in καλῶν *B* | τῶνδ' mut. in τάδ' *a*, τάδ' om. *h* 501 ἐκσώσειέ σε *LP* 502 ᾧ] ὃ *C* 503 καὶ μή (etiam in *K*) γε] μή μοί γε Paley, fort. μή, μαῖα | λέγεις γὰρ *EaKLP*, λέγεις *AC*, λέγεις μὲν *B* (μὲν supra v. scr. *B*) | αἰσχρὰ τάδε *A* 504 ὑπείργασμαι etiam in *K* | οὐ] Bothe, εὖ libri (superscr. schol. λίαν in *A*) 505 τἀἴσχρα *B*, τ' αἰσχρὰ *a*, τὰ αἰσχρὰ *P* | ἢ *A* ἢν *A*² | λέγεις mut. in λέγῃς *L* 506 φεύγων *P* | ἀναλωθήσομαι *EKL*, ἂν ἀλωθήσομαι *A*, ἂν ἀλωθήσομαι *aP*, ἀλωθήσομαι *BC* 507 εἴ τι *AB* et mut. in εἴ τοι *P*, εἶτ' εἰ *C* | χρὴ Nauck

εἰ δ' οὖν, πιθοῦ μοι· δευτέρα γὰρ ἡ χάρις.
ἔστιν κατ' οἴκους φίλτρα μοι θελκτήρια
ἔρωτος, ἦλθε δ' ἄρτι μοι γνώμης ἔσω,
ἅ σ' οὔτ' ἐπ' αἰσχροῖς οὔτ' ἐπὶ βλάβῃ φρενῶν
παύσει νόσου τῆσδ', ἢν σὺ μὴ γένῃ κακή.
[δεῖ δ' ἐξ ἐκείνου δή τι τοῦ ποθουμένου
σημεῖον, ἢ πλόκον τιν' ἢ πέπλων ἄπο
λαβεῖν, συνάψαι τ' ἐκ δυοῖν μίαν χάριν.]

ΦΑΙ. πότερα δὲ χριστὸν ἢ ποτὸν τὸ φάρμακον;
ΤΡ. οὐκ οἶδ'· ὄνασθαι, μὴ μαθεῖν βούλου, τέκνον.
ΦΑΙ. δέδοιχ' ὅπως μοι μὴ λίαν φανῇς σοφή.
ΤΡ. πάντ' ἂν φοβηθεῖσ' ἴσθι· δειμαίνεις δὲ τί;
ΦΑΙ. μή μοί τι Θησέως τῶνδε μηνύσῃς τόκῳ.
ΤΡ. ἔασον, ὦ παῖ· ταῦτ' ἐγὼ θήσω καλῶς.
μόνον σύ μοι, δέσποινα ποντία Κύπρι,
συνεργὸς εἴης. τἄλλα δ' οἷ' ἐγὼ φρονῶ
τοῖς ἔνδον ἡμῖν ἀρκέσει λέξαι φίλοις.

ΧΟ. Ἔρως Ἔρως, ὁ κατ' ὀμμάτων stroph.
στάζων πόθον, εἰσάγων γλυκεῖαν
ψυχᾷ χάριν οὓς ἐπιστρατεύσῃ,
μή μοί ποτε σὺν κακῷ φανείης
μηδ' ἄρρυθμος ἔλθοις.
οὔτε γὰρ πυρὸς οὔτ'
ἄστρων ὑπέρτερον βέλος,
οἷον τὸ τᾶς Ἀφροδίτας

---

508 πειθοὺ *A*, πιθοῦ etiam in *K* 509 ἔστι *BC* 510 ἄρτι δ' ἦλθε *K* 511 ἅ σ' *A* ἃ θ' A^2, fort. ὅ σ' | βλάβην *E* 512 παύσῃ *P* | ἢν μὴ σὺ μὴ γένῃ κακή *B* 513—15 delevit Nauck 514 σημεῖον τιν' *P* | πλόκον] Reiske, λόγον libri (etiam *K*, λόγων *B*) 515 πότερον δὲ χρηστὸν *P* 518 σοφῆι φανῆς *A*, φανῇ σοφή Monk 520 μηνύσῃ *P* | τέκνω *L* 525 ὁ *A* ὃ A^2a (cum gl. ὃς), ὃς *EBCLP* 526 στάζων] Paley, ὅστις στάξεις *A* ὅστις στάζεις A^2, στάζεις ceteri (ante στάζεις litera erasa in *L*) 527 ψυχᾷ *EBLP*, ψυχᾶς *A*, ψυχαῖς A^2aC | οὓς *AEaBLP*, οἷς A^2a^2, αἷς *C* 528 συγκακῷ *A* 529 ἄρρυθμος *L*, ἄρυθμος mut. in ἄρρυθμος *A*, ἄρρυθμος *a*, ἄρυθμος a^2, ἄρυθμος *EBC*, ἄρυθμος altera ρ litera, ut videtur, erasa *P* | ἔλθ∗ *L*, ης super ras. scr. *l* 532 τᾶς (τὰς *C*) ἀφροδίτας *aBCLP*, τῆς ἀφροδισίας *A*, τῆς ἀφροδίτας *E*

ἵησιν ἐκ χερῶν
Ἔρως, ὁ Διὸς παῖς.

ἄλλως ἄλλως παρά τ' Ἀλφεῷ antistr.
Φοίβου τ' ἐπὶ Πυθίοις τεράμνοις
βούταν φόνον Ἑλλὰς αἶ' ἀέξει·
Ἔρωτα δέ, τὸν τύραννον ἀνδρῶν,
τὸν τᾶς Ἀφροδίτας
φιλτάτων θαλάμων
κληδοῦχον, οὐ σεβίζομεν,
πέρθοντα καὶ διὰ πάσας
ἰόντα συμφορᾶς
θνατοῖς, ὅταν ἔλθῃ.

τὰν μὲν Οἰχαλίᾳ stroph.
πῶλον ἄζυγα λέκτρων,
ἄνανδρον τὸ πρὶν καὶ ἄνυμφον, οἴκων
ζεύξασ' ἀπ' Εὐρυτίων δρομάδα
Ναΐάδ' ὅπως τε Βάκχαν
σὺν αἵματι, σὺν καπνῷ
φονίοις θ' ὑμεναίοις
Ἀλκμήνας τόκῳ Κύπρις ἐξέδωκεν·
ὢ τλάμων ὑμεναίων.

ὦ Θήβας ἱερὸν antistr.

---

533 ἵησιν *Aa*, ἵησ' *l* | χερῶν] Aldina, χειρῶν libri 534 Ἔρως om. *P* 535 ἄλως ἄλως *C*, μάτην μάτην Brunck | ἀλφεῶ *P*, ἀλφειῷ *AEaCBL* 536 τ' ἐν *l* 537 αἶ' om. libri, add. Hermann 538 δὲ τὴν *P*, τὸν om. *E* 539 τῆς ἀφροδίτας *E* 541 κληιδοῦχον *aLP*, κλειδοῦχον *AEC* et factum ex κλειδούχων *B* | σεβάζομεν *C* 542 πλεῖστας *A*, πάσας *EaBC*, πάσης *LP* 544 θνατοῖς *aCLP*, θνητοῖς *AEB* 545 τὰν ἐν Wolfg. Bauer | post οἰχαλία sequitur ut versus παρθένον τ' ἄπειρον γάμων, post γάμων unius lineae verba erasa in *E* (verba παρθένον ἄπειρον γάμων in *a* ut glossa ascripta) 546 πώλων *P* 549 ἀπ' Εὐρυτίων] Buttmann, ἀπειρεσίαν libri (in *L* αν in ras.) 550 Ναΐάδ'] scripsi, ναΐδα *Aa* (in *Aa* superscr. νύμφην) *EBC*, ναΐδ' *L*, ἀίδ' *P*, τὰν ἀΐδ' *l* | βάκχαν superscr. γρ. μαινάδα *a*, γρ. μαινάδα etiam schol. *B* 551 συγκαπνῶ *P* σὺν καπνῶ *p* 552 φοινίοις *C*, φονία *P* φονίαν *p* | φονίοις ὑφ' ὕμνοισιν Weil (ὕμνοισι Osann), φονίοισί θ' ὕμνοισιν Wilamowitz, fort. φονίοις σὺν ὕμνοισιν 553 ἐξέδωκεν *LP*, ἔδωκεν *AEaBC* 554 τλάμων] Heath, τλάμον vel τλᾶμον libri

τεῖχος, ὦ στόμα Δίρκας,
συνείποιτ' ἂν ἁ Κύπρις οἷον ἕρπει.
βροντᾷ γὰρ ἀμφιπύρῳ τοκάδα
τὰν Διογόνοιο Βάκχου
λοχευσαμέναν πότμῳ
φονίῳ κατηύνασεν.
δεινὰ γὰρ τὰ πάντ' ἐπιπνεῖ, μέλισσα δ'
οἵα τις πεπόταται.

ΦΑΙ. σιγήσατ', ὦ γυναῖκες· ἐξειργάσμεθα.
ΧΟ. τί δ' ἔστι, Φαίδρα, δεινὸν ἐν δόμοισί σοι;
ΦΑΙ. ἐπίσχετ', αὐδὴν τῶν ἔσωθεν ἐκμάθω.
ΧΟ. σιγῶ· τὸ μέντοι φροίμιον κακὸν τόδε.
ΦΑΙ. ἰώ μοι, αἰαῖ·
ὦ δυστάλαινα τῶν ἐμῶν παθημάτων.
ΧΟ. τίνα θροεῖς αὐδάν; τίνα βοᾷς λόγον;
ἔνεπε τίς φοβεῖ σε φήμα, γύναι,
φρένας ἐπίσσυτος.
ΦΑΙ. ἀπωλόμεσθα. ταῖσδ' ἐπιστᾶσαι πύλαις
ἀκούσαθ' οἷος κέλαδος ἔνδον ἵσταται.
ΧΟ. σὺ παρὰ κλῇθρα, σοὶ μέλει πομπίμα
φάτις δωμάτων.
ἔνεπε δ' ἔνεπέ μοι, τί ποτ' ἔβα κακόν;

---

556 *δίρκας EaBClP*, *δίρκης Aa²L* 557 *συνείποιτ' AEaCLP*, *συνείπετ' AB*, unde *συνείπαιτ'* Kirchhoff | *ἁ Κύπρις οἷον*] Monk, *οἷον* (*οἷα a*) *ἁ* (*ἡ B*) *κύπρις* libri 560 *διογόνοιο L*, sed prius *ιο* ex *ισ* ut vid. corr. *L* vel *l*, schol. *γράφεται καὶ διγόνοιο* 561 *λοχευσαμέναν*] scripsi, *νυμφευσαμέναν* libri, cfr. Suppl. 1136 562 *φοινίῳ C* | *κατεύνασεν* libri (scripto *ε* super *σ B*), *κατέλυσε* Bothe 563 *δεινὸν l* | *τὰ πάντ' ἐπιπνεῖ l*, *πάντ' ἐπιπνεῖ A*, *πάντα τ' ἐπιπνεῖ LP*, *πάντα ἐπιπνεῖ a*, *πάντα γε πιτνεῖ BC*, *πάντα γε ἐπιπιτνεῖ*, superscr. *ἐπιπνεῖ E*, *πάντα γ' ἐπιπνεῖ* Kirchhoff 564 *οἷα A* | *πεπόταται aLP*, *πεπότηται AECB* (*πέταται* superscr. *b*) 566 *δόμοισί σοι*] Elmsley, *δόμοισι* (*δόμοις C*) *σοῖς* libri 566—68 sic: 568. 567. 566 olim disponebat Wilamowitz 567 *ὡς μάθω bl* 568 *τὸ* postmodum add. *L* 569 *ἰώ μοι αἶ αἶ L*, *ἰώ μοι μοι αἶ αἶ P*, *ἰώ μοι αἶ αἶ αἶ αἶ ABCl*, *ἰώ μοι αἶ αἶ αἶ E*, *ἰώ μοι μοι αἶ αἶ αἶ αἶ a* 571 *τίνα .. αὐδάν; τίνα λόγον βοᾷς;* Weil, *τίνα βοᾷς λόγον; τίνα θροεῖς αὐδάν;* Halbertsma 572 *ἔννεπε* libri | *φάμα* Monk 575 *ἀπολόμεσθα B* corr. *B²*, *ἀπωλόμεθα L* corr. *l* 576 *ἔνδον ἵσταται*] scripsi, *ἐν δόμοις πιτνεῖ* libri 578 *κλῇθρα AaLP*, *κλεῖθρα EBC* | *μέλλει A* | *πομπῆμα C* 580 *ἔννεπε δ' ἔννεπε* libri

ΦΑΙ. ὁ τῆς φιλίππου παῖς Ἀμαζόνος βοᾷ
Ἱππόλυτος, αὐδῶν δεινὰ πρόσπολον κακά.
ΧΟ. ἀχὰν μὲν κλύω, σαφὲς δ' οὐκ ἔχω
γεγώνειν ὅπα
διὰ πύλας ἔμολεν ἔμολε σοὶ βοά.
ΦΑΙ. καὶ μὴν σαφῶς γε τὴν κακῶν προμνήστριαν,
τὴν δεσπότου προδοῦσαν ἐξαυδᾷ λέχος.
ΧΟ. ὤμοι ἐγὼ κακῶν· προδέδοσαι, φίλα.
τί σοι μήσομαι;
τὰ κρυπτὰ γὰρ πέφηνε, διὰ δ' ὄλλυσαι
ΦΑΙ. αἰαῖ, ἒ ἔ.
ΧΟ. πρόδοτος ἐκ φίλων.
ΦΑΙ. ἀπώλεσέν μ' εἰποῦσα συμφορὰς ἐμάς,
φίλως, καλῶς δ' οὐ τήνδ' ἰωμένη νόσον.
ΧΟ. πῶς οὖν; τί δράσεις, ὦ παθοῦσ' ἀμήχανα;
ΦΑΙ. οὐκ οἶδα πλὴν ἕν· κατθανεῖν ὅσον τάχος
τῶν νῦν παρόντων πημάτων ἄκος μόνον.

ΙΠΠΟΛΥΤΟΣ.

ὦ γαῖα μῆτερ ἡλίου τ' ἀναπτυχαί,
οἵων λόγων ἄρρητον εἰσήκουσ' ὄπα.

ΤΡΟΦΟΣ.

σίγησον, ὦ παῖ, πρίν τιν' αἰσθέσθαι βοῆς.
ΙΠ. οὐκ ἔστ' ἀκούσας δείν' ὅπως σιγήσομαι.
ΤΡ. ναὶ πρός σε τῆσδε δεξιᾶς εὐωλένου.

---

585 ἀχὰν] Elmsley, ἰαχὰν libri (γρ. καὶ ἰωὰν schol. *aB*) | σαφῶς *a* 586 γεγωνεῖν libri | ὄπα *BCLP*, ὄπα om. *A* add. *A*², ὄπα mut. in ὅπα *E*, ὅπα *l*, ὅπαι (γρ. καὶ χωρὶς τοῦ ι) *a*, οἷα ut viri docti coniecturam memorat Valckenaer 588 ἔμολεν ἔμολεν *aP* 589 personae notam om. *A* | τῶν κακῶν *C*, fort. τὴν γάμων 591 *ΧΟ.* ante ὤμοι om. et ante προδέδοσαι posuit *AC* 592 μήσομαι *LP*, μητίσομαι *ABC*, μνήσομαι superscr. μητίσομαι *E* 593 πτὰ γὰρ . . ὄλλυσαι in ras. scr. *L* | κρύπτ' ἄρα Seidler 594 αἰαῖ om. *a*, ἒ ἔ om. *BC* 596 ἀπώλεσε *AEaBC* 597 φίλως μὲν *ABC*, φίλως (omisso μὲν) *EaP*, φίλως μὲν, οὐ καλῶς δ' ἰωμένη *L*, sed μὲν οὐ καλῶς in ras. scr. m. secunda 598 πῶς οὖν] τί γοῦν Christ. pat. 610 et 1830, unde τί οὖν Kirchhoff | ποθοῦσ' *LP*, πο in πα corr. et πο superscr. m. secunda 600 τῶν νῦν πημάτων παρόντων *B*, literis superscriptis corr. *b* | πημάτων *L*, sed πη in ras. scr. *l* 602 οἷον λόγον *l* 603 παῖ om. *E* 604 ἔσθ' *A* 605 τῆσδε *BC*, τῆς σῆς *AEaLP* | δεξιᾶς τ' *a*, item τ inseruit *L* vel *l*, unde πρὸς σὲ γέννος δεξιᾶς τ' Markland, πρὸς γενείου δεξιᾶς τ' Hartung

ΙΠ. οὐ μὴ προσοίσεις χεῖρα μηδ' ἅψῃ πέπλων;
ΤΡ. ὦ πρός σε γονάτων, μηδαμῶς μ' ἐξεργάσῃ.
ΙΠ. τί δ', εἴπερ, ὡς φῄς, μηδὲν εἴρηκας κακόν;
ΤΡ. ὁ μῦθος, ὦ παῖ, κοινὸς οὐδαμῶς ὅδε.
ΙΠ. τά τοι κάλ' ἐν πολλοῖσι κάλλιον λέγειν.
ΤΡ. ὦ τέκνον, ὅρκους μηδαμῶς ἀτιμάσῃς.
ΙΠ. ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.
ΤΡ. ὦ παῖ, τί δράσεις; σοὺς φίλους διεργάσῃ;
ΙΠ. ἀπέπτυσ'· οὐδεὶς ἄδικός ἐστί μοι φίλος.
ΤΡ. σύγγνωθ'· ἁμαρτεῖν εἰκὸς ἀνθρώπους, τέκνον.
ΙΠ. ὦ Ζεῦ, τί δὴ κίβδηλον ἀνθρώποις κακὸν
γυναῖκας ἐς φῶς ἡλίου κατῴκισας;
εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος,
οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε,
ἀλλ' ἀντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς
ἢ χρυσὸν ἢ σίδηρον ἢ χαλκοῦ βάρος
παίδων πρίασθαι σπέρμα, τοῦ τιμήματος
τῆς ἀξίας ἕκαστον, ἐν δὲ δώμασιν
ναίειν ἐλευθέροισι θηλειῶν ἄτερ.
[νῦν δ' ἐς δόμους μὲν πρῶτον ἄξεσθαι κακὸν
μέλλοντες ὄλβον δωμάτων ἐκτίνομεν.]
τούτῳ δὲ δῆλον ὡς γυνὴ κακὸν μέγα·
προσθεὶς γὰρ ὁ σπείρας τε κἀκθρέψας πατὴρ
φερνὰς ἀπῴκισ', ὡς ἀπαλλαχθῇ κακοῦ.
ὁ δ' αὖ λαβὼν ἀτηρὸν ἐς δόμους φυτὸν

---

606 *προσοίσεις BCP*, *προσοίσης AE*, *προσοίσης* (η ex corr.) *L*, *προσοίσῃ a* 607 *μ'* om. *a* 610 *κάλλ' P* 612 *ὀμώμοκ' A*, *ὀμώμοκ' E*, *ὀμώμοχ' LP*, *ὀμώμοχ' l* 614 *ἔσται LP* 615 *ἁμαρτεῖν δ' εἰκὸς ἄνθρωπον* Christ. pat. 818 | *τέκνον*] *τάχα* superscr. *b* 616 *ζεὺς B ζεῦ b* | *κακὸν*] *γάνος* Weil 617 *κατώκισας B η* super *ι* scr. *b*, *κατῴκισαι P* 619 *τόδε*] *τέκνα* testa mus. Berolin. saec. sec. ante Chr. n. (Archaeol. Anz. 1889 p. 148) in qua sunt v. 616—24 620 *σοῖσι C* 621 *ἢ χαλκὸν.. χρυσοῦ βάρος aLP* et Stob. fl. 73, 30 | *χαλκοῦν* E^2 624 *ἐλευθέροισιν A* 625 sq. delevit Nauck 625 *ἄξεσθαι ECLP*, *ἄξεσθαι B* ante ξ litera (υ) erasa, α super ε scr. *b*, *ἄξασθαι Aa* 626 *ἐκτίνομεν EabL*, *ἐκτείνομεν ACP*, *ἐκπίνομεν* Pierson 627 *τοῦτο* mut. in *τούτω AC* 628 *προθεὶς C* | *κἀκθρέψας a*, *καὶ θρέψας* ceteri 630 *ἀτηρὸν εἰς δόμους φυτὸν Ea*, *εἰς δόμους ἀτηρὸν φυτὸν* et *γρ. ἀτηρὸν ἐν δόμοις κακόν Λ*, *ἀτηρὸν εἰς δόμους κακὸν LPB*, *φυτὸν* super *κακὸν* scr. *b*, *εἰς δόμους ἀτηρὸν κακὸν C*

γέγηθε κόσμον προστιθεὶς ἀγάλματι
καλὸν κακίστῳ καὶ πέπλοισιν ἐκπονεῖ
δύστηνος, ὄλβον δωμάτων ὑπεξελών.
[ἔχει δ' ἀνάγκην, ὥστε κηδεύσας καλῶς
γαμβροῖσι χαίρων σῴζεται πικρὸν λέχος,
ἢ χρηστὰ λέκτρα, πενθεροὺς δ' ἀνωφελεῖς
λαβὼν πιέζει τἀγαθῷ τὸ δυστυχές.]
ῥᾷον δ' ὅτῳ τὸ μηδέν, ἀλλ' ἀνωφελὴς
εὐηθίᾳ κατ' οἶκον ἵδρυται γυνή.
σοφὴν δὲ μισῶ· μὴ γὰρ ἔν γ' ἐμοῖς δόμοις
εἴη φρονοῦσα πλείον' ἢ γυναῖκα χρή.
τὸ γὰρ κακοῦργον μᾶλλον ἐντίκτει Κύπρις
ἐν ταῖς σοφαῖσιν· ἡ δ' ἀμήχανος γυνὴ
γνώμῃ βραχείᾳ μωρίαν ἀφῃρέθη.
χρῆν δ' ἐς γυναῖκα πρόσπολον μὲν οὐ περᾶν,
ἄφθογγα δ' αὐταῖς συγκατοικίζειν δάκη
θηρῶν, ἵν' εἶχον μήτε προσφωνεῖν τινα
μήτ' ἐξ ἐκείνων φθέγμα δέξασθαι πάλιν.
νῦν δ' αἱ μὲν ἔνδον δρῶσιν αἱ κακαὶ κακὰ
βουλεύματ', ἔξω δ' ἐκφέρουσι πρόσπολοι.
ὡς καὶ σύ γ' ἡμῖν πατρός, ὦ κακὸν κάρα,
λέκτρων ἀθίκτων ἦλθες ἐς συναλλαγάς·
ἁγὼ ῥυτοῖς νασμοῖσιν ἐξομόρξομαι,
ἐς ὦτα κλύζων. πῶς ἂν οὖν εἴην κακός,
ὃς οὐδ' ἀκούσας τοιάδ' ἁγνεύειν δοκῶ;
εὖ δ' ἴσθι, τοὐμόν σ' εὐσεβὲς σῴζει, γύναι·

---

631 *προτιθεὶς B* 633 *ὄλβου P* 634—37 delevit A. Willems 634 *καλῶς*] Kirchhoff, *καλοῖς* libri 635 *γαυροῖσι χαίρων B* 636 *δ'* om. *E* 637 *τῶ 'γαθῶ LP* 638 *ῥᾷον C* (cfr. scholia in quibus *μᾶλλον δὲ* et *βέλτιον δέ*), *ῥᾷστον* ceteri | fort. *τὸ μηδὲν οὖσα κἀφελὴς* 640 sq. suspectos habet Nauck 641 *πλεῖον* in *πλείον'* mut. *C*, *πλεῖον* ceteri | *χρή AEC*, *χρῆν aBLP* 642 *κακοῦργον AEaC*, *κακοῦργον*, superscr. *γρ. καὶ πανοῦργον B*, *πανοῦργον LP* 643 sq. omissos in marg. add. *L* 645 *χρῆν BCLP*, *χρὴ AEa* | *γυναῖκα AEC*, *γυναῖκας aBLP* 646 *συνκατοικίζειν B* 647 *μηδὲ LP* 648 *δέξηται B* 649 om. *LP* (super *δ' ἐκ* versus proximi scr. *λείπει l*) | *ἔνδον* (super versum scr. *B*) *δρῶσιν*] fort. *ἐννοοῦσιν* (*νῦν δ' ἔνδον ἐννοοῦσιν* J. Heiland) | *κακαὶ* om. *C* 651 *ὡς καὶ AEaBC*, in marg. *γρ. εἰ καὶ σύγ' ἀντὶ τοῦ ἐπεὶ a*, *εἰ καὶ LP*, *ὡς καὶ l* 653 *ῥυτοῖσιν νασμοῖς P* | *νασμοῖσι A* 654 *οὖν ἂν C* | *εἴη L ν* add. *l* 656 *σώζειν B*

εἰ μὴ γὰρ ὅρκοις θεῶν ἄφρακτος ᾑρέθην,
οὐ τἂν ἐπέσχον μὴ οὐ τάδ' ἐξειπεῖν πατρί.
νῦν δ' ἐκ δόμων μέν, ἔστ' ἂν ἐκδημῇ χθονὸς
Θησεύς, ἄπειμι· σῖγα δ' ἕξομεν στόμα.
θεάσομαι δὲ σὺν πατρὸς μολὼν ποδὶ
πῶς νιν προσόψει καὶ σὺ καὶ δέσποινα σή·
τῆς σῆς δὲ τόλμης εἴσομαι γεγευμένος.
ὄλοισθε. μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι
γυναῖκας, οὐδ' εἴ φησί τίς μ' ἀεὶ λέγειν·
ἀεὶ γὰρ οὖν πώς εἰσι κἀκεῖναι κακαί.
ἤ νύν τις αὐτὰς σωφρονεῖν διδαξάτω,
ἢ κἄμ' ἐάτω ταῖσδ' ἐπεμβαίνειν ἀεί.

ΦΑΙ. τάλανες ὦ κακοτυχεῖς antistr.
γυναικῶν πότμοι.
τίν' αὖ νῦν τέχναν ἔχομεν ἐλπίδος
σφαλεῖσαι κάθαμμα λύειν λόγου;
ἐτύχομεν δίκας· ἰὼ γᾶ καὶ φῶς.
πᾷ ποτ' ἐξαλύξω τύχας;
πῶς δὲ πῆμα κρύψω, φίλαι;
τίς ἂν θεῶν ἀρωγὸς ἢ τίς ἂν βροτῶν
πάρεδρος ἢ ξυνεργὸς ἀδίκων ἔργων
φανείη; τὸ γὰρ παρ' ἡμῖν πάθος

---

657 *μὴ* ex *μὲν* corr. *L* | *εὔφρακτος C*, *ἄφαρκτος* Dindorf | *ᾑρέθην*] Pierson (cfr. schol. *ἐλήφθην*), *εὑρέθην* libri 688 *οὐ τἂν ἐπέσχον*] Paley, *οὐκ ἄν ποτ' ἐπέσχον AaBC*, *οὐκ ἄν ποτ' ἔσχον ELP* | *μὴ οὐ AEaBC*, *μὴ LP* | *πατρί*] *κακὰ A*, sed adscr. schol. *γρ. καὶ πατρὶ*, fort. *πόλει* 659 sq. *ἐκδημῇ*] Hermann, *ἔκδημος* libri | *θησεὺς χθονὸς BC* | *ἕξομαι C* 665 *φήσει BC* 666 *οὖν πῶς*] *οὕτως* Stob. fl. 73, 3 667 *νῦν* libri 669—71 choro, 672—79 Phaedrae tribuunt *ABC LP*, omnes Phaedrae *Ea* (notam Phaedrae in ras. scr. *a*), cfr. schol. 669 *τάλανες* eraso *ι* post alterum *α EaL*, *τάλαινες* ceteri 670 *τίν' αὖ*] Nauck, *τίνα* libri (mut. in *τίνας a*) | *νῦν ἢ LP*, sed *ἢ* erasum in *L* | *τέχναν* mut. in *τέχνας a* | *ἐλπίδος*] Heimsoeth (cfr. schol.), *ἢ λόγους AEBC*, *ἢ λόγους* (mut. in *λόγον*) a, *ἢ λόγον bLP* (*λόγους l*) 671 *κάθαμμα* schol., *καθ' ἅμμα* Ea^2BClP, *καθ' ἅμα aL*, *κάθμα A* | *λύειν*] Musgrave, *λύσιν* $CLPa^2b$ (*σειν* super *σιν* scr. *l*), *λύσειν* ex *λύσσειν* corr. *A*, *λύσειν EaB* | *λόγου EaCLP*, *λόγους AB*, *λόγων* a^2 672 *ἔτυχον LP* | *ἰὼ*] Heath, *ὦ* libri 674 *πῶς δὲ κρύψω φίλαι πῆμα aLP* 675 *ἂν βροτῶν BLP*, *ἀνῶν AEaC* (i. e. *ἀνθρώπων*) 676 *πάρεδρος* om. *P* | *συνεργὸς C*

παρὸν δυσεκπέρατον ἔρχεται βίου.
κακοτυχεστάτα γυναικῶν ἐγώ.

ΧΟ. φεῦ φεῦ· πέπρακται, κοὐ κατώρθωνται τέχναι,
δέσποινα, τῆς σῆς προσπόλου, κακῶς δ' ἔχει.
ΦΑΙ. ὦ παγκακίστη καὶ φίλων διαφθορεῦ,
οἷ' εἰργάσω με. Ζεύς σε γεννήτωρ ἐμὸς
πρόρριζον ἐκτρίψειεν οὐτάσας πυρί.
οὐκ εἶπον, οὐ σῆς προυνοησάμην φρενός,
σιγᾶν ἐφ' οἷσι νῦν ἐγὼ κακύνομαι;
σὺ δ' οὐκ ἀνέσχου· τοιγὰρ οὐκέτ' εὐκλεεῖς
θανούμεθ'. ἀλλὰ δεῖ με δὴ καινῶν λόγων.
οὗτος γὰρ ὀργῇ συντεθηγμένος φρένας
ἐρεῖ καθ' ἡμῶν πατρὶ σὰς ἁμαρτίας,
[ἐρεῖ δὲ Πιτθεῖ τῷ γέροντι συμφοράς],
πλήσει δὲ πᾶσαν γαῖαν αἰσχίστων λόγων.
ὄλοιο καὶ σὺ χὤστις ἄκοντας φίλους
πρόθυμός ἐστι μὴ καλῶς εὐεργετεῖν.
ΤΡ. δέσποιν', ἔχεις μὲν τἀμὰ μέμψασθαι κακά·
τὸ γὰρ δάκνον σου τὴν διάγνωσιν κρατεῖ·
ἔχω δὲ κἀγὼ πρὸς τάδ', εἰ δέξῃ, λέγειν.
ἔθρεψά σ' εὔνους τ' εἰμί· τῆς νόσου δέ σοι
ζητοῦσα φάρμαχ' ηὗρον οὐχ ἁβουλόμην.
εἰ δ' εὖ γ' ἔπραξα, κάρτ' ἂν ἐν σοφοῖσιν ἦ·
πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα.

---

678 παρὸν] fort. πέρας | δυσεκπέρατον *EaLP*, δυσεκπέραντον *ABC* | βίον superscr. ου *E*, βίου mut. in βίον ut vid. *L* 679 κακοτυχεστάτων *A* | γυναικῶν *L* superscr. ὑπάρχω *l* | ἐγὼ erasum in *L* 680 κατόρθωνται (sed ν erasum) τέχναι *A*, κατώρθωνται τέχναι *aLP* et schol., κατώρθωται (κατόρθωται *C*) τέχνη *EC*, κατόρθωται τέχνης mut. in κατόρθωνται τέχναι *B* 681 τῇ σῆς *L* 682 διαφθορὰ *l* 683 ἐργάσω *C* et mut. in εἰργάσω *L* | Ζεύς σε] Gust. Wolff, Ζεύς σ' ὁ libri (ζεύσ' ὁ *B*, σ' om. *CLP*, add. *l*) | ἐμοὶ *C* 684 πρόριζον ἐκρίψειεν *A* 685 οὐ] ὡς Luzac, ἢ Bothe 686 οἷσιν *AaP* | κακείνομαι *C* 687 fort. οὐ κατέσχον 688 δεῖ in ras. *L* | μοι δὴ *C*, μοι δεῖ *B* 689 ὀργῇ σῇ τεθηγμένος Witzschel 690 σὰς *AEa²C*, τὰς *aB* (γρ. σὰς *b*) *LP* 691 om. *E*, delevit Brunck 692 δὲ *AEC*, τε *aBLP* 693 χ' ὅστις *AEB* (ο in ω corr. *b*) | τ' ἄκοντας *C* 694 ἐστὶν *AE* 699 ζητοῦσα χ' εὗρον φάρμακ' *P* | εὗρον libri | ἃ βουλόμην *AEP*, ἃ 'βουλόμην *aL*, ἃ βολόμην *B*, ἃ βουλοίμην *C* 700 δ' ἐξέπραξα Cobet | κάρτα γ' *E*, κάρτ' (om. ἂν) *C* | ἦν libri

ΦΑΙ. ἦ καὶ δίκαια ταῦτα κἀξαρκοῦντά μοι,
τρώσασαν ἡμᾶς εἶτα συγχωρεῖν λόγοις;
ΤΡ. μακρηγοροῦμεν· οὐκ ἐσωφρόνουν ἐγώ.
ἀλλ' ἔστι κἀκ τῶνδ' ὥστε σωθῆναι, τέκνον.
ΦΑΙ. παῦσαι λέγουσα· καὶ τὰ πρὶν γὰρ οὐ καλῶς
παρῄνεσάς μοι κἀπεχείρησας κακά.
ἀλλ' ἐκποδὼν ἄπελθε καὶ σαυτῆς πέρι
φρόντιζ'· ἐγὼ δὲ τἀμὰ θήσομαι καλῶς.
ὑμεῖς δέ, παῖδες εὐγενεῖς Τροιζήνιαι,
τοσόνδε μοι παράσχετ' ἐξαιτουμένῃ,
σιγῇ καλύπτειν ἁνθάδ' εἰσηκούσατε.
ΧΟ. ὄμνυμι σεμνὴν Ἄρτεμιν, Διὸς κόρην,
μηδὲν κακῶν σῶν ἐς φάος δείξειν ποτέ.
ΦΑΙ. καλῶς ἔλεξας· ἓν δὲ προτρέπουσ' ἐγὼ
εὕρημα δῆτα τῆσδε συμφορᾶς ἔχω,
ὥστ' εὐκλεᾶ μὲν παισὶ προσθεῖναι βίον,
αὐτή τ' ὄνασθαι πρὸς τὰ νῦν πεπτωκότα.
οὐ γάρ ποτ' αἰσχυνῶ γε Κρησίους δόμους,
οὐδ' ἐς πρόσωπον Θησέως ἀφίξομαι
αἰσχροῖς ἐπ' ἔργοις εἵνεκα ψυχῆς μιᾶς.
ΧΟ. μέλλεις δὲ δὴ τί δρᾶν ἀνήκεστον κακόν;
ΦΑΙ. θανεῖν· ὅπως δέ, τοῦτ' ἐγὼ βευλεύσομαι.
ΧΟ. εὔφημος ἴσθι. ΦΑΙ. καὶ σύ γ' εὖ με νουθέτει.
ἐγὼ δὲ Κύπριν, ἥπερ ἐξόλλυσί με,
ψυχῆς ἀπαλλαχθεῖσα τῇδ' ἐν ἡμέρᾳ
τέρψω· πικροῦ δ' ἔρωτος ἡσσηθήσομαι.

---

702 ἦ καὶ *AEaC*, ἦ γὰρ *BLP* | κοὐξαρκοῦντα *L*, κἀκξαρκοῦντα *P* 703 εἶτα σ' ἐγχειρεῖν λόγοις Reiske, εἶτ' ἰσηγορεῖν λόγοις Heimsoeth, cl. schol. τὸ καὶ ἐθέλειν σε ἰσολογεῖν μοι καὶ ἐκ τῶν ἴσων ἀμφισβητεῖν (malim σ' εἶτ' ἰσηγορεῖν λόγους) | λόγοις *EaBLP*, λόγους ras. mut. in λόγοις *A*, λόγους *C* 705 κἀκ τῶν *E* 707 κἀπιχείρησας *E*, κἀπεκύρωσας *C* 708 ἔξελθε *C* 709 δὲ *ABC*, γὰρ *EaLP* | τἀμά γε θήσω *C* 710 ἡμεῖς et τροιζηνίας *E* 712 καλύπτειν *AEBC* καλύψειν *ab*, καλύψαθ' *LP* | ἃ θάνδ' *A* 713 κόραν *BC* 714 ἐς hic *P* 715 καλῶς δ' *C* | ἔλεξας] Js. Voſs, ἐλέξαθ' libri 715 sq. προστρέπουσ' *a²*, προτρέπουσ' *L*, sed οτ in ras. scr. *l* | δῆτα *AEBC*, δή τι *aLP* | fort. δ' ἀποτροπῆς ἐγὼ εὕρημα δή τι τῆσδε 719 κρησίου *LP* 721 οὕνεκα vel οὕνεκα libri 722 δὴ om. *E* 723 ὅπως δ' ἐγὼ τοῦτο *LP* 724 personarum notae erasae in *L*

ἀτὰρ κακόν γε χἀτέρῳ γενήσομαι
θανοῦσ', ἵν' εἰδῇ μὴ 'πὶ τοῖς ἐμοῖς κακοῖς
ὑψηλὸς εἶναι· τῆς νόσου δὲ τῆσδέ μοι
κοινῇ μετασχὼν σωφρονεῖν μαθήσεται.

ΧΟ. *ἠλιβάτοις ὑπὸ κευθμῶσι γενοίμαν* stroph.
ἵνα με πτεροῦσσαν ὄρνιν
θεὸς ἐν ποταναῖς ἀγέλαις θείη.
ἀρθείην δ' ἐπὶ πόντιον
κῦμα τᾶς Ἀδριηνᾶς
ἅλμας Ἠριδανοῦ θ' ὕδωρ,
ἔνθα πορφύρεον σταλάσσουσ'
εἰς οἶδμα πατρὸς τάλαιναι
κόραι Φαέθοντος οἴκτῳ δακρύων
τὰς ἠλεκτροφαεῖς αὐγάς.

Ἑσπερίδων δ' ἐπὶ μηλόσπορον ἀκτὰν antistr.
ἀνύσαιμι τᾶν ἀοιδῶν,
ἵν' ὁ ποντομέδων πορφυρέας λίμνας
ναύταις οὐκέθ' ὁδὸν νέμει,
σεμνὸν τέρμονα ναίων
οὐρανοῦ, τὸν Ἄτλας ἔχει,
κρῆναί τ' ἀμβρόσιαι χέονται
Ζηνὸς μελάθρων παρὰ κοίταις,

---

728 *κακῶν* ut vid. *L* *κακόν* *l* | *γε* *AEBCl*, *δὲ* *aLP* | *χ' ἀτέρῳ* *aLP*, *θ' ἀτέρῳ* vel *θατέρῳ* *AEBC* 732 *ἀλιβάτοις* Monk | *ὑπαὶ* *l* 733 *πτεροῦσσαν* *b*, *πτεροῦσαν* ceteri 733 sq. *χθονὸς ἢ πτεροῦσσαν ὄρνιν θεὸς ἔν με* Herwerden (*πτερόεσσαν ὄρνιν εἴθε θεὸς ἔν με* iam Hartung), *πτερόεσσαν ἤ τιν' ὄρνιν θεὸς ἔν με* Gloël 734 *πταναῖσιν* *L*, sed *πτ* ex *ποτ* corr. *l*, quae manus *γρ. ποτωμέναις* superscr. | *ἀγέλαις* Musgrave, *ἀγέλαισι* libri (*ἀγέλῃσι* *AL* *ἀγέλαισι* *l*) | *θείη* *B* *α* super *η* scr. *b* 736 *κῦμα* bis *AE* | *τῆς* *A* | *ἀδρηινᾶς* *P* 737 *ἅλμας*] scripsi, *ἀκτᾶς* (vel *ἀκτὰς*) libri 738 *σταλάσσουσ'*] in marg. ed. Barnesianae, *σταλάσσουσιν* libri (*σσου* in ras. scr. et *ν* add. *l*) 739 *ἐς* *L* | *τάλαιναι* bis *A*, *τρι* (vel *τε*?) ante *τάλαιναι* inseruit *l* 740 *κοῦραι* *AEC*, *κούραι* *B* 742 *ἑσπερίων* *A* 743 *ἀοιδῶν* *L* *ἀοιδᾶν* *l*, *ἀοιδὰν* vel *ἀοιδᾶν* ceteri 744 *λίμνης* *P* 745 *νέμοι* *A* 746 *σεμνὴν* *C* | *ναίων* *AEa* (superscr. *κυρῶν*) *B* (superscr. *γρ. κυρῶν*), *κυρῶν* *CLP*, fort. *κραίνων* 748 fort. *ἀμβρόσιοι*, cfr. Med. 983 749 *Ζανὸς* Dindorf | *παρὰ κοίτας* *AL* (*τας* rescr. vel corr. *l*), *παρὰ κοίταις* A^2 et ceteri (*ἀπὸ* super *παρὰ* scr. *a*, ex quo *ἐκ* fecit a^2), fort. *παρ' ἀκτᾶς*

ἵν' ἁ βιόδωρος αὔξει ζαθέα
χθὼν εὐδαιμονίαν θνατοῖς.

ὦ λευκόπτερε Κρησία strophe.
πορθμίς, ἃ διὰ πόντιον
κῦμ' ἁλίκτυπος ἅλμας
ἐπόρευσας ἐμὰν ἄνασσαν
ὀλβίων ἀπ' οἴκων,
κακονυμφοτάταν ὄνασιν.
ἦ γὰρ ἀπ' ἀμφοτέρων ἢ
Κρησίας ἐκ γᾶς δύσορνις
ἔπτατο κλεινὰς Ἀθήνας,
Μουνίχου δ' ἀκταῖσιν ἐκδή-
σαντο πλεκτὰς πει[illegible]των ἀρ-
χὰς ἐπ' ἀπείρου τε γᾶς ἔβασαν.

ἀνθ' ὧν οὐχ ὁσίων ἐρώ- antistr.
των δεινᾷ φρένας Ἀφροδί-
τας νόσῳ κατεκλάσθη·
χαλεπᾷ δ' ὑπέραντλος οὖσα
συμφορᾷ τεράμνων
ἀπὸ νυμφιδίων κρεμαστὸν
ἅψεται ἀμφὶ βρόχον λευ-
κᾷ καθαρμόζουσα δείρᾳ,
δαίμονα στυγνὰν καταιδε-
σθεῖσα, τὰν δ' εὔδοξον ἀνθαι-
ρουμένα φάμαν ἀπαλλάσ-
σουσά τ' ἀλγεινὸν φρενῶν ἔρωτα.

---

750 *ἵν' ἁ βιόδωρος*] Valckenaer, *ἵνα βιόδωρος E*, *ἵνα ὀλβιόδωρος ALP*, *ἵν' ὀλβιόδωρος aBC* | *ἄξει P* | *βάθεα C* 751 *θνατοῖς*] Brunck, *θεοῖς* libri 753 *πορθμός P* 754 *ἁλίκτυπος*] Wakefield, *ἁλίκτυπον* libri | *ἅλμας* add. vel rescr. *l* 755 *πόρευσας l* 757 *ὄνησιν P* 758 *γὰρ ἐπ' C* 758 sq. fort. *ἦ γὰρ ἀπ' ἀμφιρύτου δὴ* (*ἀμφιρύτοιο* Herwerden) *Κρησίας γαίας δύσορνις* 759 *γῆς C* 760 *ἔπτατο LP*, *ἔπτατ' ἐπὶ AEaBC*, *ἔπτατ' ἐς* Monk 761 *Μουνύχου*] Hermann, *μουνιχίου L*, *μουνυχίου* ceteri (*μονυχίου B*) | *δ' ἀκταῖσιν AEaC*, *δ' ἐπ' ἀκταῖσιν BLP* 762 *πησμάτων C* 765 *δεινὰ CLP* 770 *ἅψετ' ἀμφὶ βρόχον LP*, *ἅψεται βρόχον ἀμφὶ l* 771 *καθαρμούζουσα E* | *δείρᾳ*] Markland, *δέρᾳ* libri (*δέρῃ A*) 772 *στυγνὰν*] Nauck, *στυγνᾶν A*, *στυγνὸν* ceteri | *κατεδεσθεῖσα B* 773 *τὰν δ'*] Wilamowitz, *τὰν A*, *τάν τ'* ceteri 774 *ἀνθαιρουμέναν AP* (corr. *p*) | *φάμαν EaBC*, *φήμαν ALP* | *ἀπαλάσσουσα A* 775 *ἔρωτα*] *ἔρωτα φρεσὶν A*, fort. *νόσημα*

ΘΕΡΑΠΑΙΝΑ.

ἰοὺ ἰού·
βοηδρομεῖτε πάντες οἱ πέλας δόμων·
ἐν ἀγχόναις δέσποινα, Θησέως δάμαρ.

ΧΟ. *φεῦ φεῦ, πέπρακται· βασιλὶς οὐκέτ' ἔστι δὴ*
γυνή, κρεμαστοῖς ἐν βρόχοις ἠρτημένη.

ΘΕ. *οὐ σπεύσετ'; οὐκ οἴσει τις ἀμφιδέξιον*
σίδηρον, ᾧ τόδ' ἅμμα λύσομεν δέρης;

ΧΟ. *φίλαι, τί δρῶμεν; ἦ δοκεῖ περᾶν δόμους*
λῦσαί τ' ἄνασσαν ἐξ ἐπισπαστῶν βρόχων;

ΗΜΙΧ. *τί δ'; οὐ πάρεισι πρόσπολοι νεανίαι;*
τὸ πολλὰ πράσσειν οὐκ ἐν ἀσφαλεῖ βίου.

ΘΕ. *ὀρθώσατ' ἐκτείνοντες ἄθλιον νέκυν·*
πικρὸν τόδ' οἰκούρημα δεσπόταις ἐμοῖς.

ΗΜΙΧ. *ὄλωλεν ἡ δύστηνος, ὡς κλύω, γυνή·*
ἤδη γὰρ ὡς νεκρόν νιν ἐκτείνουσι δή.

ΘΗΣΕΥΣ.

γυναῖκες, ἴστε τίς ποτ' ἐν δόμοις βοή;
ἠχὴ βαρεῖα προσπόλων μ' ἀφίκετο.
οὐ γάρ τί μ' ὡς θεωρὸν ἀξιοῖ δόμος
πύλας ἀνοίξας εὐφρόνως προσεννέπειν.
μῶν Πιτθέως τι γῆρας εἴργασται νέον;

---

776 ante *ἰού ἰού* notam *θεράπαινα* et 780, 786 *ἄγγελος* exhibent *LP*, ante *ἰού ἰού* notam *ἄγγελος* (*ἐξάγγελος Ea B*), ante *βοηδρομεῖτε* et 780, 786 notam *τροφός* praefigit *A*, 778, 786 *τροφός*, 780 *χορός* praescribit *E*, 780, 786 *ἄγγελος a*, ante *ἰού ἰού* et 786 *τροφός* habet *C*, cfr. schol. *τινὲς βούλονται τὴν τροφὸν ἔσωθεν. ταῦτα λέγειν, ἔνιοι δὲ ἐξάγγελόν φασι* | *πάντες* om. *A* | *δόμων AEBCL*, *δρόμων* mut. in *δόμων*, suprascr. *γρ. δρόμῳ a*, *δρόμω lP* 777 *ἀγχόναις*] fort. *ὀρκάναις* 778 *οὐκ ἔστι C* 780 notam om. *C* | *οὐχ C* 782 chori notam praefigunt *BCLP*, hemichorii *AEa* | *ἦ LP* | *δοκεῖν* mut. in *δοκεῖ B* 784 hemich. notam habent *AaBCLP*, *ἕτερον ἡμιχόριον* praefigit *E* | *πάριτε C* 785 *τὰ P* et mut. in *τὸ L* | *πράττειν AEaBC* | *βί* L*, ω in ras. scr., sed *ου* suprascr. *l* 786 *ἐκτείνοντες aLP*, *ἐκτείναντες AEBC* | *νεκρὸν LP* 788 hemichorii notam praefixi, choro dant libri 789 *ὡς θανοῦσαν ἐκτείνουσί νιν* R. Prinz ante 790 fort. aliquot chori versus interciderunt 791 *ἠχὴ*] Nauck, *ἠχὼ* libri, fort. *ἀχὴ* | *μ'* om. libri, addidit Markland 792 *γάρ τοι P* | *θεωρῷ*, suprascr. *γρ. καὶ θεωρὸν a* 793 *πύλας aBCLP*, *πύλαις AE* (superscr. *ας*) *b* | *ἀνοίξας τ' E* | *ἐμφρόνως b*

πρόσω μὲν ἤδη βίοτος, ἀλλ' ὅμως ἔτ' ἂν
λυπηρὸς ἡμῖν τούσδ' ἂν ἐκλίποι δόμους.
ΧΟ. οὐκ ἐς γέροντας ἥδε σοι τείνει τύχη,
Θησεῦ· νέοι θανόντες ἀλγυνοῦσί σε.
ΘΗ. οἴμοι· τέκνων μοι μή τι συλᾶται βίος;
ΧΟ. ζῶσιν, θανούσης μητρὸς ὡς ἄλγιστά σοι.
ΘΗ. τί φής; ὄλωλεν ἄλοχος; ἐκ τίνος τύχης;
ΧΟ. βρόχον κρεμαστὸν ἀγχόνης ἀνήψατο.
ΘΗ. λύπῃ παχνωθεῖσ' ἢ ἀπὸ συμφορᾶς τινος;
ΧΟ. τοσοῦτον ἴσμεν· ἄρτι γὰρ κἀγὼ δόμους,
Θησεῦ, πάρειμι σῶν κακῶν πενθήτρια.
ΘΗ. αἰαῖ· τί δῆτα τοῖσδ' ἀνέστεμμαι κάρα
πλεκτοῖσι φύλλοις, δυστυχὴς θεωρὸς ὤν;
χαλᾶτε κλῇθρα, πρόσπολοι, πυλωμάτων,
ἐκλύεθ' ἁρμούς, ὡς ἴδω πικρὰν θέαν
γυναικός, ἥ με κατθανοῦσ' ἀπώλεσεν.

ΧΟ. ἰὼ ἰὼ τάλαινα μελέων κακῶν·
ἔπαθες, εἰργάσω
τοσοῦτον ὥστε τούσδε συγχέαι δόμους.
αἰαῖ τόλμας, ὦ βιαίῳ θανοῦσ'
ἀνοσίῳ τε συμφορᾷ, σᾶς χερὸς
πάλαισμα μελέας.
τίς ἄρα σάν, τάλαιν', ἀμαυροῖ ζόαν;

795 sq. ἔστ' ἄν . . ἐκλίπῃ *A*, ἔστ' ἂν etiam *B* (ἔτ' ἂν superscr. *b*), ἐκλίπῃ etiam *ECP* 797 τίνει δίκη *C* 798 θανοῦντες *BC* (corr. *b*) | ἀλγεινοῦσι *B* 799 οἴμοι *aLP*, ὤμοι *ABC*, ᾤμοι *E* | τις *P* | συλᾶται *A* | βίον Reiske 800 ζῶσι *BC* | θανοῦσι *P* et mut. in θανούσης *L* 802 fort. βρόχον κρεμαστὸν ὀρκάνην 803 παγχνωθεῖσ' *C* | ἢ 'πὸ *ELP* | τίνος *A*, τινὸς ceteri 804 δόμους *ECLP*, δόμοις *AaB* 806 κάραν *a* 807 πλεκτοῖσιν *a* 808 κλῇθρα *aL*, κλεῖθρα ceteri 809 ἐκλύσαθ' (corr. ex ἐκλύσατ' in *A*) ἁρμοὺς (ἁρμοὺς *A*, in marg. γρ. καὶ ὅρμους *a*) ὡς ἴδω δυσδαίμονα (ἴδω τὸν δαίμονα *BC*, ἴδω τὴν δυσδαίμονα *l*) libri, sed post 824 legitur versus ἐκλύεθ' ἁρμοὺς ὡς ἴδω πικρὰν θέαν in *aBCLP* (non in *AE*) 810 delet Nauck | ἀπώλεσε *P* (ἀπώλεσεν *p*) 811 alterum ἰώ om. *C* 813 τόλμας ὦ *L*, sed μας ὦ in ras. scr. *l*, ὦ habet etiam *A*, om. *EaBCP* | βιαίῳ] Elmsley, βιαίως libri | θανοῦσα *L*, sed σα in ras. scr. *l* 814 sq. σᾶς πάλαισμα μελέας χερός Enger 815 μελαίας corr. in μελέας *C* 816 τάλαιναν *P*, τάλαιν' delevit *l* | ζόαν Monk, ζωάν libri (ζωήν *B*)

ΘΗ. ὤμοι ἐγὼ πόνων· ἔπαθον, ὦ πόλις, stroph.
τὰ μάκιστ' ἐμῶν κακῶν. ὦ τύχα,
ὥς μοι βαρεῖα καὶ δόμοις ἐπεστάθης,
κηλὶς ἄφραστος ἐξ ἀλαστόρων τινός.
κατακονὰ μὲν οὖν ἀβίοτος βίου·
κακῶν δ' ὢ τάλας πέλαγος εἰσορῶ
τοσοῦτον ὥστε μήποτ' ἐκνεῦσαι πάλιν
μηδ' ἐκπερᾶσαι κῦμα τῆσδε συμφορᾶς.
τίνα λόγον τάλας, τίνα τύχαν σέθεν
βαρύποτμον, γύναι, προσαυδῶν τύχω;
ὄρνις γὰρ ὥς τις ἐκ χερῶν ἄφαντος εἶ,
πήδημ' ἐς Ἅιδου κραιπνὸν ὁρμήσασά μοι.
αἰαῖ αἰαῖ, μέλεα μέλεα τάδε πάθη.
πρόσωθεν δέ ποθεν ἀνακομίζομαι
τύχαν δαιμόνων
ἀμπλακίαισι τῶν πάροιθέν τινος.

ΧΟ. οὐ σοὶ τάδ', ὦναξ, ἦλθε δὴ μόνῳ κακά,
πολλῶν μετ' ἄλλων δ' ὤλεσας κεδνὸν λέχος.

ΘΗ. τὸ κατὰ γᾶς θέλω, τὸ κατὰ γᾶς κνέφας antistr.
μετοικεῖν σκότῳ θανὼν ὁ τλάμων,

---

817 ΘΗ. om. *A* | ὤμοι *CLP*, ᾤμοι *E*, οἴμοι *aB* (scissa membrana evanuit in *A*) | πόνων *AEBC*, παθέων *abLP* | ἔπαθον *C*, ὧν ἔπαθον *AaBLP*, ὢ ἔπαθον *E* | πόλις *AECb*, τάλαινα *aBP*, τάλας *L* 818 μάκιστ' *a*, η super α scr. *a*², μήκιστ' *C*, κάκιστ' *P* | τύχα *aLP*, τύχη *AEBC* 819 ἐφεστάθης *A* 821 κατακονὰ *AaP*, κατακονᾶ *ELC* et mut. in κατακονὰ *B*, καταφθορὰ superscr. *p* | ἀβίοτος *Ac*, ἀβίωτος ceteri | βίος *l* 822 κακὸν *P*, κακῶ *L*, ν add. *l* | ὢ Seidler, ὦ *abLP*, ὁ *AEBC* 823 ὥστε *aCLP*, ὡς *AEB* | ἐκνεῦσαι *EC LP*, ἐκπνεύσαι *A*, ἐκπνεῦσαι *B* 824 μηδ' *EaLP*, μήτ' *ABC* de v. 825 vide ad v. 809 827 γύναι *AEBC*, τλήμων *a*, τλῆμον *LP* 828 ὅστις corr. in ὥς τις *B* | χειρὸς *C* 829 εἰς *aLP*, corr. *l* | κραιπνὸν *EaBC*, κρεπνὸν *A*, πικρὸν *LP* | μοι *AEaLP*, που *B* (γρ. μοι superscr. *b*) *C* 830 αἰ quater *ABECl*, bis *aLP*, αἰαῖ ὦ Dindorf | alterum μέλεα om. *BCL*, add. *b* et in ras. *l* | πάθη τάδε *BC* 831 ἀνακομίζομαι scripto μεν super μαι *B* 832 om. *C* | adscr. τὴν πόρρωθεν μου καὶ ἀπροσδοκήτην *A* 833 πάροιθε *aBL* corr. *l* 834 chori notam om. *A* | τόδ' (ά superscr. *b*) . . κακόν *BC* | ὦναξ *aB CLP*, ἄναξ *AE* | ἐπῆλθε *A*, ἦλθε ceteri 835 δ' om. *B* (add. *b*) *CLP* 836 Thesei notam om. *A* 837 θανεῖν (mut. in θανὼν *l*) ὁ τλήμων *LP* | ὦ τλῆμον mut. in ὁ τλήμων *B*, ὁ τλήμων *C* | σκότῳ συνὼν ὁ τλάμων Reiske, θανὼν ὁ τλάμων σκότῳ Enger, unde fort.

τῆς σῆς στερηθεὶς φιλτάτης ὁμιλίας·
ἀπώλεσας γὰρ μᾶλλον ἢ κατέφθισο.
τίνα κλύω; πόθεν θανάσιμος τύχα,
γύναι, σάν, τάλαιν', ἔβα καρδίαν;
εἴποι τις ἂν τὸ πραχθέν, ἢ μάτην ὄχλον
στέγει τύραννον δῶμα προσπόλων ἐμῶν;
ὤμοι μοι σέθεν
μέλεος, οἷον εἶδον ἄλγος δόμων,
οὐ τλητὸν οὐδὲ ῥητόν. ἀλλ' ἀπωλόμην·
ἔρημος οἶκος, καὶ τέκν' ὀρφανεύεται.
ἔλιπες ἔλιπες, ὦ φίλα
γυναικῶν ἀρίστα θ' ὁπόσας ὁρᾷ
φέγγος ἀελίου
τε καὶ νυκτὸς ἀστερωπὸν σέλας.

ΧΟ. ὦ τάλας, ὦ τάλας· ὅσον κακὸν ἔχει δόμος.
δάκρυσί μου βλέφαρα
καταχυθέντα τέγγεται σᾷ τύχᾳ·
τὸ δ' ἐπὶ τῷδε πῆμα φρίσσω πάλαι.
ΘΗ. ἔα ἔα·
τί δή ποθ' ἥδε δέλτος ἐκ φίλης χερὸς
ἠρτημένη; θέλει τι σημῆναι νέον;

συνὼν ὁ τλάμων σκότῳ 840 τίνα] Kirchhoff, τίνος libri (τίνος δὴ *l*) | κλύω] fort. λέγω | τύχη *CP* 841 σάν, τάλαιν', ἔβα] Elmsley, σὰν ἔβα (ἐπέβα *AE*, γρ. ἐπέβα *b*) τάλαινα (τάλαιναν *l*) 843 στύγει *E*, στέγοι *P* | ἐμόν Valckenaer 844 ὤμοι μοι σέθεν *AEb*, ἰώ μοι μοι σέθεν *aBLP*, ἰώ μοι σέθεν *C*, ὤμοι (vel ἰώ) μοι τάλας, ὤμοι (vel ἰώ) μοι σέθεν Seidler, fort. ὤμοι ἐγὼ τάλας, ὤμοι ἐγὼ σέθεν 845 ἄλγος εἶδον *B* | δώμων *C* 846 ἀπολώμην *C* 848 chori notam praefigunt libri, delevit Musgrave | ἔλειπες ἔλειπες ras. mut. in ἔλιπες ἔλιπες *A*, prius ἔλιπες delevit *l* | ante ἔλιπες supplet αἰαῖ αἰαῖ Kirchhoff, fort. ὤμοι μοι addendum 849 ὁπόσαις *BP* | ὁρᾷ] Nauck, ἐφορᾷ libri 850 πέμφιξ ἁλίου Enger 851 ἀστερωπὸν σέλας] Jacobs, ἀστερωπὸς (ἀστεροπὸς *AEL*) σελάνα (σελήνα *P*) libri 852 Thesei notam praef. *AC*, hemichorii *aBLP*, correxit Musgrave | ὦ τάλας, superscr. γρ. ἰὼ τάλας versui antecedenti adiungit, hic ὦ τάλας habet *A*, ἰὼ τάλας, ὦ τάλας *aBCLP*, ὦ τάλας, ἰὼ τάλας *l* | ὅσον, ἰὼ τάλας, κακὸν ἔχει δόμος Seidler, τάλας ὦ τάλας (cum Hermanno), ὅσον ἔχει δόμος Kirchhoff, ἰὼ ἰὼ τάλας (cum Monkio) vel τάλας ὦ τάλας, κακὸν ἔχει δόμος Paley 854 τέγκεται * σᾶ *L* | τᾷ σᾷ *aBP* | τύχη *C* 855 τόδ' ἐπὶ *BLP* | ἐπὶ τόδε *A* | πάλαι erasum in *L*, πάλιν *C* 856 notam Thesei om. *AC* | δὴ om. *AE* | ἡ *LP*, ἥδε *l* 857 σημᾶναι *BCLP* | θέλει; τί

ἀλλ' ἦ λέχους μοι καὶ τέκνων ἐπιστολὰς
ἔγραψεν ἡ δύστηνος ἐξαιτουμένη;
θάρσει, τάλαινα· λέκτρα γὰρ τὰ Θησέως
οὐκ ἔστι δῶμά θ' ἥτις εἴσεισιν γυνή.
καὶ μὴν τύποι γε σφενδόνης χρυσηλάτου
τῆς οὐκέτ' οὔσης τῆσδε προσσαίνουσί με.
φέρ', ἐξελίξας περιβολὰς σφραγισμάτων
ἴδω τί λέξαι δέλτος ἥδε μοι θέλει.

ΧΟ. *φεῦ φεῦ· τόδ' αὖ νεοχμὸν ἐκδοχαῖς*
ἐπιφέρει θεὸς κακόν. ἐμοὶ μὲν οὖν
ἀβίοτος βίου τύχα πρὸς τὸ κρανθὲν εἴη τυχεῖν.
ὀλομένους γάρ, οὐκέτ' ὄντας λέγω,
φεῦ φεῦ, τῶν ἐμῶν τυράννων δόμους.
[ὦ δαῖμον, εἴ πως ἔστι, μὴ σφήλῃς δόμους,
αἰτουμένης δὲ κλῦθί μου· πρὸς γάρ τινος
οἰωνὸν ὥστε μάντις εἰσορῶ κακοῦ.]

ΘΗ. *οἴμοι· τόδ' οἷον ἄλλο πρὸς κακῷ κακόν,*
οὐ τλητὸν οὐδὲ λεκτόν. ὦ τάλας ἐγώ.

ΧΟ. *τί χρῆμα; λέξον, εἴ τί μοι λόγου μέτα.*

ΘΗ. *βοᾷ βοᾷ δέλτος ἄλαστα. πᾷ φύγω*
βάρος κακῶν; ἀπὸ γὰρ ὀλόμενος οἴχομαι,
οἷον οἷον εἶδον ἐν γραφαῖς μέλος
φθεγγόμεναν τλάμων.

ΧΟ. *αἰαῖ, κακῶν ἀρχηγὸν ἐκφαίνεις λόγον.*

σημανεῖ νέον; Musgrave 858 *ἀλλ' ἦ∗* (*κ* erasum) *A* 861 *δῶμαθ'* *AELP*, *δώμαθ'* *aBCl* | *εἴσεισι* *BC* 862 *τύπος* *C* 863 *προσαίνουσι* *BCP* 864 *ἐλίξας* *P* 865 *∗δε* *L* *ἥδε* *l* 866 ⟨*ὡς*⟩ *τόδ'* Weil | *ἐκδοχαῖς* *a*, *ἐν* super *ἐκ* scr. *a*², *ἐν διαδοχαῖς* *C* 867 *ἐπιφέρει* *AEb*, *ἐπεισφέρει* *aBCLP* | *κακὸν* om. *LP*, supra v. add. *l* 868 *ἀβίοτος* *AP*, *ἀβίωτος* *EaB*, *ἀβίωτον* et *τύχαν* *C* | fort. *ἀβίοτον βίου τύχαν πρὸς τὸ κρανθὲν ἐλπὶς τυχεῖν* 869 *ὀλουμένους* *aBl* 871—73 schol. *B* *ἔν τισιν οὐ φέρονται οὗτοι*, delevit Nauck 871 *δαίμων* *A* | *σφήλῃς* *aBCLP*, *σφάλῃς* *AEb* | *δόμον* *aC* 872 *δὲ* *AEaBC*, *γὰρ* *LP* | *γάρ τις* *a* corr. *a*² 873 *οἰωνῶν* ex *οἰωνὸν* fecit *A*, *οἰωνῶν* *B*, *οἰωνὸν* *bEaCLP* | *κακὸν* *a*, *οῦ* supra *ὸν* scr. *a*², *κακοῦ* *LP*, *κακὸν* *AEBC* 874 *οἷον* *L* | *οἷον ἄλγος* *C* 875 *οὐ στεκτὸν οὐδὲ λεκτόν* Reiske, malim *οὐ λεκτὸν οὐδὲ στεκτόν*, scholium ad v. 846 adscriptum ὃ *οὔτε σιωπᾶν δύναμαι . . οὔτε λέγειν* huc refert Barthold | *ὦ τάλας ἐγώ*, superscr. *λείπει τὸ εὗρον τοῦτο* *B* 877 *πᾷ* *AE*, *ποῦ* *aBCLP* 878 *κακὸν* *aP* 879 *γραφαῖσι* *l* 880 *φθεγγομέναν*] Paley, *φθεγγόμενον* libri | *τλάμων* *AE*, *τλήμων* *aBCP*, *τλῆμον* *L* 881 *κακὸν* *P*

ΘΗ. τόδε μὲν οὐκέτι στόματος ἐν πύλαις
καθέξω δυσεκπέρατον, ὀλοὸν
κακόν· ἰὼ πόλις.
Ἱππόλυτος εὐνῆς τῆς ἐμῆς ἔτλη θιγεῖν
βίᾳ, τὸ σεμνὸν Ζηνὸς ὄμμ' ἀτιμάσας.
ἀλλ', ὦ πάτερ Πόσειδον, ἃς ἐμοί ποτε
ἀρὰς ὑπέσχου τρεῖς, μιᾷ κατέργασαι
τούτων ἐμὸν παῖδ', ἡμέραν δὲ μὴ φύγοι
τήνδ', εἴπερ ἡμῖν ὤπασας σαφεῖς ἀράς.
ΧΟ. ἄναξ, ἀνεύχου ταῦτα πρὸς θεῶν πάλιν·
γνώσῃ γὰρ αὖθις ἀμπλακών. ἐμοὶ πιθοῦ.
ΘΗ. οὐκ ἔστι· καὶ πρός γ' ἐξελῶ σφε τῆσδε γῆς.
δυοῖν δὲ μοίραιν θατέρᾳ πεπλήξεται·
ἢ γὰρ Ποσειδῶν αὐτὸν εἰς Ἅιδου δόμους
θανόντα πέμψει τὰς ἐμὰς ἀρὰς σέβων,
ἢ τῆσδε χώρας ἐκπεσὼν ἀλώμενος
ξένην ἐπ' αἶαν λυπρὸν ἀντλήσει βίον.
ΧΟ. καὶ μὴν ὅδ' αὐτὸς παῖς σὸς ἐς καιρὸν πάρα,
Ἱππόλυτος· ὀργῆς δ' ἐξανεὶς κακῆς, ἄναξ
Θησεῦ, τὸ λῷστον σοῖσι βούλευσαι δόμοις.

ΙΠΠΟΛΥΤΟΣ.

κραυγῆς ἀκούσας σῆς ἀφικόμην, πάτερ,
σπουδῇ· τὸ μέντοι πρᾶγμ' ἐφ' ᾧτινι στένεις
οὐκ οἶδα, βουλοίμην δ' ἂν ἐκ σέθεν κλύειν.
ἔα, τί χρῆμα; σὴν δάμαρθ' ὁρῶ, πάτερ,
νεκρόν· μεγίστου θαύματος τόδ' ἄξιον·
ἣν ἀρτίως ἔλειπον, ἣ φάος τόδε

882 τόδ' ἐμὸν *Ab* 883 δυσεκπέρατον *EaBLP*, δυσεκπέραντον *AC* | ὀλοὸν semel *AECl*, bis *aBLP* 884 ἰὼ] Elmsley, ὢ libri | πόλις semel *AE*, bis *aBCLP* 885 τῆς ἐμῆς εὐνῆς *BCLP*, literis superscr. corr. *l* | ἔτη *A* ἔτλη *A*² | θιγεῖν *A* θίγειν *A*² 888 κατείργασαι *A* 889 φύγῃ *C* 890 ἡμῖν postmodum supra versum add. *L* 891 ἀνεύχου] Valckenaer, ἀπεύχου libri 894 μοῖραν mut. in μοῖραιν *A* 895 δόμους *EaBLP*, πύλας *A* 896 σέβων ἀράς Nauck 897 τῆσδε γῆς *C* 899 chori notam om. *L* add. *l* | καινὸν *A* καιρὸν *A*² 901 fort. λῷον 903 σπουδῇ om. *C* | μέντοι *L*, sed έν in ras. scr. *l* | ὧτινι *AEaBL*, ᾧ νῦν *C*, ὥτινιν *P*, ὧτινι νῦν *p*, ᾧ τὰ νῦν Christ. pat. 844, ᾧ καταστένεις Barthold, fort. ᾧ λίαν στένεις, cfr. Med. 929 906 τόδ' *L*, sed τό postmodum insertum 907 ἔλιπον *BC* | ἢ φάος *AE*, ἣ φάος *A*²*bC*, εἰς φάος *aBLP*

οὔπω χρόνον παλαιὸν εἰσεδέρκετο.
τί χρῆμα πάσχει; τῷ τρόπῳ διόλλυται;
πάτερ, πυθέσθαι βούλομαι σέθεν πάρα.
[σιγᾷς· σιωπῆς δ' οὐδὲν ἔργον ἐν κακοῖς·]
ἡ γὰρ ποθοῦσα πάντα καρδία κλύειν
κἀν τοῖς κακοῖσι λίχνος οὖσ' ἁλίσκεται.
οὐ μὴν φίλους γε κἄτι μᾶλλον ἢ φίλους
κρύπτειν δίκαιον σάς, πάτερ, δυσπραξίας.
ΘΗ. ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι μάτην,
τί δὴ τέχνας μὲν μυρίας διδάσκετε
καὶ πάντα μηχανᾶσθε κἀξευρίσκετε,
ἓν δ' οὐκ ἐπίστασθ' οὐδ' ἐθηράσασθέ πω,
φρονεῖν διδάσκειν οἷσιν οὐκ ἔνεστι νοῦς;
ΙΠ. δεινὸν σοφιστὴν εἶπας, ὅστις εὖ φρονεῖν
τοὺς μὴ φρονοῦντας δυνατός ἐστ' ἀναγκάσαι.
ἀλλ' οὐ γὰρ ἐν δέοντι λεπτουργεῖς, πάτερ,
δέδοικα μή σου γλῶσσ' ὑπερβάλῃ κακοῖς.
ΘΗ. φεῦ, χρῆν βροτοῖσι τῶν φίλων τεκμήριον
σαφές τι κεῖσθαι καὶ διάγνωσιν φρενῶν,
ὅστις τ' ἀληθής ἐστιν ὅς τε μὴ φίλος,
δισσάς τε φωνὰς πάντας ἀνθρώπους ἔχειν,
τὴν μὲν δικαίαν, τὴν δ' ὅπως ἐτύγχανεν,
ὡς ἡ φρονοῦσα τἄδικ' ἐξηλέγχετο
πρὸς τῆς δικαίας, κοὐκ ἂν ἠπατώμεθα.
ΙΠ. ἀλλ' ἦ τις ἐς σὸν οὖς με διαβαλὼν ἔχει
φίλων, νοσοῦμεν δ' οὐδὲν ὄντες αἴτιοι;

---

908 *χρόνος παλαιὸς* Lehrs   910 *πειθέσθαι C*   911 om. Christ. pat. 860—65 (= 907—13), delevit Monk | *δ'* om. *BC*   912 *καρδία πάντ' εἰδέναι* Christ. pat. 864 et 2122   916 *πολλὰ μαστεύοντες* Wakefield, cfr. schol. *ὦ ἄνθρωποι πολλὰ ἐπιστάμενοι*   917 *διδάσκεται E*[2] quae manus literas evanidas refinxit   919 *ἔνθ' οὐκ E* | *οὐδὲ θηρᾶσθέ B* (*γρ. θηράσασθέ b*) *L* (*δὴ* post *οὐδὲ* inseruit *l*), *οὐδὲ θηρᾶσθαι δὲ C* | *πω* in ras. scr. *L*   920 *αἶσιν* (literas refinxit m. 2) *οὐκ ἔστι E*   922 *δυνατὸς L*, sed *ς* ex alia litera corr. *L* vel *l* | *ἀναγκάζειν P*   923 *λεπτουργεῖς*, suprascr. *φιλοσοφεῖς A*   924 *ὑπερβάλη EbCLp*, *ὑπερβάλλοι A*, *ὑπερβάλοι aB*, *ὑπερβάλει P*   925 *βροτοῖσιν A*   926 *διάγνωστον L*, *σιν* super *στον* scr. m. sec. vel tertia   927 *ὅστις μὴ L*   928 *δισσὰς δὲ BCP*   929 *ἐτύγχανε E*   931 *οὐκ ἂν B κοὐκ ἂν b*   932 *ἦ EC*, *ἥ* superscr. *εἰ a*, *εἴ ABLP*   933 *νοσοῦμεν δ' L*, sed *ν δ'* in ras. scr. | *δ'* om. *B* add. *b*

ἔκ τοι πέπληγμαι· σοὶ γὰρ ἐκπλήσσουσί με
λόγοι παραλλάσσοντες ἔξεδροι φρενῶν.
ΘΗ. φεῦ τῆς βροτείας· ποῖ προβήσεται; φρενός·
τί τέρμα τόλμης καὶ θράσους γενήσεται;
εἰ γὰρ κατ' ἀνδρὸς βίοτον ἐξογκώσεται,
ὁ δ' ὕστερος τοῦ πρόσθεν εἰς ὑπερβολὴν
πανοῦργος ἔσται, θεοῖσι προσβαλεῖν χθονὶ
ἄλλην δεήσει γαῖαν, ἣ χωρήσεται
[τοὺς μὴ δικαίους καὶ κακοὺς πεφυκότας.].
σκέψασθε δ' ἐς τόνδ', ὅστις ἐξ ἐμοῦ γεγὼς
ᾔσχυνε τἀμὰ λέκτρα κἀξελέγχεται
πρὸς τῆς θανούσης ἐμφανῶς κάκιστος ὤν.
δεῖξον δ', ἐπειδή γ' ἐς μίασμ' ἐλήλυθα,
τὸ σὸν πρόσωπον δεῦρ' ἐναντίον πατρί.
σὺ δὴ θεοῖσιν ὡς περισσὸς ὢν ἀνὴρ
ξύνει; σὺ σώφρων καὶ κακῶν ἀκήρατος;
οὐκ ἂν πιθοίμην τοῖσι σοῖς κόμποις ἐγὼ
θεοῖσι προσθεὶς ἀμαθίαν φρονεῖν κακῶς.
ἤδη νυν αὔχει καὶ δι' ἀψύχου βορᾶς
σίτοις καπήλευ', Ὀρφέα τ' ἄνακτ' ἔχων
βάκχευε πολλῶν γραμμάτων τιμῶν καπνούς·
ἐπεί γ' ἐλήφθης. τοὺς δὲ τοιούτους ἐγὼ
φεύγειν προφωνῶ πᾶσι· θηρεύουσι γὰρ
σεμνοῖς λόγοισιν, αἰσχρὰ μηχανώμενοι.
τέθνηκεν ἥδε· τοῦτό σ' ἐκσώσειν δοκεῖς;
ἐν τῷδ' ἁλίσκῃ πλεῖστον, ὦ κάκιστε σύ·
ποῖοι γὰρ ὅρκοι κρείσσονες, τίνος λόγοι
τῆσδ' ἂν γένοιντ' ἄν, ὥστε σ' αἰτίαν φυγεῖν;

---

934 ἤ τοι *E* | ἐκπλήσουσι *L* | μοι *A* 935 παραλάσσοντες *a* 936 πῆ *C* 941 ἣ *A*, ἥ *ELP*, ἧ $A^2 l$ 942 delevi | τὰς μὴ *B* 943 σκέψασθαι *A* corr. A^2 | εἰς τὸν *C* 946 ἐς hic *A* | ἐλήλυθα] Musgrave, ἐλήλυθας libri 949 κακῶν τ' *C* 950 πυθοίμην mut. ras. in πιθοίμην *A*, πυθοίμην *E* 951 ἀθίαν in ἀμαθίαν mut. *L* 952 ἤδη parum accommodatum putat Matthiae | νῦν *L*, νῦν ceteri 952 sq. fort. σίτοις νυν αὔχει (sic Nauck) . . δόξαν καπήλευ' 953 ὀρφέως (ὀρφέ' ὡς A^2) ἄνακτ' *A* 954 καπνοῖς *A* corr. A^2 956 προσφωνῶ *C* | θηρεύσουσι *A* 958 τοῦτ' ἐκσώσειν *C* | ἐκσώζειν *E* 959 suspectus | πλεῖστον *B* superscr. μᾶλλον *b* 960 τίνος] scripsi, τίνες libri 961 γένοιτ' *ACP*

μισεῖν σε φήσεις τήνδε καὶ τὸ δὴ νόθον
τοῖς γνησίοισι πολέμιον πεφυκέναι·
κακὴν ἄρ' αὐτὴν ἔμπορον βίου λέγεις,
εἰ δυσμενείᾳ σῇ τὰ φίλτατ' ὤλεσεν.
ἀλλ' ὡς τὸ μῶρον ἀνδράσιν μὲν οὐκ ἔνι,
γυναιξὶ δ' ἐμπέφυκεν; οἶδ' ἐγὼ νέους
οὐδὲν γυναικῶν ὄντας ἀσφαλεστέρους,
ὅταν ταράξῃ Κύπρις ἡβῶσαν φρένα·
τὸ δ' ἄρσεν αὐτοὺς ὠφελεῖ προσκείμενον.
νῦν οὖν τί ταῦτα σοῖς ἁμιλλῶμαι λόγοις
νεκροῦ παρόντος μάρτυρος σαφεστάτου;
ἔξερρε γαίας τῆσδ' ὅσον τάχος φυγάς,
καὶ μήτ' Ἀθήνας τὰς θεοδμήτους μόλῃς,
μήτ' εἰς ὅρους γῆς ἧς ἐμὸν κρατεῖ δόρυ.
εἰ γὰρ παθών γε σοῦ τάδ' ἡσσηθήσομαι,
οὐ μαρτυρήσει μ' Ἴσθμιος Σίνις ποτὲ
κτανεῖν ἑαυτόν, ἀλλὰ κομπάζειν μάτην,
οὐδ' αἱ θαλάσσῃ σύννομοι Σκιρωνίδες
φήσουσι πέτραι τοῖς κακοῖς μ' εἶναι βαρύν.

ΧΟ. οὐκ οἶδ' ὅπως εἴποιμ' ἂν εὐτυχεῖν τινα
θνητῶν· τὰ γὰρ δὴ πρῶτ' ἀνέστραπται πάλιν.

ΙΠ. πάτερ, μένος μὲν ξύστασίς τε σῶν φρενῶν
δεινή· τὸ μέντοι πρᾶγμ' ἔχον καλοὺς λόγους,
εἴ τις διαπτύξειεν, οὐ καλὸν τόδε.
ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον,

---

962 μισεῖν γε P, μισεῖν σε L, sed ν σε in ras. scr. l 963 γνησίοισι EaBCL, γνησίοισιν A, γνησίοις σου P 964 ἆρ' B | λέγεις] γ in ras. pro ξ A 965 ἡ δυσγένεια σὴ A ἢ δυσμένεια σὴ A^2, εἰ δυσμενεία σὴ B εἰ δυσμενείᾳ σῇ et superscr. γρ. δυσγενεία b | δυσμενίᾳ C | φίλα τ' ὤλεσεν E (φίλα τ' rescr. E^2) | φίλτατ'] ατ' in ras. L | ἀπώλεσεν B, ἀπώλεσε C 966 ἀνδράσι aBCLP, corr. bp 967 ἐμπέφυκ' P 971 τί οὖν P, καίτοι Barthold 972 παρὸν P 973 ἔξαιρε C, ἔξερρε L, sed ultimum ε in ras. scr. l | φυγὰς τάχος A 975 ὅρον B ὅρους b 976 fort. γ' ἐκ | ἡττηθήσομαι E, εἰσσηθήσομαι P corr. p 977 οὐ γὰρ A, γὰρ del. A^2 | μίθμιος C | σίννις CP 978 κτανεῖν γε αὐτὸν E 979 οὐδ' εν θαλάσσῃ A, οὐδ' αἱ (αἱ ex ε ut vid. corr. L) θαλάσσης (σῃ superscr. b) EaBCLP | σκιρωνίδες c, σκιρρωνίδες L, σκειρωνίδες ceteri 982 δὴ om. C 983 ξύντασις Herwerden | τε postmodum inseruit L 984 ἔχω P ἔχον p | καλοὺς AEa, πολλοὺς, superscr. γρ. καλοὺς B 986 ἄκομπος P corr. p | λόγον aBCLP, λόγους A, λόγους ex λόγον fecit E, ους super ον et γρ. ἀναιδιῶν superscr. b

ἐς ἥλικας δὲ κὠλίγους σοφώτερος.
ἔχει δὲ μοῖραν καὶ τόδ'· οἱ γὰρ ἐν σοφοῖς
φαῦλοι παρ' ὄχλῳ μουσικώτεροι λέγειν.
ὅμως δ' ἀνάγκη, ξυμφορᾶς ἀφιγμένης,
γλῶσσάν μ' ἀφεῖναι. πρῶτα δ' ἄρξομαι λέγειν,
ὅθεν μ' ὑπῆλθες πρῶτον ὡς διαφθερῶν
οὐκ ἀντιλέξοντ'. εἰσορᾷς φάος τόδε
καὶ γαῖαν· ἐν τοῖσδ' οὐκ ἔνεστ' ἀνὴρ ἐμοῦ,
οὐδ' ἢν σὺ μὴ φῇς, σωφρονέστερος γεγώς.
ἐπίσταμαι γὰρ πρῶτα μὲν θεοὺς σέβειν,
φίλοις τε χρῆσθαι μὴ ἀδικεῖν πειρωμένοις,
ἀλλ' οἷσιν αἰδὼς μήτ' ἐπαγγέλλειν κακὰ
μήτ' ἀνθυπουργεῖν αἰσχρὰ τοῖς κεχρημένοις·
οὐκ ἐγγελαστὴς τῶν ὁμιλούντων, πάτερ,
ἀλλ' αὑτὸς οὐ παροῦσι κἀγγὺς ὢν φίλοις.
ἑνὸς δ' ἄθικτος, ᾧ με νῦν ἑλεῖν δοκεῖς·
λέχους γὰρ ἐς τόδ' ἡμέρας ἁγνὸν δέμας·
κοὐκ οἶδα πρᾶξιν τήνδε πλὴν λόγῳ κλύων
γραφῇ τε λεύσσων· οὐδὲ ταῦτα γὰρ σκοπεῖν
πρόθυμός εἰμι, παρθένον ψυχὴν ἔχων.
καὶ δὴ τὸ σῶφρον τοὐμὸν οὐ πείθει σ' ἴσως·
δεῖ δή σε δεῖξαι τῷ τρόπῳ διεφθάρην.
πότερα τὸ τῆσδε σῶμ' ἐκαλλιστεύετο
πασῶν γυναικῶν; ἢ σὸν οἰκήσειν δόμον
ἔγκληρον εὐνὴν προσλαβὼν ἐπήλπισα;

---

987 *κὠλίγους a*, *κῴλίγους L*, *καὶ ὀλίγους A*, *καὶ ὀλίγους EBC*, *κὀλίγους P* 988 *δὲ μοῖραν*] fort. *δ' ἀμοιβὴν* 990 *ξυμφορᾶς E*, *συμφορᾶς* ceteri 991 *γλῶσαν P* corr. *p* 992 *ἐπῆλθες* Markland | *πρῶτον AEa* et Christ. pat. 520, *πρότερον B* (*γρ. πρῶτον b*) *CLP* 993 *οὐκ*] Markland, *κοὐκ* libri, cfr. schol. *περισσὸς ὁ καί* 995 *φῇς ALb*, *φὴς EaBP* 996 *θεὸν b* 997 *μὴ ἀδικεῖν AEabC*, *μὴ δ' ἀδικεῖν B*, *μὴ 'δικεῖν LP* | *πειρώμενος E* 998 *ἐπαγγέλλειν*] Milton, *ἀπαγγέλλειν* libri (*ἀπαγγέλειν AL*) 999 *τοῖς κεχρημένοις*] scripsi, *τοῖσι χρωμένοις* libri 1000 *κοὐκ B* | *ἐκγελαστὴς C* 1001 *ὡὑτὸς* i. e. *αὑτὸς*] Valckenaer, *αὐτὸς* libri | *κ'ἐγγὺς C* | *φίλοις BLP*, *φίλος AEa* (*γρ. καὶ φίλοις a*[2]) *C* 1002 *ᾧ*] *οὗ* Tournier | *ἑλεῖν AEaCP*, *ἔχειν B* (*γρ. ἑλεῖν b*) *L* 1003 *λέχος* in *λέχους* mut. *L* vel *l* | cfr. Christ. pat. 521 *ἁγνὸν ἐς τόδ' ἡμέρας δέμας* 1004 *κοὐκ aBCLP*, *οὐκ AE* | *λόγῳ*] *μόνον C* 1005 *λεύσων BP* (corr. *b*) 1007 *καὶ δὴ AaCP*, **δὴ L*(i. e. *καὶ δὴ*), *εἰ δὴ l*, *κεἰ μὴ E* 1008 *δείξω* corr. in *δεῖξαι B* 1011 *ἄκληρον b* | *εὐνῇ A*, *γρ. εὐνῇ b* | *ἐπήρπισα P* (corr. *p*)

[μάταιος ἆρ' ἦν, οὐδαμοῦ μὲν οὖν φρενῶν.]
ἀλλ' ὡς τυραννεῖν ἡδὺ τοῖσι σώφροσιν;
ἥκιστα τιμὴ τὰς φρένας διέφθορεν
θνητῶν ὅσοισιν ἀνδάνει μοναρχία.
ἐγὼ δ' ἀγῶνας μὲν κρατεῖν Ἑλληνικοὺς
πρῶτος θέλοιμ' ἄν, ἐν πόλει δὲ δεύτερος
σὺν τοῖς ἀρίστοις εὐτυχεῖν ἀεὶ φίλοις.
πράσσειν τε γὰρ πάρεστι κίνδυνός τ' ἀπὼν
κρείσσω δίδωσι τῆς τυραννίδος χάριν.
ἓν οὐ λέλεκται τῶν ἐμῶν, τὰ δ' ἄλλ' ἔχεις·
εἰ μὲν γὰρ ἦν μοι μάρτυς οἷός εἰμ' ἐγώ,
καὶ τῆσδ' ὁρώσης φέγγος ἠγωνιζόμην,
ἔργοις ἂν εἶδες τοὺς κακοὺς διεξιών·
νῦν δ' ὅρκιόν σοι Ζῆνα καὶ πέδον χθονὸς
ὄμνυμι τῶν σῶν μήποθ' ἅψασθαι γάμων
μηδ' ἂν θελῆσαι μηδ' ἂν ἔννοιαν λαβεῖν.
ἦ τἄρ' ὀλοίμην ἀκλεὴς ἀνώνυμος,
[ἄπολις ἄοικος, φυγὰς ἀλητεύων χθονός,]
καὶ μήτε πόντος μήτε γῆ δέξαιτό μου
σάρκας θανόντος, εἰ κακὸς πέφυκ' ἀνήρ.
εἰ δ' ἥδε δειμαίνουσ' ἀπώλεσεν βίον
οὐκ οἶδ'· ἐμοὶ γὰρ οὐ θέμις πέρα λέγειν.
ἐσωφρόνησε δ' οὐκ ἔχουσα σωφρονεῖν,

1012 delevi | ἆρ mut. in ἄρ' *L*, ἄρ *A*, ἄρ' *BC* | οὐδαμοῦ μὲν οὖν φρονῶν *aB* (ἦν ut schol. adscr. *b*), οὐδαμοῦ μὲν ἦν φρονῶν *AE*, οὐδαμοῦ μένων φρονῶν *C*, κοὐδαμοῦ μὲν οὖν φρονῶν *L*, οὐδαμοῦ μὲν φρονῶν *P*. φρενῶν ex scholio οὐδαμοῦ συνέσεως ἦν ἐγώ effecit Markland 1013 sq. σώφροσι et διέφθορε *B* 1014 τιμὴ] scripsi, γ' εἰ μὴ libri διέφθειρεν *A*, διέφθοραν *l* 1016 κρατῶν *B* γρ. κρατεῖν superscr. *b* 1018 εὐτυχεῖν] fort. εὐθενεῖν 1019 πράσσειν τε γὰρ *Aa*, πράσσειν γὰρ εὖ *Ea*²*BCLP* | τ' *AEa*, δ' *BCLP* | ἀπὸν *P* corr. *p* 1020 τοῖς τυραννίδος *A* 1021 ἓν in ras. scr. *L* | ἔχοις *P* corr. *p* 1023 καὶ] ἢ Wilamowitz 1024 εἷλες Reiske | καλοὺς *C* 1025 χθονὸς πέδον *A* 1026 γάμων] λεχῶν Nauck 1027 μὴ δ' εἰς ἔννοιαν *P* | ἔνοιαν *L* corr. *l* 1028 ἢ τἆρ *A*, ἦ τ' ἂρ *a*, ἦ τἄρ' *ECP* (γ' add. *p*), ἤ τ' ἄρ' *B* (ἦ τ' ἆρ' *b*), ἤ τ' ἆρ' *L* | ὀλοίμαν *P*, ὀλοίμην ἄπολις *B*, ὀλοίμην γὰρ *C* 1029, quem om. Christ. pat. 526—29 (= v. 1027—29), delevit Valckenaer | ἄπολις om. *C* | ἀλιτεύων *P* | χθονός] Boissonade, χθόνα libri, cfr. 1048 1032 ἀπώλεσε *BC* 1033 πέρα θέμις *E* | λέγειν πέρα *l* 1034 ἐσωφρόνησε δ' *AEab*, ἐσωφρόνησεν (om. δ') *BCLP* | γρ. οὐχ ἑκοῦσα schol. *aB*

ἡμεῖς δ' ἔχοντες οὐ καλῶς ἐχρώμεθα.
ΧΟ. ἀρκοῦσαν εἶπας αἰτίας ἀποστροφήν,
ὅρκους παρασχών, πίστιν οὐ σμικράν, θεῶν.
ΘΗ. ἆρ' οὐκ ἐπῳδὸς καὶ γόης πέφυχ' ὅδε,
ὃς τὴν ἐμὴν πέποιθεν εὐοργησίᾳ
ψυχὴν κρατήσειν τὸν τεκόντ' ἀτιμάσας;
ΙΠ. καὶ σοῦ γε κάρτα ταῦτα θαυμάζω, πάτερ·
εἰ γὰρ σὺ μὲν παῖς ἦσθ', ἐγὼ δὲ σὸς πατήρ,
ἔκτεινά τοί σ' ἂν κοὐ φυγαῖς ἐζημίουν,
εἴπερ γυναικὸς ἠξίους ἐμῆς θιγεῖν.
ΘΗ. ὡς ἄξιον τόδ' εἶπας· οὐχ οὕτω θανῇ.
ὥσπερ σὺ σαυτῷ τόνδε προὔθηκας νόμον·
ταχὺς γὰρ Ἅιδης ῥᾷστος ἀνδρὶ δυσσεβεῖ·
ἀλλ' ἐκ πατρῴας φυγὰς ἀλητεύων χθονὸς
ξένην ἐπ' αἶαν λυπρὸν ἀντλήσεις βίον·
[μισθὸς γὰρ οὗτός ἐστιν ἀνδρὶ δυσσεβεῖ.]
ΙΠ. οἴμοι, τί δράσεις; οὐδὲ μηνυτὴν χρόνον
δέξῃ καθ' ἡμῶν, ἀλλά μ' ἐξελᾷς χθονός;
ΘΗ. πέραν γε πόντου καὶ τόπων Ἀτλαντικῶν,
εἴ πως δυναίμην, ὡς σὸν ἐχθαίρω κάρα.
ΙΠ. οὐδ' ὅρκον οὐδὲ πίστιν οὐδὲ μάντεων
φήμας ἐλέγξας ἄκριτον ἐκβαλεῖς με γῆς;
ΘΗ. ἡ δέλτος ἥδε κλῆρον οὐ δεδεγμένη
κατηγορεῖ σου πιστά· τοὺς δ' ὑπὲρ κάρα
φοιτῶντας ὄρνεις πόλλ' ἐγὼ χαίρειν λέγω.
ΙΠ. ὦ θεοί, τί δῆτα τοὐμὸν οὐ λύω στόμα,

1038 οὐ γοῆς πέφυκ' *E* | πέφυκ' *A* 1039 εὐοργήσια ut vid. *A*, εὐορκία *A*^{2}, εὐοργησίᾳ *P* et mut. in εὐορκησίᾳ *EaBL*, εὐορκησίᾳ *Cp* 1040 κρατή** *A*, κρατήσειν *A*^{2} et ceteri 1041 ταῦτα κάρτα *L*, πάντα ταῦτα *P* | ταῦτα om. *C* 1044 ἠξίουν *A*, ἠξίους *A*^{2}*BC*, ἠξίους σ' *E*, ἠξίους γ' *a*, ἠξίουν σ' *a*^{2}*LP*, ἠξίουν σ' et ἠξίουν γ' *b*, ἠξίουσ' *l* 1046 quem post 1048 collocat Weil (deletis versibus 1049 sq.), delet Wheeler 1047 δυσσεβεῖ *AE*, δυστυχεῖ *aBCLP* 1048 ἀλιτεύων *P* 1050 οὗτός ἐστιν *AEa*, ἐστιν οὗτος *BCLP* | δυσεβεῖ *AB* | schol. ἐν πολλοῖς οὐ φέρεται οὗτος ὁ ἴαμβος, versum abiecit Nauck 1053 καὶ τόπων *B* (superscr. γρ. τερμόνων) *CLp* (καὶ τόπον *P*), τερμόνων *Aa*, τερμόνων τ' *E* (superscr. γρ. τόπων) 1054 ὡς τὸν *P* corr. *p* 1055 ὅρκων *BC* (corr. *b*) 1056 ἐλέγχων *Eab* | ἐκβαλεῖν *A* corr. *A*^{2}, ἐκβαλῇ *P* corr. *p* 1058 κατηγορεῖν ras. in κατηγορεῖ mut. *A* 1059 ὄρνεις *AB*, ὄρνις *EaBCLP* 1060 λύω] Elmsley, λύσω libri

ὅστις γ' ὑφ' ὑμῶν, οὓς σέβω, διόλλυμαι;
οὐ δῆτα· πάντως οὐ πίθοιμ' ἂν οὕς με δεῖ,
μάτην δ' ἂν ὅρκους συγχέαιμ' οὓς ὤμοσα.
ΘΗ. οἴμοι, τὸ σεμνὸν ὥς μ' ἀποκτείνει τὸ σόν.
οὐκ εἶ πατρῴας ἐκτὸς ὡς τάχιστα γῆς;
ΙΠ. ποῖ δῆθ' ὁ τλήμων τρέψομαι; τίνος ξένων
δόμους ἔσειμι τῇδ' ἐπ' αἰτίᾳ φυγών;
ΘΗ. ὅστις γυναικῶν λυμεῶνας ἥδεται
ξένους κομίζων καὶ ξυνοικούρους κακῶν.
ΙΠ. αἰαῖ· πρὸς ἧπαρ δακρύων τ' ἐγγὺς τόδε,
εἰ δὴ κακός γε φαίνομαι δοκῶ τέ σοι.
ΘΗ. τότε στενάζειν καὶ προγιγνώσκειν σε χρῆν
ὅτ' ἐς πατρῴαν ἄλοχον ὑβρίζειν ἔτλης.
ΙΠ. ὦ δώματ', εἴθε φθέγμα γηρύσαισθέ μοι
καὶ μαρτυρήσαιτ' εἰ κακὸς πέφυκ' ἀνήρ.
ΘΗ. ἐς τοὺς ἀφώνους μάρτυρας φεύγεις σοφῶς·
τὸ δ' ἔργον οὐ λέγον σε μηνύει κακόν.
ΙΠ. φεῦ·
εἴθ' ἦν ἐμαυτὸν προσβλέπειν ἐναντίον
στάνθ', ὡς ἐδάκρυσ' οἷα πάσχομεν κακά.
ΘΗ. πολλῷ γε μᾶλλον σαυτὸν ἤσκησας σέβειν
ἢ τοὺς τεκόντας ὅσια δρᾶν δίκαιος ὤν.
ΙΠ. ὦ δυστάλαινα μῆτερ, ὦ πικραὶ γοναί·
μηδείς ποτ' εἴη τῶν ἐμῶν φίλων νόθος.

1061 ὑφ' ὑμῶν *EaCL*, ὑφημῶν *A*, ὑφ' ἡμῶν *BP* 1062 πίθοιμ' mut. in πείθοιμ' *A*, πύθοιμ' *E* | οἷς *P* 1063 fort. ὅρκον.. ὃν 1064 ἀποκτείνει *AE*, ἀποκτενεῖ *aB* (γρ. ἀποκτείνει *b*) *CLP* 1065 ὡς τάχιστα γῆς ἐκτὸς *LP* 1066 δῆθ' ὁ *AEab*, δῆτα *BCLP* | λῆμον mut. in τλήμων *B*, τλάμων *C* 1067 εἴσειμι *CLP* | φεύγων *P* 1069 ξυνοικούρους *LP*, ξυνοικουροὺς *C*, συνοικουροὺς *AEa*, συνοικουργοὺς *B* | κακῶν] δόμων Wilamowitz 1070 fort. αἰαῖ· | χρίμπτει πρὸς ἧπαρ | δακρύον *P* | τ' om. *C* 1071 κακός γε *AEab*, κακός τε *BLP*, κάκιστός τε *C* | φαίνομαι τεκόντι σοί R. Prinz 1072 τότε δὴ *BC* | προγινώσκειν *ABCP* | σ' ἐχρῆν *AEaCb*, ἐχρῆν *BLP* 1074 sq. γηρύσαισθε (αι ex alia litera factum) et μαρτυρήσατ' mut. in μαρτυρήσαιτ' *L*, γηρύσεσθε et μαρτυρήσετ' *AaBC*, γηρύεσθε .. μαρτυρήσατ' *E*, γηρύσεσθε .. μαρτυρήσατ' *P* 1076 ἀφθόγγους *A* | φεύγει *A* | σαφῶς, scripto ο super α, cum gl. σοφιστικῶς *a*, cfr. schol. γρ. σοφῶς ἵν' ᾖ σοφιστικῶς, σαφῶς ceteri 1077 τόδ' *LP*, τὸ δ' ceteri | δεικνύει *B* (γρ. μηνύει *b*) *C* 1079 πάσχομαι *C* 1082 μήτηρ *B* (μῆτερ *b*)

ΘΗ. οὐχ ἕλξετ' αὐτόν, δμῶες; οὐκ ἀκούετε
πάλαι ξενοῦσθαι τόνδε προυννέποντά με;
ΙΠ. κλαίων τις αὐτῶν ἆρ' ἐμοῦ τεθίξεται·
σὺ δ' αὐτός, εἴ σοι θυμός, ἐξώθει χθονός.
ΘΗ. δράσω τάδ', εἰ μὴ τοῖς ἐμοῖς πείσῃ λόγοις·
οὐ γάρ τις οἶκτος σῆς μ' ὑπέρχεται φυγῆς.
ΙΠ. ἄραρεν, ὡς ἔοικεν· ὦ τάλας ἐγώ·
ὡς οἶδα μὲν ταῦτ', οἶδα δ' οὐχ ὅπως φράσω.
ὦ φιλτάτη μοι δαιμόνων Λητοῦς κόρη,
σύνθακε, συγκύναγε, φευξόμεσθα δὴ
κλεινὰς Ἀθήνας. ἀλλὰ χαίρετ', ὦ πόλις
καὶ γαῖ' Ἐρεχθέως· ὦ πέδον Τροιζήνιον,
ὡς ἐγκαθηβᾶν πόλλ' ἔχεις εὐδαίμονα,
χαῖρ'· ὕστατον γάρ σ' εἰσορῶν προσφθέγγομαι.
ἴτ' ὦ νέοι μοι τῆσδε γῆς ὁμήλικες,
προσείπαθ' ἡμᾶς καὶ προπέμψατε χθονός·
ὡς οὔποτ' ἄλλον ἄνδρα σωφρονέστερον
ὄψεσθε, κεἰ μὴ ταῦτ' ἐμῷ δοκεῖ πατρί.

stroph.

ΧΟ. ἦ μέγα μοι τὰ θεῶν μελεδήμαθ', ὅταν φρένας ἔλθῃ,
λύπας παραιρεῖ·
ξύνεσιν δέ τιν' ἐλπίδι κεύθων
λείπομαι ἔν τε τύχαις θνατῶν καὶ ἐν ἔργμασι λεύσσων·
ἄλλα γὰρ ἄλλοθεν ἀμείβεται,
μετὰ δ' ἵσταται ἀνδράσιν αἰὼν
πολυπλάνητος αἰεί.

1084 ἐξέλετ' *B* corr. *b* 1085 τῶδε *LP* (corr. *p*) | προὐνέποντα *BC* 1086 τεθίξεται *A*, γε θίξεται ceteri 1088 τάδε *A*, fort. τόδ' 1089 ὑπέρχεται *aBCLP*, ἐπέρχεται *AE* | fort. φρενός 1090 ἄρηρεν *l* 1092 κόρα *aBCLP* 1093 συνκύναγε *BL* (συν in ras. *L*), συγκύνηγε *C* | φευξόμεσθα *L*, φευξόμεθα *P*, φευξούμεσθα *Aa*, φευξούμεθα *EBC* 1094 χαίρετ', ὦ] Porson, χαιρέτω libri 1095 γᾶ *AE* | ἐρεχθέος *AC* (ω super ο scr. *C*) 1097 ὕστερον *B* (γρ. ὕστατον *b*) *C* | σ' om. *AEC* 1098 ὁμίλικες *C* 1099 προπέμψατ' ἐκ Herwerden 1100 οὔποτ' *L*, sed οὔπο in ras. scr. *L* vel *l* 1101 ταῦτα τὠμῷ *C* 1104 παραινεῖ *C*, παραίρει *L* (corr. *l*) 1107 ἔρμασι *B* | λεύσων *A*, βλέπων *B* (λεύσσων superscr. *b*) *C* 1108 ἄλλα, scripto η super α, *E* | ἄλλοτ' *LP* 1109 ἵστατ' *BC* et *L*, sed ' in ras. scr. *l*, quae manus etiam ἀνδράσιν in ras. scr. 1110 αἰεὶ *aBCP*, ἀεὶ *AEL*

εἴθε μοι εὐξαμένᾳ θεόθεν τάδε μοῖρα παράσχοι, antistr.
τύχαν μετ' ὄλβου
καὶ ἀκήρατον ἄλγεσι θυμόν·
δόξα δὲ μήτ' ἀτρεκὴς μήτ' αὖ παράσημος ἐνείη·
ῥᾴδια δ' ἤθεα τὸν αὔριον
μεταβαλλομένα χρόνον αἰεὶ
βίοτον εὐτυχοίην.

stroph.
οὐκέτι γὰρ καθαρὰν φρέν' ἔχω τὰ παρ' ἐλπίδα λεύσσων,
ἐπεὶ τὸν Ἑλλανίας
φανερώτατον ἀστέρα γαίας
εἴδομεν εἴδομεν ἐκ πατρὸς ὀργᾶς
ἄλλαν ἐπ' αἶαν ἱέμενον.
ὦ ψάμαθοι πολιήτιδος ἀκτᾶς,
ὦ δρύμ' ὄρειος, ὅθι κυνῶν
ὠκυπόδων μέτα θῆρας ἔναιρεν
Δίκτυνναν ἀμφὶ σεμνάν.

οὐκέτι συζυγίαν πώλων Ἐνετᾶν ἐπιβάσῃ antistr.
τὸν ἀμφὶ Λίμνας τρόχον
κατέχων ποδὶ γυμνάδος ἵππου.
μοῦσα δ' ἄϋπνος ὑπ' ἄντυγι χορδᾶν
λήξει πατρῷον ἀνὰ δόμον·
ἀστέφανοι δὲ κόρας ἀνάπαυλαι

1111 *μοι*] *μι* P | *παράσχοις* C 1114 *ἀκήρατον* AE, *ἀκήραον* L, *ἀγήραον* B (*γρ. ἀκήρατον* superscr. b) aCP 1115 *δὲ μήτ'* L, sed *η* in ras. complurium literarum scr. l | *ἂν παράσιμος* C 1117 *μεταβαλλομένη* C, *μεταβαλόμενα* P | *αἰεὶ* Al, *ἀεὶ* ceteri 1118 *βίοτον εὐτυχοίην*] Weil, *βίον* (*βίω* B, *ον* superscr. b) *συνευτυχοίην* libri 1120 *τὰ παρ' ἐλπίδα*] Hartung, *παρελπίδα* AELP, *παρὰ δ' ἐλπίδα* aBC | *λεύσσων* AE, *λεύσω* B (*λεύσσων* b) C, *λεύσσω* aLP (*λεύσσων* l) 1121 *ἐπὶ* A 1122 *ἀστέρα γαίας*] Hartung, *ἀστέρ' ἀθήναις* A, *ἀ. ἀθήνας* ECLP, *ἀ. ἀθάνας* B (*η* super *ά* scr. b), *ἀ. ἀθήνης* a 1125 *ἰόμενον* C, *ἱέμενος* P 1126 *πολίτιδος* P, fort. *πολιάτιδος* 1127 *δρύμ'*] scripsi, *δρυμὸς* libri | *ὅριος* C 1129 *ὠκυπόδων μέτα .. ἔναιρεν*] Blomfield (*θεᾶς* delevit Brunck), *ὠκυπόδων ἐπέβας* (*ἐπέβα* LP) *θεᾶς μέτα .. ἐναίρων* libri 1130 *δίκτυνναν* ABL, *δίκτυν* C | post *δίκτυνναν* suprascr. *γὰρ* l 1131 *συζυγία* A, *συζυγίαν* L *συζυγία*, scripto *αν* super *α*, l | *πώλων* ex *πόλων* fecit l | *ἐνετῶν* C 1133 *λίμνης* C 1134 *γυμνάδος ἵππου*] Reiske, *γυμνάδας* (*σὰσ* super *δας* scr. l) *ἵππους* libri 1135 *χορδᾶς* a, sed *ς* in ras. scr. a^3 1136 *λέξει πατρῷ*ον* L, *λήξει πατρῷον* manus secunda 1137 *κούρας* P

Λατοῦς βαθεῖαν ἀνὰ χλόαν·
νυμφιδία δ' ἀπόλωλε φυγᾷ σᾷ
λέκτρων ἅμιλλα κούραις.

ἐγὼ δὲ σᾷ δυστυχίᾳ δάκρυσι διοίσω
πότμον ἄποτμον· ὦ τάλαινα
μᾶτερ, ἔτεκες ἀνόνατα· φεῦ·
μανίω θεοῖσιν·
ἰὼ ἰὼ ζύγιαι Χάριτες.
ποῖ τὸν τάλαν' ἐκ πατρίας
γᾶς οὐδὲν ἄτας αἴτιον
πέμπετε τῶνδ' ἀπ' οἴκων;

καὶ μὴν ὀπαδὸν Ἱππολύτου τόνδ' εἰσορῶ
σπουδῇ σκυθρωπὸν πρὸς δόμους ὁρμώμενον.

ΑΓΓΕΛΟΣ.

ποῖ γῆς ἄνακτα τῆσδε Θησέα μολὼν
εὕροιμ' ἄν, ὦ γυναῖκες; εἴπερ ἴστε, μοι
σημήνατ'· ἆρα τῶνδε δωμάτων ἔσω;

ΧΟ. *ὅδ' αὐτὸς ἔξω δωμάτων πορεύεται.*

ΑΓΓ. *Θησεῦ, μερίμνης ἄξιον φέρω λόγον*
σοὶ καὶ πολίταις οἵ τ' Ἀθηναίων πόλιν
ναίουσι καὶ γῆς τέρμονας Τροιζηνίας.

ΘΗ. *τί δ' ἔστι; μῶν τις συμφορὰ νεωτέρα*
δισσὰς κατείληφ' ἀστυγείτονας πόλεις;

ΑΓΓ. *Ἱππόλυτος οὐκέτ' ἔστιν, ὡς εἰπεῖν ἔπος·*
δέδορκε μέντοι φῶς ἐπὶ σμικρᾶς ῥοπῆς.

1139 *ἀνὰ χλόαν AEaB* (*γρ. χθόνα* superscr. *b*) *C*, *ἀν' ὕλαν L*, sed *'ὕλαν* in ras. scr. m. sec., in marg. scr. *γρ. χλόαν* m. tert., *ἀνὰ P* 1140 *νυμφίδια EaLP*, *νυμφιδίων* Wakefield | *ἀπόλωλε A*, *ἀπόλωλε λέχη EaBCLP* 1141 *λέκτρ' ἀνάμιλλα l* | *κόραις CLP* 1144 *ἄποτμ* τάλαινα L*, *ἄποτμον ὦ τάλαινα* m. secunda 1145 *ἀνόνατα AE*, *ἀνόνητα aB* (*γρ. αἰνότατα* superscr. *b*) *CLP* 1146 *μᾶν ἰὼ A*, *μανίω* ceteri (*η* super *α* scr. *bl*) 1147 *ζύγιαι*] Dindorf, *συζυγίαι* libri 1148 *ποῖ*] scripsi, *τί* libri | *τάλαν' EP*, *τάλ* L*, *αν* add. m. sec., *τάλαιν' ABa* (*αν* superscr. *a*[3]) *C* | *πατρῴας BCl*, *πατρίας AEaLP* 1148 sq. *ἐκ πατρίας ἄτας τὸν οὐδὲν αἴτιον* Weil 1149 *γᾶς* om. *LP*, *γᾶς τὸν* add. *l* 1150 *πέμπεται A*, fort. *πέμψετε* | *ἀπὸ τῶν οἴκων L*, sed *πὸ τῶν οἴκων* in ras. scr. *l* 1151 *ἡμιχ.* praef. *BCLP* | *ἱπολύτου C* 1153 *ΑΓΓ.*] fort. praestat *θεράπων*, cfr. 1184 | *ποῦ .. τόνδε A*, *ποῖ .. τῆσδε* ceteri 1160 *τις*] *τι P* 1162 *οὐκ ἔστιν C*

ΘΗ. πρὸς τοῦ; δι' ἔχθρας μῶν τις ἦν ἀφιγμένος,
ὅτου κατῄσχυν' ἄλοχον ὡς πατρὸς βίᾳ;
ΑΓΓ. οἰκεῖος αὐτὸν ὤλεσ' ἁρμάτων ὄχος
ἀραί τε τοῦ σοῦ στόματος, ἃς σὺ σῷ πατρὶ
πόντου κρέοντι παιδὸς ἠράσω πέρι.
ΘΗ. ὦ θεοὶ Πόσειδόν θ', ὡς ἄρ' ἦσθ' ἐμὸς πατὴρ
ὀρθῶς, ἀκούσας τῶν ἐμῶν κατευγμάτων.
πῶς καὶ διώλετ'; εἰπέ· τῷ τρόπῳ Δίκης
ἔπαισεν αὐτὸν ῥόπτρον αἰσχύναντά με;
ΑΓΓ. ἡμεῖς μὲν ἀκτῆς κυμοδέγμονος πέλας
ψήκτραισιν ἵππων ἐκτενίζομεν τρίχας
κλαίοντες· ἦλθε γάρ τις ἄγγελος λέγων
ὡς οὐκέτ' ἐν γῇ τῇδ' ἀναστρέψοι πόδα
Ἱππόλυτος, ἐκ σοῦ τλήμονας φυγὰς ἔχων.
ὁ δ' ἦλθε ταὐτὸν δακρύων ἔχων μέλος
ἡμῖν ἐπ' ἀκτάς· μυρία δ' ὀπισθόπους
φίλων ἅμ' ἔστειχ' ἡλίκων θ' ὁμήγυρις.
χρόνῳ δὲ δή ποτ' εἶπ' ἀπαλλαχθεὶς γόων·
τί ταῦτ' ἀλύω; πειστέον πατρὸς λόγοις.
ἐντύναθ' ἵππους ἅρμασι ζυγηφόρους,
δμῶες· πόλις γὰρ οὐκέτ' ἔστιν ἥδε μοι.
τοὐνθένδε μέντοι πᾶς ἀνὴρ ἠπείγετο,
καὶ θᾶσσον ἢ λέγοι τις ἐξηρτυμένας
πώλους παρ' αὐτὸν δεσπότην ἐστήσαμεν.
μάρπτει δὲ χερσὶν ἡνίας ἀπ' ἄντυγος,
αὐταῖσιν ἀρβύλαισιν ἁρμόσας πόδα.
καὶ πρῶτα μὲν θεοῖς εἶπ' ἀναπτύξας χέρας·

1165 ἐκ πατρὸς, superscr. ὡς τοῦ, *B*, ἐκ πατρὸς *P* 1166 αὐτῶν ὄλεσεν *C* | ὤλεσεν *BL* | ἅρματος *E*. 1172 ῥόπτον *a* | αἰσχύναντά με *A*[2]*aBCLP*, αἰσχύναντ' ἐμέ *AE* 1175 κλάοντες *aLP* | ἦλθε] ἥκε J. Heiland 1176 ἀναστρέψοι *aP*, ἀναστρέψει *CL*, ἀναστρέφοι *AEB* 1177 τλήμονος *E*, τλάμονας *C* 1178 ἦισθε *A*, ἦιλθε *A*[2] | ταυτὸν *CP*, ταυτὸ *L*, sed ὸ in ras. scr. *l*, ταὐτὸ vel ταυτὸ *AEaB* | φέρων *P*, ἔχων ceteri, fort. ἠχῶν vel potius ἀχῶν 1179 ἀκτάς] Kirchhoff, ἀκταῖς libri | μυρίων *l* 1180 θ' om. libri, add. Markland 1181 ἀποπλαχθεὶς *a*, ἀπαλλαγεὶς superscr *a*[2], ἀλλαχθεὶς *C* 1182 τίπτ' αὔτ' *a* | ταῦθ' ἀλύω πιστέον *B* | πιστέον *a*, πειστέον *a*[2] 1183 ἐντύναθ' *AEaB*, ἐντύνεθ' *CLP* | ζυγαφόρους *P* 1186 λέγει τις *BCP*, λέγοι τις ceteri, fort. λόγοισιν | ἐξηρτημένας *C* 1189 αὐταῖς ἐν Valckenaer | ἀρβύλλησιν *C*, ἀρβύλησιν *a*, ἀρβύλησισ *P* | πόδας *Cl*, πόδα ceteri 1190 θεοῖς

Ζεῦ, μηκέτ' εἴην, εἰ κακὸς πέφυκ' ἀνήρ·
αἴσθοιτο δ' ἡμᾶς ὡς ἀτιμάζει πατὴρ
ἤτοι θανόντας ἢ φάος δεδορκότας.
κἀν τῷδ' ἐπῆγε κέντρον ἐς χεῖρας λαβὼν
πώλοις ὁμοκλῇ· πρόσπολοι δ' ὑφ' ἅρματος
πέλας χαλινῶν εἱπόμεσθα δεσπότῃ
τὴν εὐθὺς Ἄργους κἀπιδαυρίας ὁδόν.
ἐπεὶ δ' ἔρημον χῶρον εἰσεβάλλομεν,
ἀκτή τις ἔστι τοὐπέκεινα τῆσδε γῆς
πρὸς πόντον ἤδη κειμένη Σαρωνικόν.
ἔνθεν τις ἠχὼ χθόνιος ὡς βροντὴ Διὸς
βαρὺν βρόμον μεθῆκε, φρικώδη κλύειν·
ὀρθὸν δὲ κρᾶτ' ἔστησαν οὖς τ' ἐς οὐρανὸν
ἵπποι· παρ' ἡμῖν δ' ἦν φόβος νεανικὸς
πόθεν ποτ' εἴη φθόγγος. ἐς δ' ἁλιρρόθους
ἀκτὰς ἀποβλέψαντες ἱερὸν εἴδομεν
κῦμ' οὐρανῷ στηρίζον, ὥστ' ἀφῃρέθη
Σκιρωνίδ' ἄκραν ὄμμα τοὐμὸν εἰσορᾶν·
ἔκρυπτε δ' Ἰσθμὸν καὶ πέτραν Ἀσκληπιοῦ.
κἄπειτ' ἀνοιδῆσάν τε καὶ πέριξ ἀφρὸν
πολὺν καχλάζον ποντίῳ φυσήματι
χωρεῖ πρὸς ἀκτάς, οὗ τέθριππος ἦν ὄχος.
αὐτῷ δὲ σὺν κλύδωνι καὶ τρικυμίᾳ
κῦμ' ἐξέθηκε ταῦρον, ἄγριον τέρας,
οὗ πᾶσα μὲν χθὼν φθέγματος πληρουμένη

CLP, θεοὺς *AEa*, om. *B*, superscr. *b* 1194 ἐπῆγεν *A*, ἐπεῖγε *CP* (ἐπῆγε *p*) | fort. ἐν χερσὶν | βαλὼν *B* (λαβὼν *b*) 1195 πώλους *AB* (πώλοις *b*) | ὁμοκλῇ] scripsi, ὁμαρτῇ libri | ὑφ' ἅρματος *LP*, ἐφάσκομε *A*, ἐφ' ἅρματος A^2*B*, ἐφ' ἅρματι *EaC* 1196 εἰπόμεθα *B* et mut. in εἰπόμεσθα *L* 1197 εὐθὺς] cfr. Phot. p. 32, 12 s. v. εὐθὺ Λυκείου· . . καὶ Εὐριπίδης οὐκ ὀρθῶς· τὴν εὐθὺς Ἄργους κἀπιδαυρίας ὁδόν 1198 χῶρον *aCLP*, χῶραν *A*, χώραν *E* et mut. in χῶρον *B* 1200 κειμένην *E* | σαρρωνικόν *L* 1201 ἠχὴ Nauck, malim ἀχὴ | φωνὴ διὸς *P* 1203 ὀρθήν τε *C*, ὀρθόν τε *LP* | τ' *CBL*, δ' *AEaP* | ἐς in *AEa* 1204 τ', superscr. δ', *C* 1205 δ' om. *C* 1208 Σκειρωνίδ' ἄκραν] Kirchhoff (ἄκρας Luzac), σκείρωνος (σκίρωνος *c*, cfr. C. I. 7723, σκείρρωνος *L*) ἀκτὰς (δ' ἀκτᾶς *A*, in *L* ακ rescr. vel ex αὐ corr. m. sec.) libri 1209 πέτρας *C* 1211 καχλάζον] fort. παφλάζον | πόντω *P* (ποντίω *p*) 1213 συγκλύδωνι *A* 1214 ἐξέθηκεν *A* 1215 fort. πᾶς μὲν αὐλὼν . . πληρούμενος | φθέγγματος *A*

φρικῶδες ἀντεφθέγγετ', εἰσορῶσι δὲ
κρεῖσσον θέαμα δεργμάτων ἐφαίνετο.
εὐθὺς δὲ πώλοις δεινὸς ἐμπίπτει φόβος·
καὶ δεσπότης μὲν ἱππικοῖσιν ἤθεσιν
πολὺς ξυνοικῶν ἥρπασ' ἡνίας χεροῖν,
ἕλκει δὲ κώπην ὥστε ναυβάτης ἀνὴρ
ἱμᾶσιν ἐς τοὔπισθεν ἀρτήσας δέμας·
αἳ δ' ἐνδακοῦσαι στόμια πυριγενῆ γναθμοῖς
βίᾳ φέρουσιν, οὔτε ναυκλήρου χερὸς
οὔθ' ἱπποδέσμων οὔτε κολλητῶν ὄχων
μεταστρέφουσαι. κεἰ μὲν ἐς τὰ μαλθακὰ
γαίας ἔχων οἴακας εὐθύνοι δρόμον,
προυφαίνετ' ἐς τοὔμπροσθεν ὥστ' ἀναστρέφειν
ταῦρος φόβῳ τέτρωρον ἐκμαίνων ὄχον·
εἰ δ' ἐς πέτρας φέροιντο μαργῶσαι φρένας,
σιγῇ πελάζων ἄντυγι ξυνείπετο
ἐς τοῦθ' ἕως ἔσφηλε κἀνεχαίτισεν,
ἁψῖδα πέτρῳ προσβαλὼν ὀχήματος.
σύμφυρτα δ' ἦν ἅπαντα· σύριγγές τ' ἄνω
τροχῶν ἐπήδων ἀξόνων τ' ἐνήλατα,
αὐτὸς δ' ὁ τλήμων ἡνίαισιν ἐμπλακεὶς
δεσμὸν δυσεξήνυστον ἕλκεται δεθείς,
σποδούμενος μὲν πρὸς πέτραις φίλον κάρα
θραύων τε σάρκας, δεινὰ δ' ἐξαυδῶν κλύειν·

1216 *ἀντεφθέγγετ' EaBCP*, *ἀντιφθέγγετ' L*, *ἀντεφθέγξατ' A* et Christ. pat. 858 1217 *θέαμα κρεῖσσον ὀμμάτων* Christ. pat. 859 1218 *ἐνπίτνει A ἐνπίπτει* A^2, *ἐμπίπτει* ceteri 1219 *δεσπόταις* mut. in *δεσπότης B* | *ἱππικοῖσιν*] Valckenaer, *ἱππικοῖς ἐν* libri 1220 *συνοικῶν A* | *ἡνία C* 1221 *κώπαν C* 1223 *αἴδ' BLP* | *πυρηγενῆ a πυριγενῆ* a^2, *πυργενῆ* H. Wolf | *γναθμοῖς AE*, *γνάθοις aBCLP* 1225 *ὀχον A*, *ὄχον* mut. in *ὄχων C* 1226 *ἐς* in *Ea* 1227 *οἴακας AB*, *οἴηκας EaCLP* | *εὐθύνοι AEa*, *ἰθύνοι BC*, *ἰθύνοι* (*οι* in ras.) *L*, *ἰθύνη P* 1228 *εἰς τοὔμπροσθεν aLP*, *εἰς τὸ πρόσθεν AEB*, *εἰς τοὔπισθεν C*, fort. *ἐκ τοῦ πρόσθεν* (*ἐκ τοὔμπροσθεν* Tournier) 1230 *εἰς δ' εἰς πέτραν E* | *πέτρας B αν* superscr. *b* 1231 *σιγῇ*] fort. *βρίμῃ* 1232 *κἀναιχαίτισεν* mut. in *κἀνεχαίτισεν C*, *κἀναχαίτισεν L* 1233 fort. *πέτρᾳ* 1234 in hunc versum desinit *A* 1237 *δυσεξήνυστον*] Heath, *δυσεξήνυτον* libri (*δυσεξέλικτον* superscr. *b*, *δυσεξίωτον* ut vid. *P δυσεξήνυτον p*) 1238 *σποδώμενος* mut. in *σποδούμενος L* *μὲν* om. *C* | *πέτραις EaC*, *πέτρας BLP* 1239 *τε*] Elmsley, *δὲ* libri | *σάρκα B* (*σάρκας b*)

στῆτ', ὦ φάτναισι ταῖς ἐμαῖς τεθραμμέναι,
μή μ' ἐξαλείψητ'· ὦ πατρὸς τάλαιν' ἀρά.
τίς ἄνδρ' ἄριστον βούλεται σῶσαι παρών;
πολλοὶ δὲ βουληθέντες ὑστέρῳ ποδὶ
ἐλειπόμεσθα. χὼ μὲν ἐκ δεσμῶν λυθεὶς
τμητῶν ἱμάντων οὐ κάτοιδ' ὅτῳ τρόπῳ
πίπτει βραχὺν δὴ βίοτον ἐμπνέων ἔτι·
ἵπποι δ' ἔκρυφθεν καὶ τὸ δύστηνον τέρας
ταύρου λεπαίας οὐ κάτοιδ' ὅπου χθονός.
δοῦλος μὲν οὖν ἔγωγε σῶν δόμων, ἄναξ,
ἀτὰρ τοσοῦτόν γ' οὐ δυνήσομαί ποτε
τὸν σὸν πιθέσθαι παῖδ' ὅπως ἐστὶν κακός,
οὐδ' εἰ γυναικῶν πᾶν κρεμασθείη γένος
καὶ τὴν ἐν Ἴδῃ γραμμάτων πλήσειέ τις
πεύκην, ἐπεί νιν ἐσθλὸν ὄντ' ἐπίσταμαι.
ΧΟ. αἰαῖ· κέκρανται συμφορὰ νέων κακῶν,
οὐδ' ἔστι μοίρας τοῦ χρεών τ' ἀπαλλαγή.
ΘΗ. μίσει μὲν ἀνδρὸς τοῦ πεπονθότος τάδε
λόγοισιν ἥσθην τοῖσδε· νῦν δ' αἰδούμενος
θεούς τ' ἐκεῖνόν θ', οὕνεκ' ἐστὶν ἐξ ἐμοῦ,
οὔθ' ἥδομαι τοῖσδ' οὔτ' ἐπάχθομαι κακοῖς.
ΑΓΓ. πῶς οὖν; κομίζειν ἢ τί χρὴ τὸν ἄθλιον
δράσαντας ἡμᾶς σῇ χαρίζεσθαι φρενί;
φρόντιζ'· ἐμοῖς δὲ χρώμενος βουλεύμασιν
οὐκ ὠμὸς ἐς σὸν παῖδα δυστυχοῦντ' ἔσῃ.
ΘΗ. κομίζετ' αὐτόν, ὡς ἰδὼν ἐν ὄμμασιν

1240 τεθρανμένα B (τεθραμμέναι b) 1241 ἀραὶ P 1244 ἐλιπόμεσθα b | χ' ὁ B (corr. b) 1245 κατεῖδ' C (fort. κατεῖδον ᾧ) | ὅτω τῶ L 1246 πίπτει] fort. τείνει | δὴ EBC, δὲ L, om. aP (δὴ add. a²) | προσ πνέων C 1247 ἔκρυφθε (θ in litura) B | τέρας EB, κάραα LP 1248 ταῦρον b | λεπραίας a², λεπτίας C | ὅπου ECL, ὅπη B, ὅποι c (et a?), ὅπως P 1250 αὐτὰρ C | γ' Ea, om BCLP 1251 τὸ σὸν Ea | παῖδα ὡς C | ἔστι BCP 1253 τὴν a, ας superscr. a² | ἐν om. C 1254 πεύκην a, ας superscr. a² | νιν EaB, μιν CLP 1255 συμφορὰ] Elmsley, συμφοραὶ libri 1256 οὐδέ τις μοίρας C 1257—60 in ras. duorum versuum scr. L ita ut duo spatium unius expleant 1257 personae notam om. C | τάδε aB (ό superscr. b) CLP, τόδε E 1259 τ' om. EB | τ' οὕνεκ' B (θ' οὕνεκ' b) 1260 τοῖδ' corr. in τοῖσδ' B | ἐπάχθομαι EaCb, ἀπέχθομαι BLP 1261 fort. τί οὖν 1264 παῖδα] πόδα P

τὸν τἄμ' ἀπαρνηθέντα μὴ χρᾶναι λέχη
λόγοις τ' ἐλέγξω δαιμόνων τε συμφοραῖς.

ΧΟ. *σὺ τὰν θεῶν ἄκαμπτον φρένα καὶ βροτῶν*
ἄγεις, Κύπρι· σὺν δ'
ὁ ποικιλόπτερος ἀμφιβαλὼν
ἀρκυστάτῳ πτερῷ.
ποτᾶται δ' ἐπὶ γαῖαν εὐάχητόν θ'
ἁλμυρὸν ἐπὶ πόντον.
φλέγει δ' Ἔρως, ᾧ μαινομένᾳ κραδίᾳ
πανὸν ἐφορμάσῃ
χρυσοφαῆ,
φύσιν ὀρεσκόων
σκυλάκων πελαγίων θ' ὅσα τε γᾶ τρέφει
τά τ' ἀέλιος αἰθόμενα δέρκεται,
ἄνδρας τε· συμπάντων βασιληίδα τιμάν,
Κύπρι, τῶνδε μόνα κρατύνεις.

ΑΡΤΕΜΙΣ.

σὲ τὸν εὐπατρίδαν Αἰγέως κέλομαι
παῖδ' ἐπακοῦσαι·
Λητοῦς δὲ κόρη σ' Ἄρτεμις αὐδῶ.
Θησεῦ, τί τάλας τοῖσδε συνήδῃ,
παῖδ' οὐχ ὁσίως σὸν ἀποκτείνας,

1266 post 1267 habent *EB* 1267 *τ'* om. *EB* 1268 fort. *βροτοὺς* 1269 *κύπρις P* | *σὺν σοὶ δ' C* 1271 *ἀρκυστάτῳ*] scripsi, *ὠκυτάτῳ* libri | *πτερῶ L*, sed *ῶ* ex alia lit. corr. m. sec. 1272 *ποτᾶται*, scripto *ω* super *ο*, *E* | *δ'* om. *B* | *δὲ γαῖαν* Seidler 1274 *φλέγει B*, *γρ. θέλγει* superscr. *b*, *θέλγει EaCLP* | *Ἔρως* delet Seidler | *ᾧ*] fort. *οὗ* | *κραδίᾳ*] Aldina, *καρδίᾳ* libri 1275 *ἐφορμάσῃ aL*, *ἐφαρμόσει B* (*ορ* et *σῃ* superscr. *b*), *ἐφορμάσει EC* et scripto *η* super *ά P* 1275 sq. *πανὸν . . χρυσοφαῆ*] scripsi, *πτανὸς* (*πανὸς C*) . . *χρυσοφαής* libri 1277 *ὀρεσκόων L*, *ὀρεσκῴων* vel *ὀρεσκώων* ceteri 1278 *σκυλάκων*, scripto *ε* super *υ*, *B*, *σκύμνων* Wilamowitz | *πελαγέων Ea* 1279 *τά τ'*] scripsi, *τὰν* libri | *ἀέλιος BC*, *ἅλιος EaLP* | *αἰθόμενα*] scripsi, *αἰθομέναν E*, *αἰθόμενος aB* (*ην* superscr. *b*) *CLP* 1280 *ἀνδρῶν b* | *συμπάντων*] *σὺ πάντων C* | post *συμπάντων* habent *δὲ BL*, *τε EaC*, *γε P*, delevit Dindorf | *βασιλήδα P* 1281 *κύπρι P*, sed *ι* add. *p* et supra *πρ* aliquid erasum 1282 *εὐπατρίδα B* (*ν* add. *b*), *εὐπατρίδην* Barthold | *κέλλομαι* Ea^2BC 1285 *κόρη* om. *C* | *αὐδῶ B* et in ras. *C*, *αὐδᾷ EaLP* 1287 *ὁσίων P* corr. *p*

ψευδέσι μύθοις ἀλόχου πεισθεὶς
ἀφανῆ; φανερὰν δ' ἔσχεθες ἄτην.
πῶς οὐχ ὑπὸ γῆς τάρταρα κρύπτεις
δέμας αἰσχυνθείς,
ἢ πτηνὸς ἄνω μεταβὰς βίοτον
πήματος ἔξω πόδα τοῦδ' ἀπέχεις;
ὡς ἔν γ' ἀγαθοῖς ἀνδράσιν οὔ σοι
κτητὸν βιότου μέρος ἐστίν.

ἄκουε, Θησεῦ, σῶν κακῶν κατάστασιν·
καίτοι προκόψω γ' οὐδέν, ἀλγυνῶ δέ σε.
ἀλλ' ἐς τόδ' ἦλθον, παιδὸς ἐκδεῖξαι φρένα
τοῦ σοῦ δικαίαν, ὡς ὑπ' εὐκλείας θάνῃ,
καὶ σῆς γυναικὸς οἶστρον ἢ τρόπον τινὰ
γενναιότητα· τῆς γὰρ ἐχθίστης θεῶν
ἡμῖν, ὅσαισι παρθένειος ἡδονή,
δηχθεῖσα κέντροις παιδὸς ἠράσθη σέθεν.
γνώμῃ δὲ νικᾶν τὴν Κύπριν πειρωμένη
τροφοῦ διώλετ' οὐχ ἑκοῦσα μηχαναῖς,
ἣ σῷ δι' ὅρκων παιδὶ σημαίνει νόσον.
ὃ δ', ὥσπερ ὢν δίκαιος, οὐκ ἐφέσπετο
λόγοισιν, οὐδ' αὖ πρὸς σέθεν κακούμενος
ὅρκων ἀφεῖλε πίστιν, εὐσεβὴς γεγώς.

1288 *ἀλόχου πεισθεὶς E, πεισθεὶς ἀλόχου BCLP* (de *a* non constat) 1288 sq. fort. *ψευδέσι μύθοις δ' ἀλόχου πεισθεὶς ἀφανῆ φανερὰν ἔσχεθες ἄτην* 1289 *ἀφανῆ*, scripto *ῶς* super *ῆ*, *L* | *ἔσχεθες*] Markland, *ἔσχες* libri (*ἔχεις l*) | *ἄταν Ea* 1290 *πῶς δ' ὑπὸ γῆς τάρταρον B* (*α* super *ον* scr. *b*) 1292 *πτηνὸν* Valckenaer 1293 *τοῦδ'*] Wakefield, *τόνδ'* libri (om. *aC*) | *ἀπέχεις C* et cum *γρ. ἀνέχεις, ἵν' ᾖ ἀναφέρεις*, *ἀνάγεις E*, *ἀνέχεις a* (in marg. gl. *ἀναφέρεις*) *B* (*γρ. ἀπέχεις* superscr. *b*) *LP* 1294 *ἔν γ'*] Musgrave, *ἔν τ' Eb*, *ἐν aBCLP*, *ἐν τοῖς l* | *ἀγαθοῖσι* mut. in *ἀγαθοῖς L* 1295 om. *E*, add. *E*² 1298 *παιδὸς* om. *C* 1299 *θάνοι LP* 1300 *καὶ τῆς C* | *οἶστρον καὶ σῆς γυναικὸς ἢ E* | *οἶστρ∗ P οἶστρον p*, ad *οἶστρον* in marg. adnotavit *γρ. ψεῦστιν ἤγουν τὴν ψευδολόγον a* | *τόπον* corr. in *τρόπον B* 1301 *γενναιότατα P* | *τῆς γὰρ ἐχθίστης* mut. in *τοῖς γὰρ ἐχθίστοις a*² 1302 *ὅσαις P ὅσαισι p*, *ὅσοισι* Gloël 1303 *δηχθεῖσα aCP*, *δηχθεῖσαν*, scripto *ι* super *η*, *E*, *διχθεῖσα B*, *δηχθεῖσα L*, sed *η* ex *ει* corr. *L* vel *l* 1307 *ὃ δ' aC*, *ὡς δ' E*, *ὅδ' BLP* | *ὥσπερ οὖν δίκαιον LP*, *ὥσπερ ὢν δίκαιος EaBC*, *ὡς ἀνὴρ δίκαιος* C. Busche | *ἐφέσπετο aBC*, *ἐφείπετο E*, *ἐπέσπετο LP*

ἣ δ' εἰς ἔλεγχον μὴ πέσῃ φοβουμένη
ψευδεῖς γραφὰς ἔτευξε καὶ διώλεσεν
δόλοισι σὸν παῖδ', ἀλλ' ὅμως ἔπεισέ σε.
ΘΗ. οἴμοι.
ΑΡ. δάκνει σε, Θησεῦ, μῦθος; ἀλλ' ἕχ' ἥσυχος,
τοὐνθένδ' ἀκούσας ὡς ἂν οἰμώξῃς πλέον.
ἆρ' οἶσθα πατρὸς τρεῖς ἀρὰς ἔχων σαφεῖς;
ὧν τὴν μίαν παρεῖλες, ὦ κάκιστε σύ,
ἐς παῖδα τὸν σόν, ἐξὸν εἰς ἐχθρόν τινα.
πατὴρ μὲν οὖν σοι πόντιος φρονῶν καλῶς
ἔδωχ' ὅσονπερ χρῆν, ἐπείπερ ᾔνεσεν·
σὺ δ' ἔν τ' ἐκείνῳ κἀν ἐμοὶ φαίνῃ κακός,
ὃς οὔτε πίστιν οὔτε μάντεων ὄπα
ἔμεινας οὐδ' ἤλεγξας, οὐ χρόνῳ μακρῷ
σκέψιν παρέσχες, ἀλλὰ θᾶσσον ἤ σε χρῆν
ἀρὰς ἐφῆκας παιδὶ καὶ κατέκτανες.
ΘΗ. δέσποιν', ὀλοίμην. ΑΡ. δείν' ἔπραξας, ἀλλ' ὅμως
ἔτ' ἔστι καί σοι τῶνδε συγγνώμης τυχεῖν·
Κύπρις γὰρ ἤθελ' ὥστε γίγνεσθαι τάδε,
πληροῦσα θυμόν. θεοῖσι δ' ὧδ' ἔχει νόμος·
οὐδεὶς ἀπαντᾶν βούλεται προθυμίᾳ
τῇ τοῦ θέλοντος, ἀλλ' ἀφιστάμεσθ' ἀεί.
ἐπεὶ σάφ' ἴσθι, Ζῆνα μὴ φοβουμένη
οὐκ ἄν ποτ' ἦλθον ἐς τόδ' αἰσχύνης ἐγὼ
ὥστ' ἄνδρα πάντων φίλτατον βροτῶν ἐμοὶ
θανεῖν ἐᾶσαι. τὴν δὲ σὴν ἁμαρτίαν

1310 ἥδ' *LP* | πέσοι Blomfield 1311 ἔτευξε ut videtur, nisi est ἔταξε, *E*, ἔγραψε ceteri 1312 παῖδ' (δ' in ras.) *L* 1313 οἴμοι αἴ αἴ αἴ αἴ αἴ *C* | θησεῦ om. *P* 1314 οἰμώξῃς *L*, sed ης corr. vel rescr. *l*, οἰμώξῃ *P* 1315 ἄχθ' οἶσθα *C* | ἔχων σαφεῖς *E*, σαφεῖς ἔχων ceteri (ἔχειν *C*) 1317 ἐχθρῶν *b* (et Elmsley) 1318 φρονῶν *L*, sed ο ex ε corr. m. secunda 1319 χρῆν *LP*, ἐχρῆν *EaBC* | ᾔνεσε *aBC* 1320 κἐν ἐμοὶ *B* 1321 μάντεως Eustath. in Il. p. 488 1322 οὐδ' *aCLP*, οὐκ *EB* | μακρῷ χρόνῳ *B* 1323 παρέσχες *EaBC*, γ' (in lit. *P*) ἔνειμας *LP*, cfr. Eustath. l. l. | σε χρῆν *L*, σ' ἐχρῆν ceteri 1324 ἐφῆκας *C*, ἀφῆκας ceteri | κατέκτανας *L* 1325 ὀλοίμαν *P* 1326 ἔνεστι *E* | σοι καὶ *C*, καὶ σοὶ ceteri, σοὶ κἀκ Nauck 1327 γίνεσθαι *CLP* | τάδε *CL* (ά in ras.) *P*, τόδε *EaB* 1330 γρ. μέλλοντος *a*[3] | ἀφιστάμεσθ' *L*, sed εσ rescr. vel corr. *l*, ἀφιστάμεθ' *E* 1331 οἶσθα *L*, ἴσθι ceteri 1333 ἐμοὶ βροτῶν *CLP*

τὸ μὴ εἰδέναι μὲν πρῶτον ἐκλύει κάκης·
ἔπειτα δ' ἡ θανοῦσ' ἀνήλωσεν γυνὴ
λόγων ἐλέγχους ὥστε σὴν πεῖσαι φρένα.
μάλιστα μέν νυν σοὶ τάδ' ἔρρωγεν κακά,
λύπη δὲ κἀμοί· τοὺς γὰρ εὐσεβεῖς θεοὶ
θνῄσκοντας οὐ χαίρουσι· τούς γε μὴν κακοὺς
αὐτοῖς τέκνοισι καὶ δόμοις ἐξόλλυμεν.

ΧΟ. καὶ μὴν ὁ τάλας ὅδε δὴ στείχει,
σάρκας νεαρὰς ξανθόν τε κάρα
διαλυμανθείς. ὦ πόνος οἴκων,
οἷον ἐκράνθη δίδυμον μελάθροις
πένθος θεόθεν καταληπτόν.

ΙΠΠΟΛΥΤΟΣ.

αἰαῖ αἰαῖ·
δύστηνος ἐγώ, πατρὸς ἐξ ἀδίκου
χρησμοῖς ἀδίκοις διελυμάνθην.
ἀπόλωλα τάλας, οἴμοι μοι.
διά μου κεφαλῆς ᾄσσουσ' ὀδύναι,
κατὰ δ' ἐγκέφαλον πηδᾷ σφάκελος.
σχές, ἀπειρηκὸς σῶμ' ἀναπαύσω.
ἒ ἔ·
ὦ στυγνὸν ὄχημ' ἵππειον, ἐμῆς
βόσκημα χερός,
διά μ' ἔφθειρας, κατὰ δ' ἔκτεινας.
φεῦ φεῦ· πρὸς θεῶν, ἀτρέμας, δμῶες,

1335 μὴ 'δέναι *P* 1336 ἐπεὶ τάδ' *P* | θανοῦσα σ' mut. in θανοῦσ' *B* | ἀνήλωσεν] Elmsley, ἀνάλωσεν libri (ἀνάλωσε *BC*, ἀνάλωσεν *b*) 1337 λόγων ἐλέγχους *aBCP*, λόγων ἐλέγχουσ' *Ea*³, λόγοις ἐλέγχουσ' *L*, fort. δέλτων ἐλέγχους 1338 μὲν νῦν σοὶ *EaC*, μέν σοι νῦν *B*, νῦν σοὶ (om. μὲν) *P*, νῦν δὴ σοὶ *L* | τά γ' *L* | ἔρρωγε *B* 1339 sq. τῶν γὰρ εὐσεβῶν . . θνησκόντων *a*³ 1340 τοὺς δέ γε *B* (μὴν superscr. *b*) 1345 οἷος *L*, sed ος rescr. vel corr. *l* | μελάθρων *C* 1346 καταλιπὼν *P*, καταπαλτόν Burges 1350 οἴμοι οἴμοι *EL* 1351 κεφαλῆς *a*, κεφαλᾶς ceteri | ᾄσσουσ'] Valckenaer, ἀίσσουσ' *EBC L* (ἀίσουσ' *l*) *P*, ἀΐσουσι mut. in ἀΐσσουσι *a* 1352 δ' *EaB*, τ' *CLP* 1353 σχθὲς . . ἀναπαύσει *P* | ἀπείρηκα *E*, ἀπειρηκὼς *C* 1354 ἔ ἔ *aP*, ἒ ἒ *B*, om. *EC*, in *L* del. m. sec., ἔ ἔ ante v. proximum scr. m. tertia 1355 ὄχημα *CLP*, α eras. *l* 1356 om. *LP*, add. *l* | χερὸς *Bl*, χειρὸς *EaC* 1357 δ' *EaC*, τ' *BLP* 1358 ἀτρέμα δμῶες *Ea*, δμῶες ἀτρέμας *B* (γρ. α super ας scr. *b*) *CL* (ἀτρέμας δμῶες *l*) *P*

χροὸς ἑλκώδους ἅπτεσθε χεροῖν.
τίς ἐφέστηκεν δεξιὰ πλευροῖς;
πρόσφορά μ' αἴρετε, σύντονα δ' ἕλκετε
τὸν κακοδαίμονα καὶ κατάρατον
πατρὸς ἀμπλακίαις. Ζεῦ Ζεῦ, τάδ' ὁρᾷς;
ὅδ' ὁ σεμνὸς ἐγὼ καὶ θεοσέπτωρ,
ὅδ' ὁ σωφροσύνῃ πάντας ὑπερσχὼν
προῦπτον ἐς Ἅιδην στείχω κατάραις
ὀλέσας βίοτον· μόχθους δ' ἄλλως
τῆς εὐσεβίας
εἰς ἀνθρώπους ἐπόνησα.

αἰαῖ αἰαῖ·
καὶ νῦν ὀδύνα μ' ὀδύνα βαίνει.
μέθετε τάλανα
καί μοι Θάνατος Παιὰν ἔλθοι.
προσαπόλλυτέ μ' ὄλλυτε τὸν δυσδαίμον'·
ἀμφιτόμου λόγχας ἔραμαι
διαμοιρᾶσαι,
κατά τ' εὐνᾶσαι τὸν ἐμὸν βίοτον.
ὦ πατρὸς ἐμοῦ δύστηνος ἀρά,
μιαιφόνων τε συγγόνων,

1359 *χροὸς* fecit ex *χερὸς* *p* | *ἅπτεσθαι* *E* 1360 *ἐφέστηκε δεξιὰ* *B* (*ἐφέστηκ' ἐνδέξια* *b*) *L* (*ν* add. *l*), *ἐφέστηκ' ἐνδέξια* *E*, *ἐφέστηκεν δεξιᾷ* et in marg. *γρ. ἐνδέξια χωρὶς τοῦ ϊ ὡς τὸ ἐνδέξια φῶτα ἕκαστον* *a*, *ἐφέστηκεν ἐν δεξιᾷ* *C*, *ἀφέστηκεν* (*ἐ* super *ἀ* scr. *p*) *δεξιὰ* *P* 1361 *μ' ἕλκετε . . δ' αἴρετε* *C* 1362 *τὸν* (*γρ. καὶ* superscr. *b*) *κατάρατον* *B* 1363 *ἀμπλακίαις* *EaB*, *ἀμπλακία* *CLP*, *ις* add. *l* 1364 om. *P* 1365 *ὑπερσχὼν* *B*, *ὑπερέχων* ceteri 1366 *ἐς* *a*³*l*, *εἰς* *EaBCLP* | *ἅδην* *BCP*, *ἀΐδην* *L*, sed *ἀΐ* scr. *l*, *ἀΐδαν* *Ea* | *κατάραις*] Weil, *κατ' ἄκρας* *BLP* (*γρ. κατὰ γᾶς* *b*, *κατὰ γᾶν* ut vid. *l*), *κατὰ γᾶς* *Ea* (in marg. *γρ. καὶ κατ' ἄκρας* *a*), *κατὰ γῆς* *C* 1368 *εὐσεβίας* *l*, *εὐσεβείας* ceteri, fort. verba *τῆς εὐσεβίας* delenda 1370 *αἶ* (vel *αἲ*) quater *aCLP*, ter *E*, bis *B* 1372 *μέθετέ με* *EaBC*, *με* om. *LP*, *με τὸν* superscr., sed *με* rursus delevit *l* | *τάλαν* *a*, *τάλαινα* *B*, *τάλανα* *P*, sed litera *ι* super *αν* deleta | versus vix sanus (post *τάλανα* lacunam indicavit Kirchhoff) 1374 sq. corrupti (inter *δυσδαίμον'* et *ἀμφιτόμου* lacunam statuunt Nauck et Kirchhoff) | *δυσδαίμονα* *E* 1375 *ἀμφὶ σόμου* et *γρ. καὶ διστύμου* *B* *ἀμφὶ τόμου* *b* | *λόχμας* ut vid. *L*, *λόγχας* m. secunda 1377 *κατά*] Herwerden, *διά* libri | *εὐνῆσαι* *aC* 1378 *δύστηνος* *CLP*, *δύστανος* *EaB* 1379 *μιαιφόνον τε συγγόνον* *C* et mut. in *μιαιφόνων τε συγγόνων* *a* | *τε*] *τι* Weil, delet Hartung,

παλαιῶν προγεννητόρων,
ἐξορίζεται κακὸν οὐδὲ μέλλει,
ἔμολέ τ' ἐπ' ἐμὲ
τί ποτε τὸν οὐδὲν ὄντ' ἐπαίτιον κακῶν;
ἰώ μοι, τί φῶ;
πῶς ἀπαλλάξω βιοτὰν
[ἐμὰν] τοῦδ' ἀναλγήτου πάθους;
εἴθε με κοιμάσειε τὸν δυσδαίμονα
Ἅιδου μέλαινα νύκτερός τ' ἀνάγκα.

ΑΡ. *ὦ τλῆμον, οἵαις συμφοραῖς συνεζύγης·*
τὸ δ' εὐγενές σε τῶν φρενῶν ἀπώλεσεν.
ΙΠ. *ἔα·*
ὦ θεῖον ὀδμῆς πνεῦμα· καὶ γὰρ ἐν κακοῖς
ὢν ᾐσθόμην σου κἀνεκουφίσθην δέμας·
ἔστ' ἐν τόποισι τοισίδ' Ἄρτεμις θεά;
ΑΡ. *ὦ τλῆμον, ἔστι, σοί γε φιλτάτη θεῶν.*
ΙΠ. *ὁρᾷς με, δέσποιν', ὡς ἔχω, τὸν ἄθλιον;*
ΑΡ. *ὁρῶ· κατ' ὄσσων δ' οὐ θέμις βαλεῖν δάκρυ.*
ΙΠ. *οὐκ ἔστι σοι κυναγὸς οὐδ' ὑπηρέτης,*
ΑΡ. *οὐ δῆτ'· ἀτάρ μοι προσφιλής γ' ἀπόλλυσαι.*
ΙΠ. *οὐδ' ἱππονώμας οὐδ' ἀγαλμάτων φύλαξ.*
ΑΡ. *Κύπρις γὰρ ἡ πανοῦργος ὧδ' ἐμήσατο.*

---

1200 ἤδη] ἦδε Markland

1213 αὐτοῦ Duchesne 1214 κῦμ'] οἶδμ' Bothe, κεῖσ' Weil, χεῦμ' F. Gu. Schmidt, fort. ῥεῦμ' | ἐξανῆκε Blaydes, ἐξαφῆκε F. Gu. Schmidt | ἄγριον] Αἰγαῖον Js. Voſs, Αἰγαίου J. Gronovius 1215 δειμάτων Valckenaer, φθεγμάτων Musgrave, θαυμάτων anonymus

1224 οὔτε] οὔτι, deleto versu 1225, Nauck 1226 ἐπιστρέφουσαι Nauck, μεταστραφεῖσαι Wolfg. Bauer, ἐπιστραφεῖσαι Schumacher 1228 olim post 1229 transponebam

1231 σιγῇ] ἐγγὺς Herwerden, λίγδην Stadtmueller 1234 ἄνω] ἀπὸ Burges 1239 ἐξανδᾷ (et antea θραύων δὲ) Kirchhoff

1241 ἐξαλείψῃς Valckenaer, ἐξαλίσητ' Naber 1245 οὐκέτ' οἶδ' Monk 1246 βραχύν γε Reiske 1247 sq. delet Paley 1247 ἵπποι δὲ φροῦδοι (vel κρυπτοί) Witzschel, ὄχος δ' ἐκρύφθη Weil, ἵπποι δ' ἔφευγον (et 1248 ὅποι) Heinsch

1258 τοῖσδ'· ὅμως δ' Valckenaer

1266 suspectum habet Weil 1267 ἔργοις τ' Herwerden | λόγοις ἐλέγξω δαιμόνων γε Lenting 1268 σύ τοι Bothe 1269 ἀγρεῖς Pallis 1269 sq. σοῦ δ' ὁ ποικιλώτερος Bothe

1270 ἀμφιβάλλων Hartung 1271 ὠκυτάτῳ πτερῷ Bothe 1271 sq. πτερῷ ποτᾶται 'πὶ Nauck 1272 ποτᾶταί τε γᾶν J. H. H. Schmidt | εὐόχητον Bergk 1272 sq. εὐάγητον, ἁλμυρόν τ' Bothe 1274 θέλγει θ' ᾧ Kirchhoff | θέλγει δὲ μαινομέναν κραδίαν ᾧ Metzger (μαινομέναν κραδίαν Valckenaer) 1274 sqq. ᾧ μαινομέναν κραδίαν

πανοῖς ἐφορμάσῃ χρυσοφαής Hartung 1275 πανὸς ἐφαρμόσῃ Bernardakis 1275 sq. πανοὺς . . χρυσοφαεῖς Bothe 1276 χρυσοφαὲς ⟨βέλος⟩ Nauck 1277 φύσιν τ' Wilamowitz | ὀρεσκόων τε Weil 1279 τοὺς Ἅλιος αἰθόμενος Metzger, qui 1279 post συμπάντων δὲ 1280 inserit, τὰν αἰθόμενος Ἅλιος (olim τά θ' ἅλιος αἰθόμενος) Wilamowitz | αἰθόμενος εἰσδέρκεται Hartung | versum delet A. Weisman

1280 ἀνέρας Bothe | συμπάντων δὲ σὺ Monk 1281 βασιλῆδα Bothe post 1282 lacunam statuit R. Arnoldt 1286 σύ γ' ἤδη Valckenaer 1288 sq. πεισθεὶς ἀλόχου recipiens ante ἀφανῆ tres anapaestos, post ἔσχες unum excidisse putat Barthold 1289 ἀφανῆ φανερὰν δ' ἔσχες Kirchhoff (ἔσχες δ' Bernardakis) | φανερὰ δ' εἷλέν σ' ἄτη Dobree (φανερᾷ . . ἄτῃ Witzschel) | ἔχες ἄταν Lascaris, ἐσέβης ἄταν Musgrave, ἄταν ἔσχες Brunck

1292 βιότου coniciebam 1292 sq. ἤ . . μεταβὰς πήματος ἔξω πόδα, τόνδ' ἀνέχεις βίοτον; Hartung, ἢ πτηνὸς ἄνω βίοτον, μεταβὰς . . τοῦδ', ἀπέχεις; Weil 1293 ἔξω ποτατῶν ἀνέχεις F. Gu. Rost | πόδ' ἔχεις τούτου; Blaydes | τῶνδ' ἀπέχεις; Bernardakis | ἀπάγεις F. Gu. Schmidt 1294 ἐν ἀγαστοῖς Bothe, ἐν χρηστοῖς Weil 1295 τλητὸν Nauck, τακτὸν Herwerden, νεμετὸν Weil 1298 ἐπὶ τόδ' Herwerden 1299 ὑπ'] ἐπ' Reiske

1301 τῆς γὰρ αἰσχίστης Nauck 1302 ὅσαις τε Lenting | (παρθενείας Musgrave) | versum delet Nauck 1303 πληγεῖσα Valckenaer, πληχθεῖσα Porson, ἠχθεῖσα (ἀχθεῖσα?) Bothe, δμηθεῖσα Weil, τρωθεῖσα Heinsch 1306 σῷ γ' ἐνόρκῳ F. Gu. Schmidt 1307 ὥσπερ ἦν δίκαιος Monk

1313 ΘΗ. οἴμοι. ΑΡ. δάκνει σε μῦθος; Weil 1314 ἀνοιμώξει Nauck 1315 ἆρ' ἦσθα Tournier 1315 sq. λαχὼν σαφεῖς vel ἔχων σαφεῖς ὡς τὴν μίαν Weil 1319 ὅσον γ' ἐχρῆν Kirchhoff

1323 σκέψει γ' ἔνειμες vel potius σκέψιν γ' ἐνώμας F. Gu. Rost 1325 ὄλωλα Markland 1327 γὰρ ἠξίωσε γίγνεσθαι Herwerden

1333 φίλτατόν γ' ἐμοὶ βροτῶν Barnes 1336 ἔπειτα κατθανοῦσ' vel ἔπειτ' ἀναλωθεῖσ' Weil | ἔπειτα δὴ Bernardakis | ἔπειτα σὴ θανοῦσ' ἀπώλεσεν Wilamowitz | ἀνήστωσεν Hadley 1336 sq. ἔπειτα σ' ἡ . . γυνὴ λέγουσ' ἐλέγχους Kirchhoff

1346 (κατασκηπτόν Markland, καταβλητόν Madvig), καταληπτοῖς Herwerden, καταπῖπτον Hartman, κατάπεμπτον F. Gu. Schmidt

1351 διά μοι Naber 1355 ἱππικὸν ἀμῆς Blomfield 1357 κατά μ' ἔκτεινας Blomfield

1360 δεξιόπλευρος Hermann 1362 sq. τὸν κακοδαίμονα καὶ ⟨βαρύποτμον⟩ πατρὸς ἀμπλακίαις κατάρατον Barthold 1369 θεοῖς τ' ἀνθρώποις τ' Weil, εἰς ἀνθρώπων Tournier

1371 καὶ νῦν delet Hartung | βαίνει] βάλλει Wolfg. Bauer 1372 μέθετέ με, τάλανες Bothe, μέθετε τὸν τάλανα Witzschel, μέθετ' ⟨ἐς κλίναν⟩ τάλαν', ⟨ὦ δμῶες⟩ Barthold, fort. μέθετον, τάλανες 1372 sqq. μέθετε, προσαπόλλυτέ μ' ὄλλυτε δυσδαίμονα — καί μοι θάνατος παιὰν ἔλθοι Hartung 1373 θανάτου παιὰν G. Cuper 1374 προσαπόλλυτ' ὀλοὸν ἐμέγ' (ceteris deletis) Barthold | προσαπόλλυτ' ἀπόλλυτε τὸν Wilamowitz | ὄλλυτε τὸν δυσδαίμονά μ' Markland, ὄλλυτε δυσδαίμονα τόνδ' Heath | τὸν δυσδαίμον' delet Bothe 1375 νῦν ἀμφιτόμου Hartung, ἀλλ' ἀμφιτόμου olim Nauck, ἀμφιστόμου olim Wilamo-

witz 1376 *διαμοιρᾶσθαι* Valckenaer 1377 *διά τε κνᾶσαι* vel *διά τε σμᾶσαι* Reiske 1378 post *ἀρά* lacunam statuit Kirchhoff 1379 post 1380 collocat Heath

1380 *πάλαι* Gu. Christ | *παλαιῶν τέ που* Weil 1381 ⟨*τόδ'*⟩ *ἐξορίζεται* Barthold | *ἐπουρίζεται κακὸν* ⟨*τόδ'*⟩ Weil, *ἐκκομίζεται* vel *ἐκπορίζεται κακὸν* Metzger | *μέλλει*] *μένει* Wilamowitz 1382 *ἔμολε δ'* Wilamowitz 1382 sq. *τί* ⟨*δέ*⟩ *ποτ' ἔμολεν ἐπ' ἐμὲ τὸν οὐδὲν* Barthold 1383 *τί ποτε* delet Halbertsma 1384 *ὤμοι μοι* Brunck 1385 sqq. *πῶς ἀπαλλαγῶ τοῦδ' .. πάθους; εἴ με κοιμίσειε* Herwerden 1386 *ἀναλκήτου* vel *ἀναλθήτου* Reiske, *ἀνάλγητος* Nauck, *ἄρ' ἀτλήτου* Barthold, *ἀνανδήτου* vel *ἀνανδάτου* olim coniciebam 1387 *εἴθε δὲ κοιμίσειε δυσδαίμον' Ἅιδου με μέλαινα* Hartung | *κοιμάσαι* Bothe | *τὸν* delet Matthiae 1388 *Νυκτὸς δυστάλαιν' ἀνάγκα* (ceteris deletis) Bothe, *Ἅιδου μέλαιν' ἀνάγκα* Wilamowitz

1392 *ὡς ᾐσθόμην* Luzac 1393 *τοῖσδ' ἄρ'* Hartung 1397 *οὐχ ὑπηρέτης* Lenting 1398 *οὔ· δύσποτμος γάρ, προσφιλὴς δ' ἀπόλλυσαι* Barthold

1402 *τιμῆς σ'* Reiske 1403 *ὤλεσεν θεὰ μία* Burges, *ὤλεσεν Κύπρις μία* Monk 1403 sq. delet F. Gu. Schmidt 1408 *οὐδ' ἐμοὶ* Brunck

1413 *ἔκτανές γ' ἄν* Valckenaer 1415 *εἶτ' ἦν ἀραῖον* (;) Valckenaer, *οὐκ ἦν ἄρ' οἷον* Kirchhoff, *εἴθ' ἦν ἄπιστον* olim coniciebam | *δαιμόνων βροτοῖς* repudiat Valckenaer, proponit Egerton 1416 *οὐ γὰρ ὧδε* Tournier | aut hunc versum labem aliquam contraxisse aut post eum alium excidisse putat Kirchhoff 1416 sq. *ἔασον· οὐ γὰρ* ⟨*τοῦτό γ' ἀνθρώποις θέμις*⟩. *ἀλλ' οὐκ ἄτιμος* ⟨*εἶ σὺ*⟩ *γῆς ὑπὸ ζόφον* ⟨*οὐδ' αἴδ' ἄτιτοι*⟩ *Κύπριδος ἐκ προθυμίας* Barthold 1417 *θεοῖς ἄτιμοι* Bothe, *θεοῖς ἄτιμον* Weil 1418 *ὀργαὶ*] *ἆται* Weil | *κατεσκήφασιν* Kayser 1419 *σῆς εὐσεβοῦς τε* Weil

1420 *αὐτῆς*] *αὖθις* Weil 1420 sq. *ἐγὼ γὰρ αὐτῆς φίλτατος κυρῇ βροτῶν ὃς ἂν μάλιστ' ἄγαλμ' ὃν ἐξ ἐμῆς χερὸς* Burges 1421 *μάλισθ' οἱ* Weil 1429 *ἀνώνυμος πεσεῖ*, deleto v. 1430, Gomperz, *ἀνώνυμον τὸ σόν* mavult F. Gu. Schmidt

1430 *ἐς σὲ*] *παισὶ* Tournier, *περὶ σὲ* Weil 1434 „*θεῶν ἀγόντων* in talibus proprium" Valckenaer, *θεῶν θελόντων* (vel *ἀγόντων*) Barthold 1439 delet Valckenaer

1441 *μιαρὰν δὲ* (et *λείποις*) Valckenaer, *μακρὰν τε* Lenting, *μογερὰν δὲ* Helbig | *μακρὰν λιποῦσα* Monk cl. Christ. pat. 852 *μικρὰν λιπόντα* | *λείποις* ex *C* falso referebatur | *λείποις δακρύουσ' ὁμιλίαν* Js. Vofs 1448 *εἶ λιπὼν* Kirchhoff, *ἐκτραπεὶς* Heimsoeth, etiam *εἶ στυγῶν* (vel *μισῶν*) Heinsch

ante 1453 duos versus excidisse putat Kirchhoff 1453 *ὦ χαῖρε καὶ ζῇ* Nauck, *ὦ χαῖρ' ἀεὶ σύ* F. Gu. Schmidt, *ἄπειμι, καὶ σὺ* Herwerden, *ὦ χαῖρέ μοι σὺ* Barthold, *ὦ χρηστὲ καὶ σύ* Weil, *ὦ χαῖρε καὶ σοῦ* Bernardakis 1458 *δ' ἐμοῦ* Brunck 1459 *ὦ κλεινὸν ἄστυ* J. Heiland, *ὦ κλεινὰ τείχη* olim coniciebam | *Ἑλλάδος τ' ἐρείσματα* Egerton, *Παλλάδος θοάσματα* Tournier

1465 sq. obscuros et corruptos esse dicit Nauck.

I

EURIPIDIS
FABULAE

EDIDERUNT

R. PRINZ ET N. WECKLEIN.

VOL. III. PARS III.

ORESTES.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MCM.

EURIPIDIS
ORESTES

EDIDIT

N. WECKLEIN.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MCM.

IV

LIPSIAE: TYPIS B. G. TEUBNERI.

Notarum index.

A = cod. Marcianus 471 membran. saec. XII
  A^2 = manus correctrices
a = cod. Parisinus 2713 membran. saec. XII vel ineuntis XIII
  a^2 = manus secunda
  a^3 = complures manus recentiores
B = cod. Vaticanus 909 bombycinus saec. XIII, cui desunt v. 1205 — 1504
  B^2 = manus antiqua correctrix
  b = manus recentior
E = cod. Parisinus 2712 membran. saec. XIII

L = cod. Laurentianus 32, 2 chartac. saec. XIV
  l = manus correctrices
G = cod. Laurentianus 172 membran. saec. XIV
  g = manus correctrices

O significat consensum librorum *AaBE*
S significat consensum librorum *LG*

Passim commemorantur:

F = cod. Marcianus 468
C = cod. Havniensis 417
c = cod. Flor. 31, 10
h = cod. Hierosolymitanus sub finem saec. X ut vid. scriptus (vide ad Med. p. VII)
t = cod. Thessalonicensis, de quo vide Papageorg. in Athen. 1881. I p. 286 sqq.

Libros *OSC* contulit R. Prinz.

VI

ΕΥΡΙΠΙΔΟΥ

ΟΡΕΣΤΗΣ.

Ὑπόθεσις Ὀρέστου.

Ὀρέστης τὸν φόνον τοῦ πατρὸς μεταπορευόμενος ἀνεῖλεν Αἴγισθον καὶ Κλυταιμήστραν· μητροκτονῆσαι δὲ τολμήσας, παραχρῆμα τὴν δίκην ἔδωκεν ἐμμανὴς γενόμενος. Τυνδάρεω δέ, τοῦ πατρὸς τῆς ἀνῃρημένης, κατηγορήσαντος κατ᾽ αὐτοῦ ἔμελλον Ἀργεῖοι κοινὴν ψῆφον ἐκφέρεσθαι περὶ τοῦ τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα· κατὰ τύχην δὲ Μενέλαος ἐκ τῆς πλάνης ὑποστρέψας, νυκτὸς μὲν Ἑλένην εἰσαπέστειλε, μεθ᾽ ἡμέραν δὲ αὐτὸς ἦλθεν. καὶ παρακαλούμενος ὑπ᾽ Ὀρέστου βοηθῆσαι αὐτῷ, ἀντιλέγοντα Τυνδάρεων μᾶλλον ηὐλαβήθη. λεχθέντων δὲ λόγων ἐν τοῖς ὄχλοις, ἐπηνέχθη τὸ πλῆθος ἀποκτείνειν Ὀρέστην. . . . ἐπαγγειλάμενος αὐτὸν ἐκ τοῦ βίου προΐεσθαι. συνὼν δὲ τούτοις ὁ Πυλάδης, φίλος αὐτοῦ, συνεβούλευσε πρῶτον Μενελάου τιμωρίαν λαβεῖν Ἑλένην ἀποκτείναντας. αὐτοὶ μὲν οὖν ἐπὶ τούτοις ἐλθόντες διεψεύσθησαν τῆς ἐλπίδος θεῶν τὴν Ἑλένην ἁρπασάντων· Ἠλέκτρα δὲ Ἑρμιόνην ἐπιφανεῖσαν ἔδωκεν εἰς χεῖρας αὐτοῖς· οἱ δὲ ταύτην φονεύειν ἔμελλον. ἐπιφανεὶς δὲ Μενέλαος καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τέκνου στερούμενον ὑπ᾽ αὐτῶν, ἐπεβάλλετο τὰ βασίλεια πορθεῖν· οἱ δὲ φθάσαντες ὑφάψειν ἠπείλησαν. ἐπιφανεὶς δὲ Ἀπόλλων Ἑλένην μὲν ἔφησεν εἰς

Hoc argumentum om. *S* | verbis *ὑπόθεσις ὀρέστου* adscr. *a*² *ἐκ δικ*^ῶν i. e. non *ἐκ Δικαιάρχου ὑπομνημάτων* vel simile quid sed *ἐκδικῶν* interpretationis causa ad proximum verbum *μεταπορευόμενος* adscriptum, ut *F* exhibet *μεταπορευόμενος καὶ ἐκδικῶν*

Lin. 2 *κλυταιμνήστραν* libri 4 *κατ᾽ αὐτοῦ*] *κ᾽ αὐτοῦ A* 5 *τοῦ τί δεῖ* vel *τούτου τί δεῖ* codices rec., *τοῦ* libri veteres, cfr. v. 50 sq. 6 *τοὺς ἀσεβήσαντας A*, *αὐτὸν τὸν ἀσεβήσαντα E* 7 *ἀπέστειλε B* 7 sq. *αὐτὸς δὲ μεθ᾽ ἡμέραν εἰσῆλθε a* 8 *ἀνῆλθε B* | *ὑπὸ τοῦ ὀρέστου B* 9 *εὐλαβήθη A* 10 *ἐπηνέχη B* 11 lacunam indicavit Porson *ἐπαγγειλάμενον ἑαυτὸν a* 11 sq. *εἰς τὸν βίον AE* 12 *ὁ φίλος BL* | *αὐτῷ B* 13 *λαβεῖν* om. *E* 16 *αὐτῶν B* 17 *ὁ μενέλαος B* 19 *ἐπεβάλλετο A*, *ἐπέβαλε B*, *ὑπεβάλετο E*, *ἐπεβάλετο a*

θεοὺς διακομίζειν, Ὀρέστῃ δὲ Ἑρμιόνην ἐπέταξε λαβεῖν, Πυλάδῃ δὲ Ἠλέκτραν συνοικίσαι, καθαρθέντι δὲ τὸν φόνον Ἄργους ἄρχειν.

Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις.

Ὀρέστης διὰ τὴν τῆς μητρὸς σφαγὴν ἅμα καὶ ὑπὸ τῶν Ἐρινύων δειματούμενος καὶ ὑπὸ τῶν Ἀργείων κατακριθεὶς θανάτῳ, μέλλων φονεύειν Ἑλένην καὶ Ἑρμιόνην ἀνθ' ὧν Μενέλαος παρὼν οὐκ ἐβοήθησε διεκωλύθη ὑπὸ Ἀπόλλωνος. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν Ἀργείων, ἡλικιωτίδων Ἠλέκτρας, αἳ καὶ παραγίνονται ὑπὲρ τῆς τοῦ Ὀρέστου πυνθανόμεναι συμφορᾶς. προλογίζει δὲ Ἠλέκτρα.

τὸ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν. ἡ δὲ διασκευὴ τοῦ δράματός ἐστι τοιαύτη· πρὸς τὰ τοῦ Ἀγαμέμνονος βασίλεια ὑπόκειται Ὀρέστης κάμνων καὶ κείμενος ὑπὸ μανίας ἐπὶ κλινιδίου, ᾧ προσκαθέζεται πρὸς τοῖς ποσὶν Ἠλέκτρα. διαπορεῖται δὲ τί δήποτε οὐ πρὸς τῇ κεφαλῇ καθέζεται· οὕτως γὰρ ἂν μᾶλλον ἐδόκει τὸν ἀδελφὸν τημελεῖν, πλησιαίτερον

---

21 *ὀρέστην AB* 22 *πυλάδην B* | *ἠλέκτρα AB* | *συνοικίσαι*] Brunck, *συνοικῆσαι* libri | *καὶ καθαρθέντι B* | *τὸν φόνον AE*, *τοῦ φόνου B*, *τῶν φόνων a*

Hoc arg. om. *L*, *G* exhibet haec: *ὀρέστου ὑπόθεσις. ὀρέστης διὰ τὴν τῆς μητρὸς σφαγὴν ἅμα καὶ ὑπὸ τῶν ἐριννύων δειματούμενος ἔμελλε φονευθήσεσθαι. καὶ αὐτὸς δὲ μέλλων φονεύσειν ἑρμιόνην ἀνθ' ὧν μενέλαος παρὼν οὐκ ἐβοήθησεν διεκωλύθη ὑπὸ τοῦ ἀπόλλωνος. παρ' οὐδενὶ κεῖται ἡ μυθοποιΐα. ἔχει δὲ τὰ μέτρα οὕτω. τὸ νῦν δέ μοι προτειχέων. τρίμετρον τροχαϊκὸν τὸ ὀττοτοὶ διποδία τροχαικὴ καὶ μέχρι μὲν τῶν πυλάδου λόγων ἰαμβικόν. τοὐκεῖθεν δὲ τροχαϊκὸν τετράμετρον καταληκτικόν. καὶ ἔνθα ὀρέστης καὶ φρὺξ διαλέγονται τὸ αὐτὸ τηρεῖται μέτρον. ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν ἄργει. ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν ἀργείων ἡλικιωτίδων ἠλέκτρας. τὸ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν.* 24 *ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις a*, *ἄλλως A*, om. *BE* | in *B* hic ordo: lin. 30—33, 25—29, 34—47, in a sunt 25—29, 34—45 scholii instar in marg. scripta, 25—29 om. *E* lin. 26 *ἐριννύων B* 26 sq. *κατακριθεὶς θανάτῳ* om. *a* 27 *ἑρμιόνην καὶ ἑλένην a* 28 *τοῦ ἀπόλλωνος a* 29 *οὐδετέρῳ*] Dindorf, *οὐδενὶ* libri | *μυθολογία AB* 32 *τοῦ* om. *A* 33 *δὲ* om. *AE* | *ἡ ἠλέκτρα B* 34 *τὸ δὲ δρᾶμα E* 35 *διασκευὴ αὐτοῦ ἐστι τοιαῦτα a* 36 sq. *κάμνων ὑπὸ μανίας καὶ κείμενος ἐπὶ* Nauck 37 *προκαθέζεται πρὸ A* 39 *γὰρ ἂν*] scripsi (*οὕτω γὰρ* et cum Nauckio *μᾶλλον ἂν* Kirchhoff), *δὲ* libri, cfr. lin. 41 | *πλησιέστερον a*

[οὕτως] προσκαθεζομένη. ἔοικεν οὖν διὰ τὸν χορὸν ὁ ποιητὴς ⟨οὕτω⟩ διασκευάσαι· διηγέρθη γὰρ ἂν Ὀρέστης, ἄρτι καὶ μόγις καταδραθείς, πλησιαίτερον αὐτῷ τῶν κατὰ τὸν χορὸν γυναικῶν παρισταμένων. ἔστι δὲ ὑπονοῆσαι τοῦτο ἐξ ὧν φησιν Ἠλέκτρα· ‘σῖγα σῖγα, λεπτὸν ἴχνος ἀρβύλης’. πιθανὸν οὖν ταύτην εἶναι τὴν πρόφασιν τῆς τοιαύτης διαθέσεως.

Τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς εὐδοκιμούντων, χείριστον δὲ τοῖς ἤθεσι· πλὴν γὰρ Πυλάδου πάντες φαῦλοι ἦσαν.

---

40 οὕτως om. *E* et *t* | προκαθεζομένη *A*, παρακαθεζομένη *B* 41 οὕτω supplevi | γὰρ ἂν] δὲ *B* 42 μόλις *a* | πλησιέστερον *a*, ἐγγὺς *B* | τῶν] τῶι *A* 44 ἡ ἠλέκτρα *B* | ἠλέκτρα τῷ χορῷ *a* | σίγα σίγα λεκτὸν *A*, σίγα σίγα λευκὸν *a* 44 sq. πιθανὴν οὖν εἶναι φασὶ ταύτην τὴν πρόφασιν *B* 46 ἐπὶ τῆς σκηνῆς *aE* 47 φαῦλοί εἰσιν Nauck

Τὰ τοῦ δράματος πρόσωπα·

Ἠλέκτρα.
Ἑλένη.
χορός.
Ὀρέστης.
Μενέλαος.
Τυνδάρεως.
Πυλάδης.
ἄγγελος.
Ἑρμιόνη.
Φρύξ.
Ἀπόλλων.

Quem dedimus personarum indicem habet *G*, om. *L*, hunc exhibent *ABE*:

ἠλέκτρα	πυλάδης	ἑλένη
ἄγγελος	χορός	ἑρμιόνη
ὀρέστης	φρύξ	μενέλαος
ἀπόλλων	τυνδάρεως	

nisi quod *E* nomen Electrae omisit.

ΗΛΕΚΤΡΑ.

Οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος
οὐδὲ πάθος οὐδὲ ξυμφορὰ θεήλατος,
ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.
ὁ γὰρ μακάριος, κοὐκ ὀνειδίζω τύχας,
Διὸς πεφυκώς, ὡς λέγουσι, Τάνταλος
κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον
ἀέρι ποτᾶται καὶ τίνει ταύτην δίκην,
ὡς μὲν λέγουσιν, ὅτι θεοῖς ἄνθρωπος ὢν
κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον,
ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.
οὗτος φυτεύει Πέλοπα, τοῦ δ' Ἀτρεὺς ἔφυ,
ᾧ στέμματα ξήνασ' ἐπέκλωσεν θεὰ
ἔριν Θυέστῃ πόλεμον ὄντι συγγόνῳ
θέσθαι. τί τἄρρητ' ἀναμετρήσασθαί με δεῖ;
ἔδαισε δ' οὖν νιν τέκν' ἀποκτείνας Ἀτρεύς.
Ἀτρέως δέ· τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας·
ὁ κλεινός, εἰ δὴ κλεινός, Ἀγαμέμνων ἔφυ
Μενέλεώς τε Κρήσσης μητρὸς Ἀερόπης ἄπο.
γαμεῖ δ' ὃ μὲν δὴ τὴν θεοῖς στυγουμένην

εὐριπίδου ἠλέκτρα suprascr. *S*. Electrae nomen pro Oreste habet etiam schol. Aristid. III p. 603, 6 1 *ΗΛ.* om. *A*, add. A^2 | cfr. Cic. Tusc. IV 29 neque tam terribilis ulla fando oratio est nec sors neque ira caelitum invectum malum 2 *συμφορὰν θεήλατον AaB*, *συμφορὰ θεήλατος* $A^2a^2B^2$, *συμφορὰ* (*ξυμφορὰ S*) *θεήλατος* ceteri, *συμφορὰν δαιμόνιον* Dio Chrys. IV 82, cfr. Stob. fl. 98, 42 et schol. *γράφουσί τινες οὐδὲ συμφορὰ θεήλατος, ἀγνοοῦντες δέ· ἀπὸ κοινοῦ γὰρ ληπτέον τὸ οὐκ ἔστιν* ⟨*εἰπεῖν*⟩ 3 *ἀνθρώπων A* et Lucian. Ocyp. 167 6 *κορυφῆς*] *κεφαλῆς* Dio Chrys. VI 55 7 *δίκην ταύτην B* 10 *ἔσχε*] fort. *εἶχε* | *αἰσχίστην*] fort. *ἐχθίστην* 12—15 delet, 17 *Ἀγαμέμνων ἄναξ* scribens, Klinkenberg 12 *στέμματα*] *στήμονας* Hilberg | *ἐπέκλωσε B* 13 schol. *γράφεται καὶ Ἔρις* 13 sq. *θέσθαι Θυέστῃ . . συγγόνῳ. καίτοι τί* Herwerden 15 *οὗ A*, *οὖν* A^2 | *οὖνιν a*, *οὖν νιν* a^2 18 *μενέλαος ἐκ κρήσσης τε μρς ἀερόπης L*, *κρήσσης τε μενέλαος* (β') *μρς* (α') *ἀερόπης ἄπο G*

Μενέλαος Ἑλένην, ὃ δὲ Κλυταιμήστρας λέχος
ἐπίσημον εἰς Ἕλληνας Ἀγαμέμνων ἄναξ·
ᾧ παρθένοι μὲν τρεῖς ἔφυμεν ἐκ μιᾶς,
Χρυσόθεμις Ἰφιγένειά τ' Ἠλέκτρα τ' ἐγώ,
ἄρσην δ' Ὀρέστης, μητρὸς ἀνοσιωτάτης,
ἣ πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι
ἔκτεινεν· ὧν δ' ἕκατι, παρθένῳ λέγειν
οὐ καλόν· ἐῶ τοῦτ' ἀσαφὲς ἐν κοινῷ σκοπεῖν.
Φοίβου δ' ἀδικίαν μὲν τί δεῖ κατηγορεῖν;
πείθει δ' Ὀρέστην μητέρ' ἥ σφ' ἐγείνατο
κτεῖναι, πρὸς οὐχ ἅπαντας εὔκλειαν φέρον.
ὅμως δ' ἀπέκτειν' οὐκ ἀπειθήσας θεῷ·
κἀγὼ μετέσχον, οἷα δὴ γυνή, φόνου
Πυλάδης θ', ὃς ἡμῖν συγκατείργασται τάδε.
ἐντεῦθεν ἀγρίᾳ συντακεὶς νόσῳ [νοσεῖ]
τλήμων Ὀρέστης ὅδε πεσὼν ἐν δεμνίοις
κεῖται, τὸ μητρὸς δ' αἷμά νιν τροχηλατεῖ
μανίαισιν· ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς
Εὐμενίδας, αἳ τόνδ' ἐξαμιλλῶνται φόβῳ.
ἕκτον δὲ δὴ τόδ' ἦμαρ ἐξ ὅτου σφαγαῖς
θανοῦσα μήτηρ πυρὶ καθήγνισται δέμας,
ὧν οὔτε σῖτα διὰ δέρης ἐδέξατο,
οὐ λούτρ' ἔδωκε χρωτί· χλανιδίων δ' ἔσω
κρυφθείς, ὅταν μὲν σῶμα κουφισθῇ νόσου,
ἔμφρων δακρύει, ποτὲ δὲ δεμνίων ἄπο
πηδᾷ δρομαῖος, πῶλος ὣς ὑπὸ ζυγοῦ.
ἔδοξε δ' Ἄργει τῷδε μήθ' ἡμᾶς στέγαις,

20 *μενέλαος S*, *μενέλεως O* | *κλυταιμνήστρας* libri 24 *δ'*] Elmsley, *τ'* libri 26 *ἔκτανεν B*, *ἔκτειν' aE* | *παρθένον S* et Alex. rhet. VIII p. 540 W. 27 *ἐῶ τοῦτ' A*, sed *ῶ τ* in ras. scr. A^2 30 *φέρων A*, *φέρον* A^2 31 *ἀπιθήσας A*, *ἀπειθήσας* A^2, *ἀπιθήσας a*, *ἀπιστήσας* anonymus 33 delet Herwerden 34 *νοσεῖ*] *δέμας* Hermann | *ἀγρίῳ συντακεὶς νοσήματι* R. Hirzel, fort. *ἀγρίᾳ σῶμα συντακεὶς νόσῳ* 35 *ὁ δὲ AaBE*, *ὅδε* A^2, *οὐδὲ L* in ras., *ὃς G* 38 *Εὐμενίδας*] *δεινῶπας* Dindorf, fort. *σεμναὶ γάρ* | versum post 40 in ima pagina in magna rasura a m. rec. habet ita ut literis praescriptis rectus ordo indicetur *G*, delet Nauck 39 *δὲ δὴ* om. *L* 40 *πῦρ A*, *πυρὶ* A^2 | *καθήγισται* Scaliger 42 *χλανίδων G* 45 *ὑπὸ*] Herwerden ex Athen. p. 108 B, *ἀπὸ* libri 46 *τόδε A*, *τῶδε* A^2 46 sq. *τῶδε μηδὲ προσφωνεῖν τινα* (omissis verbis *μήθ' . . δέχεσθαι*) *E*

μὴ πυρὶ δέχεσθαι, μήτε προσφωνεῖν τινα
μητροκτονοῦντας· κυρία δ' ἥδ' ἡμέρα,
ἐν ᾗ διοίσει ψῆφον Ἀργείων πόλις,
εἰ χρὴ θανεῖν νὼ λευσίμῳ πετρώματι,
[ἢ φάσγανον θήξαντ' ἐπ' αὐχένος βαλεῖν].
ἐλπίδα δὲ δή τιν' ἔχομεν ὥστε μὴ θανεῖν·
ἥκει γὰρ ἐς γῆν Μενέλεως Τροίας ἄπο,
λιμένα δὲ Ναυπλίειον ἐκπληρῶν πλάτῃ
ἀκταῖσιν ὁρμεῖ, δαρὸν ἐκ Τροίας χρόνον
ἄλαισι πλαγχθείς· τὴν δὲ δὴ πολύστονον
Ἑλένην, φυλάξας νύκτα, μή τις εἰσιδὼν
μεθ' ἡμέραν στείχουσαν, ὧν ὑπ' Ἰλίῳ
παῖδες τεθνᾶσιν, ἐς πέτρων ἔλθοι βολάς,
προύπεμψεν ἐς δῶμ' ἡμέτερον· ἔστιν δ' ἔσω
κλαίουσ' ἀδελφὴν συμφοράν τε δωμάτων.
ἔχει δὲ δή τιν' ἀλγέων παραψυχήν·
ἣν γὰρ κατ' οἴκους ἔλιφ', ὅτ' ἐς Τροίαν ἔπλει,
παρθένον ἐμῇ τε μητρὶ παρέδωκεν τρέφειν
Μενέλαος ἀγαγὼν Ἑρμιόνην Σπάρτης ἄπο,
ταύτῃ γέγηθε κἀπιλήθεται κακῶν.
βλέπω δὲ πᾶσαν εἰς ὁδόν, πότ' ὄψομαι
Μενέλαον ἥκονθ'· ὡς τά γ' ἄλλ' ἐπ' ἀσθενοῦς
ῥώμης ὀχούμεθ', ἤν τι μὴ κείνου πάρα
σωθῶμεν. ἄπορον χρῆμα δυστυχῶν δόμος.

ΕΛΕΝΗ.

ὦ παῖ Κλυταιμήστρας τε κἀγαμέμνονος,
παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου,
πῶς, ὦ τάλαινα, σύ τε κασίγνητός τε σὸς

47 μήτε] μηδὲ Elmsley 50 χρῆ *A* | νῶ *A*, νὼ *A*[2] 51 θήξαντ' *L*, θήξαντος *A*, θήξαντας *A*[2], θήξαντας ceteri (θίξαντας *G*), schol. δυικῶς τὸ θήξαντε | versum, qui iam Hermanno minus probabatur, delevit Herwerden 52 δὲ om. *E* | δή om. *A* 53 μενέλαος *a* | τροίης *L* 54 ναύπλιον *AaG*, ναύπλιον mut. in ναυπλίειον *L* 56 ἅλαισι *aS*, ἄλαισι *a*[3] 58 ὑφιλίῳ *A* 59 πετρῶν *AS*, πέτρῶν *a* | ἔλθοι *B*, ἔλθῃ ceteri 60 προὔπεμψ' *B* | ἔστι *BS*, fort. ἧσται 64 παρέδωκε *aBES* 66 γέγηθε factum ex γέγηθεν in *E* 67 εἰς ὁδὸν] Musgrave, εἴσοδον libri 69 ὠχούμεθ' *A* | 'κείνου *G* 70 σωθῶμεν] fort. σωκῶμεν | ἄπορον] γὰρ superscr. *g* 71 κλυται-μνήστρας libri 73 θ' ὁ σὸς Porson

[τλήμων Ὀρέστης μητρὸς ὅδε φονεὺς ἔφυ];
προσφθέγμασιν γὰρ οὐ μιαίνομαι σέθεν,
ἐς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν.
καίτοι στένω γε τὸν Κλυταιμήστρας μόρον,
ἐμῆς ἀδελφῆς, ἥν, ἐπεὶ πρὸς Ἴλιον
ἔπλευσ' ὅπως ἔπλευσα θεομανεῖ πότμῳ,
οὐκ εἶδον, ἀπολειφθεῖσα δ' αἰάζω τύχας.
ΗΛ. Ἑλένη, τί σοι λέγοιμ' ἂν ἅ γε παροῦσ' ὁρᾷς;
[ἐν συμφοραῖσι τὸν Ἀγαμέμνονος γόνον]
ἐγὼ μὲν ἄυπνος πάρεδρος ἀθλίῳ νεκρῷ·
νεκρὸς γὰρ οὗτος εἵνεκα σμικρᾶς πνοῆς·
θάσσω· τὰ τούτου δ' οὐκ ὀνειδίζω κακά.
σὺ δ' εἶ μακαρία μακάριός θ' ὁ σὸς πόσις
[ἥκετον ἐφ' ἡμᾶς ἀθλίως πεπραγότας].
ΕΛ. πόσον χρόνον δ' ἐν δεμνίοις πέπτωχ' ὅδε;
ΗΛ. ἐξ οὗπερ αἷμα γενέθλιον κατήνυσεν.
ΕΛ. ὦ μέλεος, ἡ τεκοῦσά θ', ὡς διώλετο.
ΗΛ. οὕτως ἔχει τάδ', ὥστ' ἀπείρηκεν κακοῖς.
ΕΛ. πρὸς θεῶν, πίθοι' ἂν δῆτά μοί τι, παρθένε;
ΗΛ. ὅσ' ἄσχολός γε συγγόνου προσεδρίᾳ.
ΕΛ. βούλει τάφον μοι πρὸς κασιγνήτης μολεῖν;
ΗΛ. μητρὸς κελεύεις τῆς ἐμῆς; τίνος χάριν;
ΕΛ. κόμης ἀπαρχὰς καὶ χοὰς φέρουσ' ἐμάς.
ΗΛ. σοὶ δ' οὐχὶ θεμιτὸν πρὸς φίλων στείχειν τάφον;
ΕΛ. δεῖξαι γὰρ Ἀργείοισι σῶμ' αἰσχύνομαι.
ΗΛ. ὀψέ γε φρονεῖς εὖ, τότε λιποῦσ' αἰσχρῶς δόμους.

---

74 delevit Kirchhoff 75 *προσφθέγμασι aBG* 77 *κλυταιμνήστρας* libri 79 *ὅπως*] Porson, *ὅπως δ'* libri, sed *δ'* punctis deletum in *a* 81 *ἅ* (mut in *ἃ*) *γε καὶ A*, *ἃ γε καὶ aE* 82 delevit Kirchhoff | *συμφοραῖς L* 84 *οὕνεκα* libri | *πνοῆς*] *ῥοπῆς* Hartung 86 *δ' εἶ AaEbLg*, *δ' ἡ BGl* | *θ' ὁ*] *τε B* 87 delevi (86 sq. delet Klinkenberg) | *ἥκεις* Eustath. Il. p. 146, 12, p. 809, 36, Od. p. 1856, 14 88 *δ' ἐν*] Musgrave, *δὲ* libri | *ὧδε A*, *ὅδε A*[2] 89, in textu omissum, in marg. addidit scholia scribens *A* 91 *ἀπείρηκεν A*, *ἀπείρηκα B*, *ἀπείρηκ' ἐν aES* 92 *πείθοιο B*, sed *εί* ex *ί* fecit et *ιο* in ras. scr. *b* | *πιθοῖο ἂν δῆτα μοι παρθένε E* 93 *ὅσ'*] Herwerden, *ὡς* libri | *προσεδρείᾳ B* 94 *κασιγνήτας aE*, *κασιγνήτης a*[2] 96 *ἐμᾶς L* 97 *σοὶ δ' οὐ E* | *θεμι*τὸν* eraso *σ A* | *σοὶ δ' οὐ θεμιστὸν* Wunder | *φίλων A*[2]*aBL*, *φίλον Aa*[3]*EblG* 99 *γε* om *B*, add. *b* | *λειποῦσ' B*

ΕΛ. ὀρθῶς ἔλεξας, οὐ φίλως δέ μοι λέγεις.
ΗΛ. αἰδὼς δὲ δή τίς σ' ἐς Μυκηναίους ἔχει;
ΕΛ. δέδοικα πατέρας τῶν ὑπ' Ἰλίῳ νεκρῶν.
ΗΛ. δεινὸν γὰρ Ἄργει γ' ἀναβοᾷ διὰ στόμα.
ΕΛ. σύ νυν χάριν μοι τὸν φόβον λύσασα δός.
ΗΛ. οὐκ ἂν δυναίμην μητρὸς ἐσβλέψαι τάφον.
ΕΛ. αἰσχρόν γε μέντοι προσπόλους φέρειν τάδε.
ΗΛ. τί δ' οὐχὶ θυγατρὸς Ἑρμιόνης πέμπεις δέμας;
ΕΛ. ἐς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν.
ΗΛ. καὶ μὴν τίνοι γ' ἂν τῇ τεθνηκυίᾳ τροφάς.
ΕΛ. ὀρθῶς ἔλεξας, πείθομαί τέ σοι, κόρη.
[καὶ πέμψομέν γε θυγατέρ'· εὖ γάρ τοι λέγεις.]
ὦ τέκνον, ἔξελθ', Ἑρμιόνη, δόμων πάρος
καὶ λαβὲ χοὰς τάσδ' ἐν χεροῖν κόμας τ' ἐμάς·
ἐλθοῦσα δ' ἀμφὶ τὸν Κλυταιμήστρας τάφον
μελίκρατ' ἄφες γάλακτος οἰνωπόν τ' ἄχνην,
καὶ στᾶσ' ἐπ' ἄκρου χώματος λέξον τάδε·
Ἑλένη σ' ἀδελφὴ ταῖσδε δωρεῖται χοαῖς,
φόβῳ προσελθεῖν μνῆμα σόν, ταρβοῦσά τε
Ἀργεῖον ὄχλον. πρευμενῆ δ' ἄνωγέ τιν
ἐμοί τε καὶ σοὶ καὶ πόσει γνώμην ἔχειν
τοῖν τ' ἀθλίοιν τοῖνδ', οὓς ἀπώλεσεν θεός.
ἃ δ' εἰς ἀδελφὴν καιρὸς ἐκπονεῖν ἐμέ,
ἅπανθ' ὑπισχνοῦ νερτέρων δωρήματα.
ἴθ', ὦ τέκνον, μοι, σπεῦδε καὶ χοὰς τάφῳ

---

100 ὀρθῶς] σὺ δ' εὖ B | δ' ἐμοὶ B | ὀρθῶς γε λέξασ' οὐ φίλως ἐμοὶ λέγεις Porson, fort. σὺ δ' εὖ γε λέξασ' οὐ φίλως ἐμοὶ λέγεις 101 δὴ om. AE | τί B, τίς b 103 γ'] Matthiae, τ' libri | Ἄργει καταβοᾷ Canter 104 σὺ νῦν AB | λύσας A, λύσασα A² 107 τί δ' οὐ L 108 παρθένοισιν a, παρθένῃσιν a³ 109 τεθνηκυίᾳ La³, τεθνηκυίῃ AaBEG 110 ὀρθῶς] καλῶς B 111 delevit Matthiae | πέμψομεν AaB, πέμψομαι a³bES | θυγατέρα γ' B | τοι om. E | ante 111 et 112 lineola in L ut ante versus antecedentes 112 πάρος δόμων L 114 κλυταιμνήστρας libri 115 ante γάλακτος litera erasa in A | οἰνοπόν Aa, οἰνωπόν a³ | ἄχνης B, ἄχνην b 117 ἀδελφὴ] ἀποῦσα L. Schmidt 118 ταρβεῖ δ' ἐπελθεῖν μνῆμα σὸν φοβουμένη Weil | τὸ σὸν L 119 Ἀργείων ABG | εὐμενῆ et in marg. γρ. πρευμενῆ A, εὐμενῆ B, cui superscr. γρ. καὶ πρευμενῆ b, εὐμενῆ ceteri 121 τοῖντ' δοὺς mut. in τοῖντ' δ' οὓς A | ἀπώλεσε ABG 122 ἐμέ Lc, ἐμήν G sed ήν in ras., ἐμήν O 123 δωρήματα] fort. μειλίγματα, cfr. Aesch. Cho. 15

δοῦσ' ὡς τάχιστα τῆς πάλιν μέμνησ' ὁδοῦ.
ΗΛ. ὦ φύσις, ἐν ἀνθρώποισιν ὡς μέγ' εἶ κακόν,
σωτήριόν τε τοῖς καλῶς κεκτημένοις.
εἴδετε γὰρ ἄκρας ὡς ἀπέθρισεν τρίχας,
σῴζουσα κάλλος; ἔστι δ' ἡ πάλαι γυνή.
θεοί σε μισήσειαν, ὥς μ' ἀπώλεσας
καὶ τόνδε πᾶσάν θ' Ἑλλάδ'. ὢ τάλαιν' ἐγώ·
αἵδ' αὖ πάρεισι τοῖς ἐμοῖς θρηνήμασι
φίλαι ξυνῳδοί· τάχα μεταστήσουσ' ὕπνου
τόνδ' ἡσυχάζοντ', ὄμμα δ' ἐκτήξουσ' ἐμὸν
δακρύοις, ἀδελφὸν ὅταν ὁρῶ μεμηνότα.
ὦ φίλταται γυναῖκες, ἡσύχῳ ποδὶ
χωρεῖτε, μὴ ψοφεῖτε, μηδ' ἔστω κτύπος.
φιλία γὰρ ἡ σὴ πρευμενὴς μέν, ἀλλ' ἐμοὶ
τόνδ' ἐξεγεῖραι συμφορὰ γενήσεται.

ΧΟΡΟΣ.

σῖγα σῖγα, λεπτὸν ἴχνος ἀρβύλης stroph.
τίθετε, μὴ κτυπεῖτ'.
ΗΛ. ἀποπρὸ βᾶτ' ἐκεῖσ', ἀποπρό μοι κοίτας.
ΧΟ. ἰδού, πείθομαι.
ΗΛ. ἆ ἆ σύριγγος ὅπως πνοὰ
λεπτοῦ δόνακος, ὦ φίλα, φώνει μοι.
ΧΟ. ἴδ', ἀτρεμαῖον ὡς ὑπόροφον φέρω

---

127 *σωτήριος B* | fort. *σωτήριον δὲ τοῖς καλὴν* (*καλὴν* etiam Herwerden) | versum delet Klinkenberg 128 *ἴδετε L* et schol. Aesch. Ag. 541 | *γὰρ*] Duport, *παρ'* libri | *ἀπέθρισεν Aa*, *ἀπέθρισε BE*, *ἀπέθριξε S* et schol. Ag. | *τρίχι* superscr. *ας E* 130 *μισήσειεν A* 131 *ἑλλάδα AL* 134 *ἡσυχάζοντα B* 135 v. suspectus 137 *μὴ κτυπεῖτε B* 140 *ΧΟ.* libri, nisi quod $\overset{o}{\chi}$ rescr. et *ἡμι* praefixit a^3, Electrae tribuunt Dionys. de comp. verb. c. 11, Diog. L. VII 172, alterum argumentum lin. 44 | *σῖγα σῖγα G*, *σίγα σίγα* ceteri (*σιγᾶ σιγᾶ B*, *σίγα σίγα b*) | *λευκὸν B*, superscr. *γρ. λεπτόν b*, *λευκὸν a*, *λεπτὸν* a^3, *λεπτὸν* ceteri, cfr. schol. *λεπτὸν ἴχνος ἀρβύλης . . εἰ δὲ γράφεται λευκόν κτἑ.* 141 *τίθετε*] Porson, *τιθεῖτε AaES*, *ψοφεῖτε* (*τιθεῖτε* superscr. schol.) *B* | *κτυπεῖτ'*] *κτυπεῖτε, μηδ' ἔσω κτύπος* libri, verba *μηδ' ἔστω κτύπος* om. Dionys. l. l., cfr. 137 142 *ἀπόπρο βᾶτ' BS*, *ἄπο προβᾶτ'* (vel *πρόβατ'* vel *πρόβατε*) ceteri 143 *ἐκεῖσ' G*, *ἐκεῖσε* ceteri 145 *ἃ ἃ B*, *ἀᾶ* Dindorf 145 sq. *ἆ ἆ* ⟨*μικρότερα* vel *ἰσχνότερα*⟩ *φώνει μοι λεπτοῦ δόνακος, ὦ φίλα, ὅπως πνοά* (deleto glossemate *σύριγγος*) Weil 147 *ἀτρεμαῖον* AaB^2, *ἀτρεμαῖαν* A^2a^3BES | *ὑπώροφον* factum ex *ὑπόροφον* in *L*, *ὑπώροφον* ceteri

βάσιν. *ΗΛ.* ναὶ οὕτως
κάταγε κάταγε, πρόσιθ' ἀτρέμας, ἀτρέμας ἴθι·
λόγον ἀπόδος ἐφ' ὅ τι χρέος ἐμόλετέ ποτε.
χρόνια γὰρ πεσὼν ὅδ' εὐνάζεται.

ΧΟ. πῶς ἔχει; λόγου μετάδος, ὦ φίλα· antistr.
τίνα τύχαν εἴπω; τίνα δὲ συμφοράν;
ΗΛ. ἔτι μὲν ἐμπνέει, βραχὺ δ' ἀνασθμαίνει.
ΧΟ. τί φής; ὦ τάλας.
ΗΛ. ὀλεῖς, εἰ βλέφαρα κινήσεις
ὕπνου γλυκυτάταν φερομένῳ χάριν.
ΧΟ. μέλεος ἐχθίστων θεόθεν ἐργμάτων,
τάλας. *ΗΛ.* φεῦ μόχθων.
ἄδικος ἄδικα τότ' ἄρ' ἔλακεν ἔλακεν, ἀπό-
φονον ὅτ' ἐπὶ τρίποδι Θέμιδος ἄρ' ἐδίκασε
φόνον ὁ Λοξίας ἐμᾶς ματέρος.

ΧΟ. ὁρᾷς; ἐν πέπλοισι κινεῖ δέμας. stroph.
ΗΛ. σὺ γάρ νιν, ὦ τάλαινα,
θωΰξασ' ἔβαλες ἐξ ὕπνου.
ΧΟ. εὕδειν μὲν οὖν ἔδοξα.
ΗΛ. οὐκ ἀφ' ἡμῶν, οὐκ ἀπ' οἴκων
πάλιν ἀνὰ πόδα σὸν εἱλίξεις
μεθεμένα κτύπου;
ΧΟ. ὑπνώσσει. *ΗΛ.* λέγεις εὖ.
πότνια, πότνια νύξ,
ὑπνοδότειρα τῶν πολυπόνων βροτῶν,
ἐρεβόθεν ἴθι, μόλε μόλε κατάπτερος

---

148 *βάσιν*] scripsi, *βοάν* libri 150 *λόγον δ'* *B* 153 *λόγον δ' ἀπόδος* *E* 154 *ΗΛ.* ante hunc, non ante v. 155 in libris, correxit Seidler | *τύχαν*] fort. *ῥοπὰν* | verba *τίνα δὲ συμφοράν* delet Schenkl (Nauck eicit verba *τίνα τύχαν εἴπω;*) 155 *ἀνασθμαίνει*] Musgrave, *ἀναστένει* libri 158 *βλέφαρα* superscr. *ων* *E* 159 *ὕπνου* superscr. *ον* *E* | *χαράν* mut. in *χάριν* *E*, *χαράν* ceteri 160 sq. *μέλεος* et *τάλας* rec., *ὦ μέλεος* et *ὦ* (vel *ὢ*) *τάλας* veteres libri 161 *ΗΛ.* non hic, sed ante sequ. v. in libris, correxit Seidler 162 *ἆ* (superscr. *ὦ*) *ἄδικος* *E*, *ἆ ἄδικος* *a* | *ἄρα* *L* 164 *ἐδίκασεν* *ES* 165 *ὁ* om. *S* | *μητέρος* *AB* 166 *ΧΟ.* om. *E* | *ἐν*] *ἐμ* *A* 168 *θωύξασ'* *A*, superscr. schol. *γρ. καὶ ἐλάσασ:* 169 *νιν οὐκ* Herwerden 171 *ἀνὰ*] *ἄρα* Nauck | *εἰλίξεις* *Aa*, *ἑλίξεις* *S* 171 sq. *μεθεμένα κτύπου πόδα σὸν εἱλίξεις;* Porson 172 *μεθεμένα*, scripto *η* super *α*, *a* 174 *ΧΟ.* praefigunt *aBES* | *ὦ πότνια πότνια* *L* 175 fort. *τοῖς πολυπόνοις* | *πολυστόνων* *h*

τὸν Ἀγαμεμνόνιον ἐπὶ δόμον.
ὑπὸ γὰρ ἀλγέων ὑπό τε συμφορᾶς
διοιχόμεθ', οἰχόμεθα. κτύπον ἠγάγετ'· οὐχὶ σῖγα
σῖγα φυλασσομένα
στόματος ἀνακέλαδον ὄπα λέχεος ἥ-
συχον ὕπνου χάριν παρέξεις, φίλα;

ΧΟ. θρόει τίς κακῶν τελευτὰ μένει. antistr.
ΗΛ. θανεῖν ⟨θανεῖν⟩, τί δ' ἄλλο;
οὐδὲ γὰρ πόθον ἔχει βορᾶς.
ΧΟ. πρόδηλος ἆρ' ὁ πότμος.
ΗΛ. ἐξέθυσ' ὁ Φοῖβος ἡμᾶς
μέλεον ἀπόφονον αἷμα δοὺς
πατροφόνου ματρός.
ΧΟ. δίκᾳ μέν. ΗΛ. καλῶς δ' οὔ.
ἔκανες ἔθανες, ὦ
τεκομένα με μᾶτερ, ἀπὸ δ' ὤλεσας
πατέρα τέκνα τε τάδε σέθεν ἀφ' αἵματος·
ὀλόμεθ' ἰσονέκυες, ὀλόμεθα.
σύ τε γὰρ ἐν νεκροῖς, τό τ' ἐμὸν οἴχεται
βίου τὸ πλέον μέρος ἐν στοναχαῖσί τε καὶ γόοισι
δάκρυσί τ' ἐννυχίοις·

179 *ἀγαμεμνόνειον*, ϊ supra ει eraso, *E*, *ἀγαμεμνόνειον* ceteri | *ἐπὶ δόμον γρ. καὶ επιδόμων A*, *ἐπὶ δόμον B*, *γρ. γόνον* superscr. *b* 181 *διοιχόμεθ' οἰχόμεθα F*, *διοιχόμεσθ' οἰχόμεσθα OS* | ante *κτύπον* lineolam habet *L*, Electrae notam exhibent *BE* et cum schol. in marg. *καὶ τοῦτο κατὰ ἀναφώνησιν λέγει ἡ ἠλέκτρα* a^2. Idem scholium habet *A*, in quo chori notam ante *οὐχί*, Electrae ante *σίγα σίγα* inseruit A^2. Ante *οὐχί* chori et ante *σίγα σίγα* (*σῖγα σῖγα S*) Electrae notam habent etiam *AEG*, ante *οὐχί* lineolam exhibet *L* 185 *διὰ στόματος L* | *ἀνὰ κέλαδον AaS* | *ὄπα*] scripsi, *ἄπο* (vel *ἀπὸ*) libri | *λέχεος*] fort. *λεχαῖον* | *ἄσυχον* Dindorf 186 *χάριν*] *τὴν ἀπὸ τῆς κοίτης ὕπνου χάριν* schol., *χαρὰν* libri | *ὦ φίλα* libri (etiam *B*), *φίλοις* Hartung 188 *θανεῖν* supplevit Lachmann | *ἄλλο γ' L* et in marg. *a*, *ἄλλο γ' εἴποις F* 189 *οὔτε A* 190 *ἆρ' L*, *ἂρ* vel *ἄρ'* ceteri 191 *ἐξέθυσ' ὁ*] *ἐξέθυσεν* King 193 *ματρός* recentiores nonnulli, *ματέρος OS* 194 *δίκᾳ*] schol. metr. i. e. Triclinius (*δίκα ἐνταῦθα γράφε, μὴ δίκαια*), *δίκαια* libri | *ΗΛ.* non hic, sed ante proximum v. habent libri, correxit Seidler, cfr. schol. *ἐν δὲ τῷ ὑπομνήματι καὶ ταῦτα τῆς Ἠλέκτρας* 195 *ὦ "θανες G* 199 *τε* om. *EL* 200 *ὀλόμεσθ' E* | *ὀλόμεθ' ὀλόμεθ' ἶσον νέκυες B* | *ἰσονέκυ'* Porson 201 *τὸ δ' E* 204 *στοναχαῖσι τὲ καὶ γόοις* om. in textu, add. in marg. *E* | *στοναχαῖς L*, *στονάχεσι A*, *στοναχέσι* A^2 | *γόοισι*] Heath, *γόοις* libri | fort. *στοναχαῖς τε παναμέροισι* 205 om. *G*, supra v. add. *g* | *δάκροισι g*

ἄγαμος, ἔπιδ', ἄτεκνος ἄτε βίοτον ἁ
μέλεος ἐς τὸν αἰὲν ἕλκω χρόνον.

ΧΟ. ὅρα παροῦσα, παρθέν' Ἠλέκτρα, πέλας,
μὴ κατθανών σε σύγγονος λέληθ' ὅδε·
οὐ γάρ μ' ἀρέσκει τῷ λίαν παρειμένῳ.

ΟΡΕΣΤΗΣ.

ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου,
ὡς ἡδύ μοι προσῆλθες ἐν δέοντί τε.
ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφὴ
καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.
πόθεν ποτ' ἦλθον δεῦρο; πῶς δ' ἀφικόμην;
ἀμνημονῶ γάρ, τῶν πρὶν ἀπολειφθεὶς φρενῶν.
ΗΛ. ὦ φίλταθ', ὥς μ' ηὔφρανας εἰς ὕπνον πεσών.
βούλει θίγω σου κἀνακουφίσω δέμας;
ΟΡ. λαβοῦ λαβοῦ δῆτ', ἐκ δ' ὅμορξον ἀθλίου
στόματος ἀφρώδη πέλανον ὀμμάτων τ' ἐμῶν.
ΗΛ. ἰδού· τὸ δούλευμ' ἡδύ, κοὐκ ἀναίνομαι
ἀδέλφ' ἀδελφῇ χειρὶ θεραπεύειν μέλη.
ΟΡ. ὑπόβαλε πλευροῖς πλευρά, καὐχμώδη κόμην
ἄφελε προσώπου· λεπτὰ γὰρ λεύσσω κόραις.
ΗΛ. ὦ βοστρύχων πινῶδες ἄθλιον κάρα,
ὡς ἠγρίωσαι διὰ μακρᾶς ἀλουσίας.
ΟΡ. κλῖνόν μ' ἐς εὐνὴν αὖθις· ὅταν ἀνῇ νόσος
μανίας, ἄναρθρός εἰμι κἀσθενῶ μέλη.
ΗΛ. ἰδού. φίλον τοι τῷ νοσοῦντι δέμνιον,
ἀνιαρὸν ὂν τὸ κτῆμ', ἀναγκαῖον δ' ὅμως

206 ἐπὶ δ' *L* | ἄτε βίοτον] fort. ἀνυμέναιος 208 παροῦσ' ἠλέκτρα παρθένε, scripto β super ἠλέκτρα et α super παρθένε, *A* 211 νόσον *E* 212 τε Stob. fl. 100, 1, γε libri 215 δ' om. *L* 216 schol. τῶν πρὶν φρενῶν ἀπολειφθεὶς . . ἄλλως· τῶν πρίν: ἕως τούτου ὀφείλεις στίζειν 217 εὔφρανας *A*, sed εὔ in ras. scr. A^2, ηὔφρανας ceteri 218 κἀνακουφίσω scripto ζ super σ *E* 219 αἰθλίου *E* 220 τ' om. *B* add. *b* 221 τὸ βούλευμ' *L* 222 ἀδέλφ' ἀδελφᾶ *A* 223 ὑπὸβαλλε *E* | πλευρὰν *EG* | καὶ ἀχμώδη *A*, κἀχμώδη *B* 224 λεύσω *ABS* | κόραις γρ. νόσω *A*, schol. γράφεται λεύσσω νόσῳ 225 βοστρύχων πινῶδες ἄθλιον κάρα *a*, βόστρυχοι πινώδεις ἀθλίας κρατός a^3 227 ὅταν] Heath, ὅταν (ὅτ' ἂν *B*) μ' libri 228 μανιάς schol. (μανιάς μ' Porson) | ἔναρθρος *L* | μέλη] δέμας recentiores nonnulli libri 229 φίλον τι *B* | δέμνια Stob. fl. 100, 2 230 ὂν om. *E*, μὲν Stob. | ὄντα et antea δέμνια Hermann

ΟΡ. αὖθίς μ' ἐς ὀρθὸν στῆσον, ἀνακύκλει δέμας·
δυσάρεστον οἱ νοσοῦντες ἀπορίας ὕπο.
ΗΛ. ἦ κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις,
χρόνιον ἴχνος θείς; μεταβολὴ πάντων γλυκύ.
ΟΡ. μάλιστα· δόξαν γὰρ τόδ' ὑγιείας ἔχει.
κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.
ΗΛ. ἄκουε δὴ νῦν, ὦ κασίγνητον κάρα,
ἕως ἐῶσιν εὖ φρονεῖν Ἐρινύες.
ΟΡ. λέξεις τι καινόν· κεἰ μὲν εὖ, χάριν φέρεις·
εἰ δ' ἐς βλάβην τιν', ἅλις ἔχω τὸ δυστυχεῖν.
ΗΛ. Μενέλαος ἥκει, σοῦ κασίγνητος πατρός,
ἐν Ναυπλίᾳ δὲ σέλμαθ' ὥρμισται νεῶν.
ΟΡ. πῶς εἶπας; ἥκει φῶς ἐμοῖς καὶ σοῖς κακοῖς
ἀνὴρ ὁμογενὴς καὶ χάριτας ἔχων πατρός;
ΗΛ. ἥκει· τὸ πιστὸν τόδε λόγων ἐμῶν δέχου·
Ἑλένην ἀγόμενος Τρωικῶν ἐκ τειχέων.
ΟΡ. εἰ μόνος ἐσώθη, μᾶλλον ἂν ζηλωτὸς ἦν·
εἰ δ' ἄλοχον ἄγεται, κακὸν ἔχων ἥκει μέγα.
ΗΛ. ἐπίσημον ἔτεκε Τυνδάρεως ἐς τὸν ψόγον
γένος θυγατέρων δυσκλεές τ' ἀν' Ἑλλάδα.
ΟΡ. σύ νυν διάφερε τῶν κακῶν· ἔξεστι γάρ·
καὶ μὴ μόνον λέγ', ἀλλὰ καὶ φρόνει τάδε.
ΗΛ. οἴμοι, κασίγνητ', ὄμμα σὸν ταράσσεται,
ταχὺς δὲ μετέθου λύσσαν, ἄρτι σωφρονῶν.
ΟΡ. ὦ μῆτερ, ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας.

---

231 αὖθις δ' ἐς Stob. | ἀνακυκλεῖ *A*, ἀνακύκλει *A*², κἀνακυκλεῖ *G* 232 ΧΟ. praefigunt *AaGB*², ΗΛ. *EL* 233 ΗΛ. om. *BL*, add. *B*² | γαίης *AB* | ἁρμόσαι] fort. ἐρμάσαι | πόδα *G* (θέλεις πόδα Dindorf) 234 μεταβολὴ γὰρ *B* | πάντων ἡδύ *G* 235 ὑγείας *AES* 236 δὲ] γὰρ *L* 238 ἐῶσιν εὖ *A*, ἐῶσιν σ' εὖ *E*, ἐῶσί σ' εὖ ceteri, σ' ἐῶσιν εὖ Brunck | ἐριννύες *a*²*BES* 239 καὶ εἰ *AB* | φέρει *E* 240 τὸ *Aab*, τῶ *B* (οὗ superscr. schol.), τοῦ *a*²*ES* 242 ναυπλίῳ *a*²*BS* 244 τε καὶ *BE* | χάριτα *A* | πατρὶ *G* 248 μέγα] fort. δόμον 249 εἰς τὸν] γὰρ ἐς Hermann, fort. ἐπὶ ψόγῳ 251 σύ νυν] Canter, σὺ νῦν libri, σύ τοι Plut. Mor. p. 88 C et Orion. Anth. I 16 254 ταχὺ*, σ eraso, *A*, ταχὺ *B*, ταχὺς ceteri (etiam *b*) | ἀρτίως φρονῶν Diog. L. VII p. 220 255 μου *B*, μοι *b* 256 αἱματωποὺς (πούς ex aliis lit. fecit m. 1) *A*, αἱματώδεις Sext. Emp. p. 299, fort. αἱματῶπας, cfr. Herc. 933, Hesych. αἱματωπούς· αἷμα βλεπούσας

[αὗται γὰρ αὗται πλησίον θρώσκουσί μου.]
ΗΛ. μέν', ὦ ταλαίπωρ', ἀτρέμα σοῖς ἐν δεμνίοις·
ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ' εἰδέναι.
ΟΡ. ὦ Φοῖβ', ἀποκτενοῦσί μ' αἱ κυνώπιδες
γοργῶπες ἐνέρων ἵερεαι, δειναὶ θεαί.
ΗΛ. οὔτοι μεθήσω· χεῖρα δ' ἐμπλέξασ' ἐμὴν
σχήσω σε πηδᾶν δυστυχῆ πηδήματα.
ΟΡ. μέθες· μί' οὖσα τῶν ἐμῶν Ἐρινύων
μέσον μ' ὀχμάζεις, ὡς βάλῃς ἐς Τάρταρον.
ΗΛ. οἲ 'γὼ τάλαινα, τίν' ἐπικουρίαν λάβω,
ἐπεὶ τὸ θεῖον δυσμενὲς κεκτήμεθα;
ΟΡ. δὸς τόξα μοι κερουλκά, δῶρα Λοξίου,
οἷς μ' εἶπ' Ἀπόλλων ἐξαμύνασθαι θεάς,
εἴ μ' ἐκφοβοῖεν μανιάσιν λυσσήμασιν.
βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί,
εἰ μὴ 'ξαμείψει χωρὶς ὀμμάτων ἐμῶν.
οὐκ εἰσακούετ'; οὐχ ὁρᾶθ' ἑκηβόλων
τόξων πτερωτὰς γλυφίδας ἐξορμωμένας;
ἆ ἆ·
τί δῆτα μέλλετ'; ἐξακρίζετ' αἰθέρα
πτεροῖς· τὰ Φοίβου δ' αἰτιᾶσθε θέσφατα.
ἔα·
τί χρῆμ' ἀλύω, πνεῦμ' ἀνεὶς ἐκ πνευμόνων;
ποῖ ποῖ ποθ' ἡλάμεσθα δεμνίων ἄπο;

257 quem afferunt Longin. de subl. 15, 2 et Plut. Mor. p. 901 A, seclusit Hartung, post 270 collocat Elmsley 258 ἀτρέμας *OG* | οἷς *a*, σοῖς a^2 259 σάφ' ἴσθ' ὅτι Matthiae, σαφῶς ἰδεῖν J. M. v. Gent, fort. ὀπωπέναι 260—265 sic disponit: 264 sq., 262 sq., 260 sq. F. Gu. Schmidt 260 fort. ἀποκτείνουσι | κυνώπιδος (vel -ας) corr. in κυνώπιδες *A* 261 ἵερεαι] scripsi (cfr. Meisterhans Gr. d. att. Inschr. p. 32^2), ἱέρειαι *OG*, ἱερίαι *L* et schol. 262 οὔτι *B* 262—7 fort. sic disponendi: 266 sq., 264 sq., 262 sq. 264 ἐριννύων a^2*BES* 266 οἳ (οἱ A^2) ἐγὼ *A*, οἳ ἐγὼ *B*, οἱ ἐγὼ *aE* 269 ἐπαμύνασθαι *A*, ἐξαμύνασθαι A^2 270 ἐκφοβεῖεν *S* | μανιάσι *BEG* | λυσσήμασι *aB* 271 *ΗΛ*. et 272 *ΟΡ*. libri, correxit Hartung 272 ξάμείψῃ *A*, 'ξαμείψῃ *a* | fort. 'ξαμείψετ' ὄψιν ante 273 personae nota erasa in *A* | εἰσακούσετ', sed σ paululum eraso, *A*, εἰσακούετ' ex εἰσακούσετ' factum in *B*, εἰσακούσετ', scripto ε super σε, *a* | ἑκηβόλον *A*, ἑκηβόλων A^2 274 ἐξωρμωμένας *B* 276 αἰτιᾶσθε φάσματα *E* 277 πλευμόνων Brunck 278 ποῖ semel *E* | ἡλάμεσθα *A*, ἡλάμεσθα, scripto λ super λ, A^2, ἡλάμεσθα *a*, ἡλάμεθα a^3

ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ.
σύγγονε, τί κλαίεις κρᾶτα θεῖσ' ἔσω πέπλων;
αἰσχύνομαί σοι μεταδιδοὺς πόνων ἐμῶν
ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμαῖς.
μὴ τῶν ἐμῶν ἕκατι συντήκου κακῶν·
σὺ μὲν γὰρ ἐπένευσας τάδ', εἴργασται δ' ἐμοὶ
μητρῷον αἷμα· Λοξίᾳ δὲ μέμφομαι,
ὅστις μ' ἐπάρας ἔργον ἀνοσιώτατον
— — — — — — — — —
τοῖς μὲν λόγοις ηὔφρανε, τοῖς δ' ἔργοισιν οὔ.
οἶμαι δὲ πατέρα τὸν ἐμόν, εἰ κατ' ὄμματα
ἐξιστόρουν νιν, μητέρ' εἰ κτεῖναι χρεών,
πολλὰς γενείου τοῦδ' ἂν ἐκτεῖναι λιτὰς
μήποτε τεκούσης ἐς σφαγὰς ὦσαι ξίφος,
[εἰ μήτ' ἐκεῖνος ἀναλαβεῖν ἔμελλε φῶς,
ἐγώ θ' ὁ τλήμων τοιάδ' ἐκπλήσειν κακά].
καὶ νῦν ἀνακάλυπτ', ὦ κασιγνήτη, κάρα,
ἐκ δακρύων τ' ἄπελθε, κεἰ μάλ' ἀθλίως
ἔχομεν· ὅταν δὲ τἄμ' ἀθυμήσαντ' ἴδῃς,
σύ μου τὸ δεινὸν καὶ διαφθαρὲν φρενῶν
ἴσχναινε παραμυθοῦ θ'· ὅταν δὲ σὺ στένῃς,
ἡμᾶς παρόντας χρή σε νουθετεῖν φίλα·
ἐπικουρίαι γὰρ αἵδε τοῖς φίλοις καλαί.
ἀλλ', ὦ τάλαινα, βᾶσα δωμάτων ἔσω
ὕπνῳ τ' ἄυπνον βλέφαρον ἐκταθεῖσα δός,

279 αὖ om. *A* | γάλην' *A*, γαλήν' A^2a^3S, γαλῆν' *aBE* 280 *ΗΛ.* praefigunt A^2a^2BG | κλάεις *E* et mut. in κλαίεις *a* | κάρα *G* | θεὶς Aa^3BG, θεῖσ' *abL*, τιθεῖσ' *E* 281 *ΟΡ.* praefigunt a^2BG | σε mut. in σοι *E*, σε ceteri 282 παρέχων om. *G* | παρθένων *G* | ἐμοῖς, superscr. αῖς, *B* 283 *ΗΛ. B* 284 *ΟΡ. B* | γὰρ ᾔνεσας τάδ' Nauck, γὰρ ἐπεκέλευσας Paley | δέ μοι *E* 286 ἐπάρας *B*, ἐπ' ἄρας *b* | lacunam notavit Kirchhoff 287 ηὔφρανε *ABS*, εὔφρανε A^2aE | ἔργοις *A* | οὔ om. *A*, add. A^2 289 ἐξιστόρουνιν *A* | κτεῖναι χρεών *L*, κτεῖναί με χρή ceteri 290 λιτὰς] fort. χέρας, cfr. Iph. T. 362 291 μήποτε *aS*, μήπω *ABE*, μὴ τῆς cod. rec. 292 sq. delevit L. Dindorf 292 κ' εἰ *A* | ἤμελλε *ABL* 293 ἐγώ θ' cod. rec., ἐγὼ δ' *OS* | ἐκπλήσσειν *A*, ἐκπλήσειν mut. in ἐκτλήσειν *E*, ἐκπλήσειν, scripto τ super π, *G* 294 κασιγνήτη, κάρα] Brunck, κασίγνητον κάρα libri 297 δεινὸν] fort. διερὸν 298 ἴσχναινε *S*, ἴσχανε et γρ. ἴσχναινε *A*, ἴσχανε *BE*, ἴσχαινε *a*, schol. γρ. καὶ ἴσχανε 302 ἐνταθεῖσα *G*

σίτων τ' ὄρεξαι λουτρά τ' ἐπιβαλοῦ χροΐ.
εἰ γὰρ προλείψεις ἢ προσεδρείᾳ νόσον
κτήσῃ τιν', οἰχόμεσθα· σὲ γὰρ ἔχω μόνην
ἐπίκουρον, ἄλλων, ὡς ὁρᾷς, ἔρημος ὤν.

ΗΛ. [οὐκ ἔστι· σὺν σοὶ καὶ θανεῖν αἱρήσομαι
καὶ ζῆν· ἔχει γὰρ ταὐτόν· ἢν σὺ κατθάνῃς,
γυνὴ τί δράσω; πῶς μόνη σωθήσομαι,
ἀνάδελφος ἀπάτωρ ἄφιλος; εἰ δὲ σοὶ δοκεῖ,]
δρᾶν χρὴ τάδ'. ἀλλὰ κλῖνον εἰς εὐνὴν δέμας,
καὶ μὴ τὸ ταρβοῦν κἀκφοβοῦν σ' ἐκ δεμνίων
ἄγαν ἀποδέχου, μένε δ' ἐπὶ στρωτοῦ λέχους.
κἂν μὴ νοσῇς γάρ, ἀλλὰ δοξάζῃς νοσεῖν,
κάματος βροτοῖσιν ἀπορία τε γίγνεται.

ΧΟ. αἰαῖ, stroph.
δρομάδες ὦ πτεροφόροι
ποτνιάδες θεαί,
ἀβάκχευτον αἳ θίασον ἐλάχετ' ἐν
δάκρυσι καὶ γόοις,
μελάγχρωτες Εὐμενίδες, αἵτε τὸν
ταναὸν αἰθέρ' ἀμπάλλεσθ', αἵματος
τινύμεναι δίκαν, τινύμεναι φόνον,
καθικετεύομαι καθικετεύομαι,
τὸν Ἀγαμέμνονος

---

303 *σίτων A*, *σίτων* mut. in *σῖτον a*, *σῖτον* ceteri, *σίτου* Hartung, *σῖτόν τε δέξαι* J. M. van Gent | *λουτρά τ'*] *λούτρ' A* | *ἐπιβαλοῦ χροΐ*] Hermann, *ἐπὶ χροΐ βάλε* libri (*βάλλεν A*, *βάλεν* mut. in *βάλε a*) 304 *προλείψεις*] Paley, *προλείψεις μ'* libri, cfr. Hec. 438 | *προσεδρίᾳ* recentiores libri | *νόσον* mut. in *νόσον L* 307—10 delevi 307 *σοὶ κατθανεῖν BE* 309 *συνθήσομαι B*, *σωθήσομαι b* post 312 spatium unius versus vacuum in *E* 314 *νοσήσῃς* (i. e. *νοσῇ* superscr. *σῇς*) . . *δοξάζῃς A*, *νοσῇς* . . *δοξάζεις B*, *νοσῇς* . . *δοξάζῃς aS*, *κἂν μὴ νοσῇ γὰρ* in marg. *a*[3], *νοσῇ* . . *δοξάζει* superscr. *η E*, schol. *Καλλίστρατος τὴν ἐκτὸς τοῦ σ̄ γραφὴν διδάσκει* (*δοκιμάζει*) „*κἂν μὴ νοσῇ γάρ, ἀλλὰ δοξάζῃ νοσεῖν*", probat *νοσῇς* . . *δοξάζεις*, versu proximo deleto, Nauck, fort. *κἂν μὴ νοσῇ τις, ἀλλὰ δοξάζῃ* 315 *γίνεται BS* | versum delebat Hartung 317 *ὦ* om. *E* | *πτεραφόροι G* 319 *ἐλάχετε*, omisso *ἐν*, *G* 320 *γόοις*] *θρήνοις* Hermann 321 *μελαγχρῶτες* libri | *Εὐμενίδες* om. *E* 322 *ἀμπάλεσθ' AL*, *ἀμπολεῖσθ'* Nauck 323 *τινύμεναι* mut. in *τιννύμεναι a*, *τιννύμεναι G* et altero *ν* eraso *L* duobus locis | *δίκην B* | *φόνον a*

γόνον ἐάσατ' ἐκλαθέσθαι λύσσας
μανιάδος φοιταλέου. φεῦ μόχθων,
οἵων, ὦ τάλας, ὀρεχθεὶς ἔρρεις,
τρίποδος ἄπο φάτιν, ἂν ὁ Φοῖβος
ἔλακε, δεξάμενος ἀνὰ δάπεδον,
ἵνα μεσόμφαλοι λέγονται μυχοί.

ὦ Ζεῦ, antistr.
τίς ἔλεος, τίς ὅδ' ἀγὼν
φόνιος ἔρχεται,
θοάζων σε τὸν μέλεον, ᾧ δάκρυα
δάκρυσι συμβάλλει
πορεύων τις ἐς δόμον ἀλαστόρων
ματέρος αἷμα σᾶς, ὅ σ' ἀναβακχεύει;
κατολοφύρομαι κατολοφύρομαι.
ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς·
ἀνὰ δὲ λαῖφος ὥς
τις ἀκάτου θοᾶς τινάξας δαίμων
κατέκλυσεν δεινῶν πόνων ὡς πόντου
λάβροις ὀλεθρίοισιν ἐν κύμασιν.
τίνα γὰρ ἔτι πάρος οἶκον ἄλλον
ἕτερον ἢ τὸν ἀπὸ θεογόνων γάμων,
τὸν ἀπὸ Ταντάλου, σέβεσθαί με χρῆν;

καὶ μὴν βασιλεὺς ὅδε δὴ στείχει,

---

327 *μανιώδους B*, *μανιάδος G*, *μανιώδους g* | *μόχθων*, superscr. *ἐν ἄλλω μόχθων κακῶν*, *E* | *μανιάδος. φεῦ φεῦ φοιταλέων μόχθων* Weil 328 *οἵων A*, *οἶν* A^2 | *ὁ τάλας aBE* 329 *ἄπο* om. *L* | *ἀπόφατιν EG* et superscripto *ἀπόφασιν a*, *ἀπόφασιν B*, *ἀπόφατιν b* | *ὁ φοῖβος* om. *AE* 330 *ἔλακε EL*, *ἔλακεν ἔλακε A*, *ἔλακεν ἔλακεν aBG* | verba *ἀνὰ δάπεδον* delet Nauck 331 *λέγωνται A*, *λέγονται* A^2 | *μυχοί*] Triclinius, *μυχοὶ γᾶς* libri 332 *ὦ*] King, *ἰὼ* libri 334 *φοίνιος L* 335 *θωάζων A* | *ᾧ δάκρυα* om. *A*, add. A^2 337 *δόμον*] Triclinius, *δόμους* libri 338 *ματέρων E* | *ὅ B*, *ὅς bL* | *ὅ σ' ἀναβακχεύει ματέρος αἷμα σᾶς* Weil 339 quem papyrus versus 338—344 cum notis musicis continens (cfr. Philol. vol. 52 p. 179 sq.) ante 338 exhibet, post 340 transponit Kirchhoff 343 *κατέκλυσε aBES* 344 *λαύροις EG* | *ὀλεθρίοις EBS* | *ἐν*] *τε L* | *κύμασι** (eraso *ν*) *A*, *κύμασι* ceteri 345 *ἄλλον* om. *AL*, *ἀνδρῶν* Rauchenstein, malim *ἀνδρὸς* 346 *ἕτερον* om. *E* | *τῶν A*, *τὸν* A^2 347 *τῶν L* | verba *τὸν ἀπὸ Ταντάλου* delet Nauck | *μ' ἐχρῆν L*, *με χρή* ceteri 348 *ὧδε AG* | *δὴ* om. *L*, add. supra versum *l* | *στείχει ποδὶ G*

Μενέλαος ἄναξ, ποδὸς ἁβροσύνῃ
δῆλος ὁρᾶσθαι
τῶν Ταντλιδῶν ἐξ αἵματος ὤν.
ὦ χιλιόναυν στρατὸν ὁρμήσας
ἐς γῆν Ἀσίαν,
χαῖρ', εὐτυχίᾳ δ' αὐτὸς ὁμιλεῖς,
θεόθεν πράξας ἅπερ ηὔχου.

ΜΕΝΕΛΑΟΣ.

ὦ δῶμα, τῇ μέν σ' ἡδέως προσδέρκομαι
Τροίαθεν ἐλθών, τῇ δ' ἰδὼν καταστένω·
κύκλῳ γὰρ εἱλιχθεῖσαν ἀθλίως κακοῖς
οὐπώποτ' ἄλλην μᾶλλον εἶδον ἑστίαν.
Ἀγαμέμνονος μὲν γὰρ τύχας ἐπησθόμην
καὶ θάνατον, οἵῳ πρὸς δάμαρτος ὤλετο,
Μαλέᾳ προσίσχων πρῷραν· ἐκ δὲ κυμάτων
ὁ ναυτίλοισι μάντις ἐξήγγειλέ μοι
Νηρέως προφήτης Γλαῦκος, ἀψευδὴς θεός,
ὅς μοι τάδ' εἶπεν ἐμφανῶς κατασταθείς·
Μενέλαε, κεῖται σὸς κασίγνητος θανών,
λουτροῖσιν ἀλόχου περιπεσὼν ἀρκυστάτοις.
δακρύων δ' ἔπλησεν ἐμέ τε καὶ ναύτας ἐμοὺς
πολλῶν. ἐπεὶ δὲ Ναυπλίας ψαύω χθονός,
ἤδη δάμαρτος ἐνθάδ' ἐξορμωμένης,
δοκῶν Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος
φίλαισι χερσὶ περιβαλεῖν καὶ μητέρα,
ὡς εὐτυχοῦντας, ἔκλυον ἁλιτύπων τινὸς
τῆς Τυνδαρείας παιδὸς ἀνόσιον φόνον.

---

349 ποδὸς] Kirchhoff, πολὺ δ' *Aa*, πολλὴ δ' vel πολλῇ δ' A^2a^2ES, πολὺ δ' vel πολὺ vel πολλῇ γ' libri Dionis Chrys. II § 42 351 τοῦ Ταντλιδᾶν Dio 352 ὁρμήσας *AaL*, ὁρμίσας A^2a^3BEG 356 τῇ *B*, πῇ *b*, τῇ rasura ex πῇ factum in *G* 357 τῇ *B*, πῇ *b*, ποῖ *G*, τῇ *g* 358 ἄθλιος *A*, ἀθλίως A^2L, ἀθλίοις ceteri 360 ἐπησθόμην] Heimsoeth, ἠπιστάμην libri 361 ὤλεθ' ἑᾶς *B* | versum delet Dindorf 362 μαλέαν ν paululum eraso *A* | πρῶραν *BEG* 364 Γλαῦκος] μάντις *A*, γλαῦκος in ras. (fuit sine dubio μάντις) *a* 365 τάδ' *al*, τόδ' ceteri | κατασταθείς *AaES*, παρασταθείς *Bl* 367 ἀρκυστάτοις] Nauck, πανυστάτοις libri 368 τε om. *E* 370 ἐξορμωμένης, η ex οι facto, *A* 372 περιλαβεῖν *L* 373 ἁλιτύπων rec. libri, ἁλικτύπων *OS* 374 παιδὸς γρ. θυγατρός *A*, θυγατρὸς *B*

καὶ νῦν ὅπου 'στὶν εἴπατ', ὦ νεάνιδες,
Ἀγαμέμνονος παῖς, ὃς τὰ δείν' ἔτλη κακά.
βρέφος γὰρ ἦν τότ' ἐν Κλυταιμήστρας χεροῖν,
ὅτ' ἐξέλειπον μέλαθρον ἐς Τροίαν ἰών,
ὥστ' οὐκ ἂν αὐτὸν γνωρίσαιμ' ἂν εἰσιδών.
ΟΡ. ὅδ' εἴμ' Ὀρέστης, Μενέλεως, ὃν ἱστορεῖς.
ἑκὼν ἐγώ σοι τἀμὰ μηνύω κακά.
τῶν σῶν δὲ γονάτων πρωτόλεια θιγγάνω
ἱκέτης, ἀφύλλους στόματος ἐξάπτων λιτάς·
σῶσόν μ'· ἀφῖξαι δ' αὐτὸν ἐς καιρὸν κακῶν.
ΜΕ. ὦ θεοί, τί λεύσσω; τίνα δέδορκα νερτέρων;
ΟΡ. εὖ γ' εἶπας· οὐ γὰρ ζῶ κακοῖς, φάος δ' ὁρῶ.
ΜΕ. ὡς ἠγρίωσαι πλόκαμον αὐχμηρόν, τάλας.
ΟΡ. οὐχ ἡ πρόσοψίς μ', ἀλλὰ τἄργ' αἰκίζεται.
ΜΕ. δεινὸν δὲ λεύσσεις ὀμμάτων ξηραῖς κόραις.
ΟΡ. τὸ σῶμα φροῦδον· τὸ δ' ὄνομ' ἐλλέλοιπέ μοι.
ΜΕ. ὦ παρὰ λόγον μοι σὴ φανεῖσ' ἀμορφία.
ΟΡ. ὅδ' εἰμὶ μητρὸς τῆς ταλαιπώρου φονεύς.
ΜΕ. ἤκουσα· φείδου δ' ὀλιγάκις λέγειν κακά.
ΟΡ. φειδόμεθ'· ὁ δαίμων δ' ἐς ἐμὲ πλούσιος κακῶν.
ΜΕ. τί χρῆμα πάσχεις; τίς σ' ἀπόλλυσιν νόσος;
ΟΡ. ἡ σύνεσις, ὅτι σύνοιδα δείν' εἰργασμένος.
ΜΕ. πῶς φής; σοφόν τοι τὸ σαφές, οὐ τὸ μὴ σαφές.
ΟΡ. λύπη μάλιστά γ' ἡ διαφθείρουσά με,
ΜΕ. δεινὴ γὰρ ἡ θεός, ἀλλ' ὅμως ἰάσιμος.
ΟΡ. μανίαι τε, μητρὸς αἵματος τιμωρίαι.

---

377 *κλυταιμνήστρας* libri 378 *ἐξέλειπον* rec. libri, *ἐξέλιπον* *OS* 380 *ὅδ'* *bL* et cum *γρ.* *ὧδε* *G*, *ὧδ'* *A* et mut. in *ὅδ'* *aE*, *ὧδ'* *B* 381 *μηνύω*] scripsi, *μηνύσω* *AaS*, *σημανῶ* *EB* 383 *ἱκέτης* *A*, *ἱκετῖς* *A*[2] 383 *ἀφύλλους* *b* et schol., *ἀφύλλου* ceteri, cfr. Hesych. *ἀφύλλου στόματος· ἄνευ ἱκετηρίας. Εὐριπίδης Ὀρέστῃ* 384 *αὐτὸν*] Schaefer, *αὐτὸς* libri 385 *λεύσω* *ABL* 386 fort. *ζῶ, νεκρὸς δ' ὢν φῶς ὁρῶ* 388 *οὐχ ἡ*] *οὐχὶ* *B* 389 *δεινόν τε* *L* | *λεύσεις* *BL* 399 *ἐλλέλοιπέ*] scripsi, *οὐ λέλοιπέ* libri | *μοι* *AB*, *με* *aES* 391 *παρὰ λόγον* *G*, *παράλογόν* ceteri | *σῇ* *A*, *σῇ* mut. in *σὴ* *B* 393 *δ' ὀλοὰ δὶς λέγειν* Stadtmueller 394 *εἰς ἐμὲ* libri, *εἴς με* Elmsley, cfr. 736 395 *Ὀρέστα τλῆμον, τίς* Stob. fl. 24, 5 | *σ'* om. *AL* | *ἀπόλλυσι* *AaBG* 397 *σοφόν τι* *AS*, *σοφόν τι* mut. in *σοφόν τοι* *E* 399 *δεινή γε νοῦσος* Herwerden, *δεινὴ νόσος γάρ* Chr. Baier, fort. *δεινὴ γὰρ ἡ κήρ* 400 *μητρὸς* *S*, *μητρός θ'* *O* | fort *τιμωρία*

ΜΕ. ἤρξω δὲ λύσσης πότε; τίς ἡμέρα τότ' ἦν;
ΟΡ. ἐν ᾗ τάλαιναν μητέρ' ἐξώγκουν τάφῳ.
ΜΕ. πότερα κατ' οἴκους ἢ προσεδρεύων πυρᾷ;
ΟΡ. νυκτὸς φυλάσσων ὀστέων ἀναίρεσιν.
ΜΕ. παρῆν τις ἄλλος, ὃς σὸν ὤρθευεν δέμας;
ΟΡ. Πυλάδης γ', ὁ συνδρῶν αἷμα καὶ μητρὸς φόνον.
ΜΕ. φαντασμάτων δὲ τάδε νοσεῖς ποίων ὕπο;
ΟΡ. ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας.
ΜΕ. οἶδ' ἃς ἔλεξας, ὀνομάσαι δ' οὐ βούλομαι.
ΟΡ. σεμναὶ γάρ· εὐπαίδευτα δ' ἀποτρέπου λέγειν.
ΜΕ. αὗταί σε βακχεύουσι συγγενεῖ φόνῳ;
ΟΡ. οἴμοι διωγμῶν, οἷς ἐλαύνομαι τάλας.
ΜΕ. οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους.
ΟΡ. ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ τῆς συμφορᾶς.
ΜΕ. μὴ θνητὸν εἴπῃς· τοῦτο μὲν γὰρ οὐ σοφόν.
ΟΡ. Φοῖβος, κελεύσας μητρὸς ἐκπρᾶξαι φόνον.
ΜΕ. ἀμαθέστερός γ' ὢν τοῦ καλοῦ καὶ τῆς δίκης.
ΟΡ. δουλεύομεν θεοῖς, ὅ τι ποτ' εἰσὶν οἱ θεοί.
ΜΕ. κᾆτ' οὐκ ἀμύνει Λοξίας τοῖς σοῖς κακοῖς;
ΟΡ. μέλλει· τὸ θεῖον δ' ἐστὶ τοιοῦτον φύσει.
ΜΕ. πόσον χρόνον δὲ μητρὸς οἴχονται πνοαί;
ΟΡ. ἕκτον τόδ' ἦμαρ· ἔτι πυρὰ θερμὴ τάφου.
ΜΕ. ὡς ταχὺ μετῆλθόν σ' αἷμα μητέρος θεαί.
ΟΡ. οὐ σοφός, ἀληθὴς δ' ἐς φίλους ἔφυς κακός.
ΜΕ. πατρὸς δὲ δή τι σ' ὠφελεῖ τιμωρία;
ΟΡ. οὔπω· τὸ μέλλον δ' ἴσον ἀπραξίᾳ λέγω.

---

402 τάλαιναν μητέρ' ἐξώγκουν (μητέρα 'ξώγκουν *L*) τάφῳ *ABES* et mut. in ταλαίνης μητρὸς ἐξώγκουν τάφον *a*, ταλαίνῃ μητρὶ *a*[3], cfr. schol. γράφεται ἐν ᾗ ταλαίνης μητρὸς ἐξώγκουν τάφον 403 πυρᾷ] τάφῳ *L* | νυκτὸς] νέκυος F. Gu. Schmidt 405 sq. delet A. Grueninger 405 ὤρθευε *BG* 406 γ' om. libri, add. Kirchhoff 407 φαντασμάτων *c*, ἐκ φασμάτων *OS* | fort. τόδε 408 ἔδοξ', ο ex ει facto, *A* 410 εὐπαίδευται, scripto α super εὐ et ται, *B*, εὐπαίδευτα mut. in ἀπαίδευτα *a* | ἀπαίδευτα δὲ λέγειν ἀποτρέπου *L* | ἀποτρέπῃ *t* 411 φόνῳ superscr. ου *A*, cfr. schol. λείπει δὲ ἡ διά, διὰ τὸν συγγενῆ φόνον 415 θνητὸν] scripsi, θάνατον libri | μὲν om. *G* 416 μητρὸς] πατρὸς Hemsterhuys 417 γ' om. *G* 418 εἰσὶν οἱ θεοὶ *G*, εἰσὶν (vel εἰσὶ) θεοὶ ceteri et Justin. de mon. I p. 126 423 μητρὸς αἱ *G* | μητρῷον θεαί Nauck, fort. μητέρος κύνες, cfr. Aesch. Cho. 923 et 1052 424 ἔφυν φίλος Brunck, fort. ἐς φίλων ἔφυς κακά 425 τίς σ' *AaE*

ΜΕ. τὰ πρὸς πόλιν δὲ πῶς ἔχεις δράσας τάδε;
ΟΡ. μισούμεθ' οὕτως ὥστε μὴ προσεννέπειν.
ΜΕ. οὐδ' ἥγνισαι σὸν αἷμα κατὰ νόμον χεροῖν;
ΟΡ. ἐκκλῄομαι γὰρ δωμάτων ὅποι μόλω.
ΜΕ. τίνες πολιτῶν ἐξαμιλλῶνται στέγης;
ΟΡ. Οἴαξ, τὸ Τροίας μῖσος ἀναφέρων πατρί.
ΜΕ. συνῆκα· Παλαμήδους σε τιμωρεῖ φόνου.
ΟΡ. οὗ γ' οὐ μετῆν μοι· διὰ τριῶν δ' ἀπόλλυμαι.
ΜΕ. τίς δ' ἄλλος; ἦ που τῶν ποτ' Αἰγίσθου φίλων;
ΟΡ. οὗτοί μ' ὑβρίζουσ', ὧν πόλις τὰ νῦν κλύει.
ΜΕ. Ἀγαμέμνονος δὲ σκῆπτρ' ἐᾷ σ' ἔχειν πόλις;
ΟΡ. πῶς, οἵτινες ζῆν οὐκ ἐῶσ' ἡμᾶς ἔτι;
ΜΕ. τί δρῶντες ὅ τι καὶ σαφὲς ἔχεις εἰπεῖν ἐμοί;
ΟΡ. ψῆφος καθ' ἡμῶν οἴσεται τῇδ' ἡμέρᾳ.
ΜΕ. φεύγειν πόλιν τήνδ' ἢ θανεῖν ἢ μὴ θανεῖν;
ΟΡ. θανεῖν ὑπ' ἀστῶν λευσίμῳ πετρώματι.
ΜΕ. κᾆτ' οὐχὶ φεύγεις γῆς ὑπερβαλὼν ὅρους;
ΟΡ. κύκλῳ γὰρ εἱλισσόμεθα παγχάλκοις ὅπλοις.
ΜΕ. ἰδίᾳ πρὸς ἐχθρῶν ἢ πρὸς Ἀργείας χερός;
ΟΡ. πάντων πρὸς ἀστῶν, ὡς θάνω· βραχὺς λόγος.
ΜΕ. ὦ μέλεος, ἥκεις συμφορᾶς ἐς τοὔσχατον.
ΟΡ. ἐς σ' ἐλπὶς ἡμὴ καταφυγὰς ἔχει κακῶν.
ἀλλ' ἀθλίως πράσσουσιν εὐτυχὴς μολὼν

---

427 tort. *τόδε* 429 *σὸν . . χεροῖν*, superscr. *ῶν . . ῶν*, *a* | *σὸν αἷμα*] *μίασμα* E. Holzner, fort. *μίασμα . . χερός*, cfr. 517 | *νόμους aBES* 430 *ἐκκλῄομαι*] Musgrave, *ἐκκλείομαι AaL*, *ἐγκλείομαι EG*, *ἐκβάλομαι B*, sed *βάλ* in ras. scr. B^2, *ἐκβάλλομαι b* | *ὅποι B*, *ὅπῃ* (*ὅπη*) ceteri 431 *πολιτῶν δ' a*, fort. *πολιτῶν σ'* | *στέγης*] scripsi, *σε γῆς* libri, cfr. 444 433 *φόνος bEG* 434 *οὗ γ' οὐ S*, *οὔ* (*ὅ* A^2) *γ' οὐ Aa*, *οὔκ οὐ* a^3*E*, *οὔκουν B* 435 *ἤ B*, *ἦ b*, *οὔ* Paley | *ποτ'*] scripsi, *ἀπ'* libri 436 *οὗτοι A* 437 *ἀγαμέμνος E* | *σ' ἔχειν ἡ πόλις* in ras. scr. a^3 438 *εἴ τινες E* | versum om. *a*, in marg. add. a^2, quae etiam personarum notas 439—42 hac omissione confusas correxit 439 *εἰπεῖν ἔχεις AaBE*, schol. *ἐὰν δὲ γράφηται ἢ τί, ὁ στίχος οὕτως· τί δρῶντες· ἢ τί καὶ σαφὲς εἰπεῖν ἔχεις*, unde *ἦ τι* (sic Hermann) *καὶ σαφῶς* (*σαφῶς* Reiske) *εἰπεῖν ἔχεις;* Nauck, fort. *εἴ τι* (sic Lenting) *καὶ σαφῶς ἐρεῖς ἐμοί*, cfr. Soph. O. T. 702 442 *ἀστῶν*, sed superiore parte literae *σ* erasa ita ut *υ* sit, *E* 443 *ὑπερβάλλων BE* 444 *εἱλούμεσθα* J. M. v. Gent, fort. *εἰργόμεσθα* 445 *ἀργείων χερός* (*γρ. χθονός* superscr. schol.) *B* 446 *βραδὺς*, scripto *χ* super *δ* et *δ* expuncto, *A* 448 *ἡμὴ*] *ἥ γ ἢ* (*γ* ex alia lit. factum) *A*, fort. *ἥκει καταφυγὰς ἔχειν* (vel *ἕξειν*), cfr. Soph. Phil. 500

μετάδος φίλοισι σοῖσι σῆς εὐπραξίας,
καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε,
ἀλλ' ἀντιλάζου καὶ πόνων ἐν τῷ μέρει,
χάριτας πατρῴας ἐκτίνων ἐς οὕς σε δεῖ.
ὄνομα γάρ, ἔργον δ' οὐκ ἔχουσιν οἱ φίλοι
οἱ μὴ 'πὶ ταῖσι συμφοραῖς ὄντες φίλοι.

ΧΟ. καὶ μὴν γέροντι δεῦρ' ἁμιλλᾶται ποδὶ
ὁ Σπαρτιάτης Τυνδάρεως, μελάμπεπλος
κουρᾷ τε θυγατρὸς πενθίμῳ κεκαρμένος.

ΟΡ. ἀπωλόμην, Μενέλαε· Τυνδάρεως ὅδε
στείχει πρὸς ἡμᾶς, οὗ μάλιστ' αἰδώς μ' ἔχει
ἐς ὄμματ' ἐλθεῖν τοῖσιν ἐξειργασμένοις.
καὶ γάρ μ' ἔθρεψε σμικρὸν ὄντα, πολλὰ δὲ
φιλήματ' ἐξέπλησε, τὸν Ἀγαμέμνονος
παῖδ' ἀγκάλαισι περιφέρων, Λήδα θ' ἅμα,
τιμῶντέ μ' οὐδὲν ἧσσον ἢ Διοσκόρω·
οἷς, ὦ τάλαινα καρδία ψυχή τ' ἐμή,
ἀπέδωκ' ἀμοιβὰς οὐ καλάς. τίνα σκότον
λάβω προσώπῳ; ποῖον ἐπίπροσθεν νέφος
θῶμαι, γέροντος ὀμμάτων φεύγων κόρας;

ΤΥΝΔΑΡΕΩΣ.

ποῦ ποῦ θυγατρὸς τῆς ἐμῆς ἴδω πόσιν,
Μενέλαον; ἐπὶ γὰρ τῷ Κλυταιμήστρας τάφῳ
χοὰς χεόμενος ἔκλυον ὡς ἐς Ναυπλίαν
ἥκοι σὺν ἀλόχῳ πολυετὴς σεσωμένος.
ἄγετέ με· πρὸς γὰρ δεξιὰν αὐτοῦ θέλω
στὰς ἀσπάσασθαι, χρόνιος εἰσιδὼν φίλον.

ΜΕ. ὦ πρέσβυ, χαῖρε, Ζηνὸς ὁμόλεκτρον κάρα.

---

453 ἐκτείνων *BEG*, ἐκτίνων *bg* | εἰς οὕς *A* 455 ταῖς *L* | φίλοι] fort. σαφεῖς, cfr. 1155, 1619 458 τε om. *BE* | πενθήμω *A* 461 τοῖσιν ἡμαρτημένοις *B* 462 ἔθρεψα mut in ἔθρεψε *A* | σμικρὸν *aEL*, μικρὸν ceteri 463 ἐξέπλησεν *A*, ἐξέπλησσε mut. in ἐξέπλησε *B* 464 ἀγκάλαισιν *G* | λήδαι *a* 465 τιμῶντες *B*, τιμῶντε *b*, τιμῶν τ' ἔμ' *E* | διοσκούρω, litera post ω erasa, *A*, διοσκόρω *a*, sed ω in ras. scr. a^3, ους superscr. a^2 467 ἀποδέδωκ' *L* 468 ἐπίπροσθε *B* 471 κλυταιμνήστρας libri 472 χεύμενος *A* 473 ἥκει *G* | σεσωσμένος libri 475 ἀσπάσθαι *B*, ἀσπάζεσθαι *b*, ἀποσπάσασθαι *G* | χρόνιος *A* et mut. in χρόνιον *a*, χρόνιον *BES* 476 ὦ χαῖρε, πρέσβυ Porson | ὁμόλεκτρον, κ ex alia litera (υ vel ν) facto, *A*

ΤΥ. ὦ χαῖρε καὶ σύ, Μενέλεως, κήδευμ' ἐμόν.
ἔα· [τὸ μέλλον ὡς κακὸν τὸ μὴ εἰδέναι.]
ὁ μητροφόντης ὅδε πρὸ δωμάτων δράκων
στίλβει νοσώδεις ἀστραπάς, στύγημ' ἐμόν.
Μενέλαε, προσφθέγγῃ νιν, ἀνόσιον κάρα;
ΜΕ. τί γάρ; φίλου μοι πατρός ἐστιν ἔκγονος.
ΤΥ. κείνου γὰρ ὅδε πέφυκε, τοιοῦτος γεγώς;
ΜΕ. πέφυκεν· εἰ δὲ δυστυχεῖ, τιμητέος.
ΤΥ. βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις.
ΜΕ. Ἑλληνικόν τοι τὸν ὁμόθεν τιμᾶν ἀεί.
ΤΥ. καὶ τῶν νόμων γε μὴ πρότερον εἶναι θέλειν.
ΜΕ. πᾶν τοὐξ ἀνάγκης δοῦλόν ἐστ' ἐν τοῖς σοφοῖς.
ΤΥ. κέκτησό νυν σὺ τοῦτ', ἐγὼ δ' οὐ κτήσομαι.
ΜΕ. ὀργὴ γὰρ ἅμα σου καὶ τὸ γῆρας οὐ σοφόν.
ΤΥ. πρὸς τόνδ' ἀγών τις σοφίας ἥκει πέρι.
εἰ τὰ καλὰ πᾶσι φανερὰ καὶ τὰ μὴ καλά,
τούτου τίς ἀνδρῶν ἐγένετ' ἀσυνετώτερος,
ὅστις τὸ μὲν δίκαιον οὐκ ἐσκέψατο
οὐδ' ἦλθεν ἐπὶ τὸν κοινὸν Ἑλλήνων νόμον;
ἐπεὶ γὰρ ἐξέπνευσεν Ἀγαμέμνων βίον
πληγεὶς τῆς ἐμῆς θυγατρὸς ὑπὲρ κάρα,
αἴσχιστον ἔργον· οὐ γὰρ αἰνέσω ποτέ·
χρῆν αὐτὸν ἐπιθεῖναι μὲν αἵματος δίκην
ὁσίαν διώκοντ' ἐκβαλεῖν τε δωμάτων
μητέρα· τὸ σῶφρόν τ' ἔλαβεν ἀντὶ συμφορᾶς
καὶ τοῦ νόμου τ' ἂν εἴχετ' εὐσεβής τ' ἂν ἦν.

---

478 *κακὸν μὴ a* | *μὴ 'δέναι S* | verba *τὸ . . εἰδέναι* delevi 480 *νοσώδης L* 481 *προσφέγγῃ L* | schol. *γράφεται καὶ ἀκάθαρτον κάρα* 483 *πέφυκεν L* 484 *τιμητέος B*, superscr. *γρ. μισητέος b*, fort. *τιμητέον* 485 *ἐν βαρβάροις*] *γρ. ἀφ' ἑλλάδος Ab* 486 *τοι*] *τι E*, *τϊ* in ras. *G* 487 *τὸν* mut. in *τῶν B* 488 *πάντ' οὐξανάγκης A* 489 *νυν*] Canter, *νῦν* libri | *ἐγὼ οὐ κεκτήσομαι* Herwerden 490 *τὸ* om. *L* 491 *ἀγῶνα* Greg. Cor. rhet. VII p. 1272 W. | *πρὸς τόνδε σοφίας τις ἂν ἀγὼν ἥκοι πέρι* Porson, *πρὸς τόνδ' ἀγὼν ἄν τι σοφίας εἴη πέρι* Nauck, fort. *πρὸς τόνδε σοφίας ἄνδρ' ἀγὼν ἥκει πέρι* 493 *γένετ'* mut. in *ἐγένετ' a*, *ἐγένετ' c*, *γένετ' ABEL*, *'γένετ' G* | *τίς ἂν γένοιτ' ἂν* Kirchhoff, *τίς ἀνδρῶν γέγονεν* Nauck, cfr. 506 496 *ἐξέπνευσ' AS* | *ἀγαμέμνον E* 497 *πληγῆς E* | *τῆς ἐμῆς θυγατρὸς AE*, *θυγατρὸς τῆς ἐμῆς* ceteri | *ὑπὲρ B*, *ες* super *ὲρ* scr. *b* (i. e. *ὑπ' ἐς*) | fort. *πληγεὶς γυναικὸς δικτύοις ὑπὲρ κάρα* 500 *χρῆν δ' B* 501 *διώκειν τ' A* 502 *ἀντὶ S*, *ἂν τῆς Ol* | *συμφορῆς B*

νῦν δ' ἐς τὸν αὐτὸν δαίμον' ἦλθε μητέρι.
κακὴν γὰρ αὐτὴν ἐνδίκως ἡγούμενος,
αὐτὸς κακίων ἐγένετο μητέρα κτανών.
ἐρήσομαι δέ, Μενέλεως, τοσόνδε σε·
εἰ τόνδ' ἀποκτείνειεν ὁμόλεκτρος γυνή,
χὠ τοῦδε παῖς αὖ μητέρ' ἀνταποκτενεῖ,
κἄπειθ' ὁ κείνου γενόμενος φόνῳ φόνον
λύσει, πέρας δὴ ποῖ κακῶν προβήσεται;
καλῶς ἔθεντο ταῦτα πατέρες οἱ πάλαι·
ἐς ὀμμάτων μὲν ὄψιν οὐκ εἴων περᾶν
οὐδ' εἰς ἀπάντημ', ὅστις αἷμ' ἔχων κυροῖ,
φυγαῖσι δ' ὁσιοῦν, ἀνταποκτείνειν δὲ μή.
αἰεὶ γὰρ εἷς ἔμελλ' ἐνέξεσθαι φόνῳ,
τὸ λοίσθιον μίασμα λαμβάνων χερός.
ἐγὼ δὲ μισῶ μὲν γυναῖκας ἀνοσίους,
πρώτην δὲ θυγατέρ', ἣ πόσιν κατέκτανεν·
Ἑλένην τε, τὴν σὴν ἄλοχον, οὔποτ' αἰνέσω
οὐδ' ἂν προσείποιμ'· οὐδὲ σὲ ζηλῶ, κακῆς
γυναικὸς ἐλθόνθ' εἵνεκ' ἐς Τροίας πέδον.
ἀμυνῶ δ', ὅσονπερ δυνατός εἰμι, τῷ νόμῳ,
τὸ θηριῶδες τοῦτο καὶ μιαιφόνον
παύων, ὃ καὶ γῆν καὶ πόλεις ὄλλυσ' ἀεί.
ἐπεὶ τίν' εἶχες, ὦ τάλας, ψυχὴν τότε,
ὅτ' ἐξέβαλλε μαστὸν ἱκετεύουσά σε
μήτηρ; ἐγὼ μὲν οὐκ ἰδὼν τἀκεῖ κακά,
δακρύοις γέροντ' ὀφθαλμὸν ἐκτήκω τάλας.
ἓν δ' οὖν λόγοισι τοῖς ἐμοῖς ὁμορροθεῖ·
μισῇ γε πρὸς θεῶν καὶ τίνεις μητρὸς δίκας,

---

504 *μητρὶ L μητέρι l* 506 *γένετο B*, *'γένετο G*, *γέγονε* Reisig, *μητέρ' ἐγένετο* Porson 507 *σε*] *γε L σε l* 509 *χὠ A*, *χὀ* A^2 511 *δὴ πῆ L*, *δὲ* (*δὴ* superscr. a^2) *ποῖ a*, *δὲ ποῖ ABEG* 514 *κυρεῖ* factum ex *κυροῖ* ut videtur in *EL* 515 *ὁσιοῦν A*, *ὡσίουν* A^2, *ὁσίουν B*, *ὡσίουν ba* (sed *ώ* scr. a^3) *ES* | *ἀνταποκτεῖναι BG* 516 *ἔμελλ' ἐνέξεσθαι B*, *ἔμελλεν ἕξεσθαι* ceteri | *φόνῳ AaS*, *φόνου BE*, *ου* super *ῳ* et *γενικῇ* super *ἕξεσθαι* scr. a^2 517 *χεροῖν BS* 519 *ἣ Aa*, *ἡ* A^2 | *κατέκτεινεν AB*, unde *κατέκτεινεν πόσιν* Hermann 520 *ἑλένην δὲ L* 522 *ἐλθόντ' οὕνεκ' A*, *οὕνεκ' ἐλθόντ' L*, *οὕνεκ'* etiam ceteri | *ἐς* hic in *BE* 523 *ἀμύνω OS* 525 *ἀεί*, *ει* ex *ι* facto, *A* 527 *ἐξέβαλε L* 530 *δ'* om. libri, add. Hermann 531 *γε* om. *G*, *σὺ* exhibet recentior liber, *τε* Porson

μανίαις ἀλαίνων καὶ φόβοις. τί μαρτύρων
ἄλλων ἀκούειν δεῖ μ', ἅ γ' εἰσορᾶν πάρα;
ὡς οὖν ἂν εἰδῇς, Μενέλεως, τοῖσιν θεοῖς
μὴ πρᾶσσ' ἐναντί', ὠφελεῖν τοῦτον θέλων,
ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις.
[ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός.]
θυγάτηρ δ' ἐμὴ θανοῦσ' ἔπραξεν ἔνδικα·
ἀλλ' οὐχὶ πρὸς τοῦδ' εἰκὸς ἦν αὐτὴν θανεῖν.
ἐγὼ δὲ τἄλλα μακάριος πέφυκ' ἀνήρ,
πλὴν ἐς θυγατέρας· τοῦτο δ' οὐκ εὐδαιμονῶ.

ΧΟ. ζηλωτὸς ὅστις ηὐτύχησεν ἐς τέκνα
καὶ μὴ 'πισήμους συμφορὰς ἐκτήσατο.

ΟΡ. ὦ γέρον, ἐγώ τοι πρὸς σὲ δειμαίνω λέγειν,
ὅπου γε μέλλω σήν τι λυπήσειν φρένα.
ἀπελθέτω δὴ τοῖς λόγοισιν ἐκποδὼν 548
τὸ γῆρας ἡμῖν τὸ σόν, ὅ μ' ἐκπλήσσει λόγου, 549
καὶ καθ' ὁδὸν εἶμι· νῦν δὲ σὴν ταρβῶ τρίχα. 550
ἐγὼ δ' ἀνόσιός εἰμι μητέρα κτανών, 546
ὅσιος δέ γ' ἕτερον ὄνομα, τιμωρῶν πατρί. 547
τί χρῆν με δρᾶσαι; δύο γὰρ ἀντίθες λόγω· 551
πατὴρ μὲν ἐφύτευσέν με, σὴ δ' ἔτικτε παῖς,
τὸ σπέρμ' ἄρουρα παραλαβοῦσ' ἄλλου πάρα·
[ἄνευ δὲ πατρὸς τέκνον οὐκ εἴη ποτ' ἄν.]
ἐλογισάμην οὖν τῷ γένους ἀρχηγέτῃ
κάλλιον ἀμυνεῖν τῆς ὑποστάσης τροφάς.
ἡ σὴ δὲ θυγάτηρ, μητέρ' αἰδοῦμαι λέγειν,
ἰδίοισιν ὑμεναίοισι κοὐχὶ σώφροσιν
ἐς ἀνδρὸς ᾔει λέκτρ'· ἐμαυτόν, ἢν λέγω

---

532 ἀλύων Herwerden | καὶ om. *L*, supra versum add. *l* 534 τοῖσι *ABG* 535 τούτων *A*, τοῦτον *A*² 537 πίβανε *A* | versum delevit Hermann (536 sq. deleverat Brunck, cfr. 625 sq.) 538 ἔνδικα *A*, sed κα in ras. scr. *A*², ἐνδίκως Kirchhoff 539 ἦν εἰκὸς *L* | αὐτὴν om. *G* 542 ηὐτύχησεν *aB*, εὐτύχηκεν *A*, εὐτύχησεν ceteri | ἐν τέκνοις Stob. fl. 75, 10 (qui 542 sq. Dicaeogeni tribuit) 543 καὶ μὴ 'πισήμοις συμφοραῖς ὠδύρετο Stobaeus 545 γε . . τι] Musgrave, σε . . τε libri | λυπῆσαι *B* 546 sq. post 550 transposuit Hartung 547 δ' ἕτερον *AB* 551 λόγω] Nauck, δυοῖν libri 552 ἐφύτευσέ *B* 554 (suspectum iam Facio) delevit Nauck 556 κάλλιον ἀμυνεῖν] Kirchhoff, μᾶλλον ἀμύναι (vel ἀμῦναι) *AS*, μᾶλλόν μ' ἀμύναι (ἀμῦναι) *aBE* 558 ὑμεναίοις *AL* ὑμεναίοισιν *l* 559 εἴη *G*

κακῶς ἐκείνην, ἐξερῶ· λέξω δ' ὅμως.
Αἴγισθος ἦν ὁ κρυπτὸς ἐν δόμοις πόσις.
τοῦτον κατέκτειν', ἐπὶ δ' ἔθυσα μητέρα,
ἀνόσια μὲν δρῶν, ἀλλὰ τιμωρῶν πατρί.
ἐφ' οἷς δ' ἀπειλεῖς ὡς πετρωθῆναί με χρή,
ἄκουσον ὡς ἅπασαν Ἑλλάδ' ὠφελῶ.
εἰ γὰρ γυναῖκες ἐς τόδ' ἥξουσιν θράσους,
ἄνδρας φονεύειν, καταφυγὰς ποιούμεναι
ἐς τέκνα, μαστοῖς τὸν ἔλεον θηρώμεναι,
παρ' οὐδὲν αὐταῖς ἦν ἂν ὀλλύναι πόσεις
ἐπίκλημ' ἐχούσαις ὅ τι τύχοι. δράσας δ' ἐγὼ
δείν', ὡς σὺ κομπεῖς, τόνδ' ἔπαυσα τὸν νόμον.
μισῶν δὲ μητέρ' ἐνδίκως ἀπώλεσα,
ἥτις μεθ' ὅπλων ἄνδρ' ἀπόντ' ἐκ δωμάτων
πάσης ὑπὲρ γῆς Ἑλλάδος στρατηλάτην
προύδωκε κοὐκ ἔσωσ' ἀκήρατον λέχος·
ἐπεὶ δ' ἁμαρτοῦσ' ᾔσθετ', οὐχ αὑτῇ δίκην
ἐπέθηκεν, ἀλλ', ὡς μὴ δίκην δοίη πόσει,
ἐζημίωσε πατέρα κἀπέκτειν' ἐμόν.
πρὸς θεῶν· ἐν οὐ καλῷ μὲν ἐμνήσθην θεῶν,
φόνον δικάζων· εἰ δὲ δὴ τὰ μητέρος
σιγῶν ἐπῄνουν, τί μ' ἂν ἔδρασ' ὁ κατθανών;
οὐκ ἄν με μισῶν ἀνεχόρευ' Ἐρινύσιν;
ἢ μητρὶ μὲν πάρεισι σύμμαχοι θεαί,
τῷ δ' οὐ πάρεισι, μᾶλλον ἠδικημένῳ;
σύ τοι φυτεύσας θυγατέρ', ὦ γέρον, κακὴν
ἀπώλεσάς με· διὰ τὸ γὰρ κείνης θράσος
πατρὸς στερηθείς, ἐγενόμην μητροκτόνος.
ὁρᾷς, Ὀδυσσέως ἄλοχον οὐ κατέκτανε
Τηλέμαχος· οὐ γὰρ ἐπεγάμει πόσει πόσιν,

---

561 οἱ κρυπτὸς Nauck 564 χρή] δεῖ *BL* 566 ἥξουσι *AaEG*, ἥκουσι *B* | θράσος *aB*, θράσους a^3 569 παρδ' *A* | ἦν ἂν αὐταῖς *B* 573 ἀπόντα δωμάτων *h* 574 γὴν *A* 575 ἔσωσ' | King, ἔσωσεν libri 576 οὐκ αὐτὴ *A* 577 δοίῃ *A* 579 ἐν οὐ] οὐκ ἐν *G* 580 ματέρος *AE* 581 ἔδρασεν *E* | ὁ *A*, οὐ A^2 582 ἐριννύσιν *BES* 585 τοι om. *A* | γέρον, ο in ras. literae ω, *G* 586 τὸ γὰρ recentiores quidam libri, γὰρ τὸ *OS* 588—90, quos habet Clem. Alex. Paed. 3 p. 279, delet Dindorf 588 οὐκ ἔκτανε *G* 589 πόσιν πόσει *B*

μένει δ' ἐν οἴκοις ὑγιὲς εὐνατήριον.
ὁρᾷς, Ἀπόλλων ὃς μεσομφάλους ἕδρας
ναίων βροτοῖσι στόμα νέμει σαφέστατον,
ᾧ πειθόμεσθα πάνθ' ὅσ' ἂν κεῖνος λέγῃ,
τούτῳ πιθόμενος τὴν τεκοῦσαν ἔκτανον.
ἐκεῖνον ἡγεῖσθ' ἀνόσιον καὶ κτείνετε·
ἐκεῖνος ἥμαρτ', οὐκ ἐγώ. τί χρῆν με δρᾶν;
ἢ οὐκ ἀξιόχρεως ὁ θεὸς ἀναφέροντί μοι
μίασμα λῦσαι; ποῖ τις οὖν ἔτ' ἂν φύγοι,
[εἰ μὴ ὁ κελεύσας ῥύσεταί με μὴ θανεῖν;]
ἀλλ' ὡς μὲν οὐκ εὖ μὴ λέγ' εἴργασται τάδε,
ἡμῖν δὲ τοῖς δράσασιν οὐκ εὐδαιμόνως.
γάμοι δ' ὅσοις μὲν εὖ καθεστᾶσιν βροτῶν,
μακάριος αἰών· οἷς δὲ μὴ πίπτουσιν εὖ,
τά τ' ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς.

ΧΟ. αἰεὶ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς
ἔφυσαν ἀνδρῶν πρὸς τὸ δυστυχέστερον.

ΤΥ. ἐπεὶ θρασύνῃ κοὐχ ὑποστέλλῃ λόγῳ,
οὕτω δ' ἀμείβῃ μ' ὥστε μ' ἀλγῆσαι φρένα,
μᾶλλόν μ' ἀνάψεις ἐπὶ σὸν ἐξελθεῖν φόνον·
καλὸν πάρεργον δ' αὐτὸ θήσομαι πόνων
ὧν εἵνεκ' ἦλθον θυγατρὶ κοσμήσων τάφον.
μολὼν γὰρ εἰς ἔκκλητον Ἀργείων ὄχλον
ἑκοῦσαν οὐχ ἑκοῦσαν ἐπισείσω πόλιν
σοὶ σῇ τ' ἀδελφῇ, λεύσιμον δοῦναι δίκην.
μᾶλλον δ' ἐκείνη σοῦ θανεῖν ἐστ' ἀξία,

590 εὐναστήριον libri 591 ὁρᾷς δ' *aBEL* | ἀπόλλων' *A*[2]*aES* 592 ναίει βροτοῖσιν εἰς στόμα νέμων σαφέστατα Clem. Alex. Protr. p. 65 593 πειθόμεθα *A* | ἐκεῖνος *G* | λέγει *L*, λέγῃ *l* | versum, quem om. Clemens, delet Nauck 594 τούτῳ πειθόμενος *OS*, κείνῳ πειθόμενος Clemens 595 κτείνατε Clemens, κρίνετε Tournier 596 χρῆν *aG*, χρῆ *AB*, χρή *EL* | versus suspectus, cfr. 551 597 ἢ *A*, εἰ *A*[2] 598 πῆ τις ἔτ' ἂν φύγῃ *L*, οὖν supra v. add. *l* 599 delevi 601 suspectus 602 ὅσοι *L* | καθεστάσι *B*, καθεστᾶσι *ES* 603 συμπίπτουσιν *B*, πίτνουσιν Stob. fl. 69, 13 cod. *A* 604 θύρασι Herwerden | δυστυχῆ *L* 605 ἀεὶ Stob. fl. 73, 34 606 εἰς τὸ *B* | δυστυχέστατον Stobaeus, δυσχερέστερον recentiores nonnulli 609 ἀνάψεις *G*, ἀνάξεις ceteri, ἀνάπτεις Herwerden | εἰς σὸν *B* | ἐλθεῖν *h* 611 εἵνεκ' *B*, οὕνεκ' ceteri | θυγατρὶ *a*, ὸς superscr. *a*[2] 612 ἀργείων χορὸν *L* 613 οὐχ ἑκοῦσαν] Canter, οὐκ ἄκουσαν libri | ἀνασείσω *E*, ἐκπείσω γρ. σ' ἀναπείσω *E* 615 θανεῖν ἐπαξία Elmsley

ἢ τῇ τεκούσῃ σ' ἠγρίωσ', ἐς οὖς ἀεὶ
πέμπουσα μύθους ἐπὶ τὸ δυσμενέστερον,
ὀνείρατ' ἀγγέλλουσα τἀγαμέμνονος,
καὶ τοῦθ' ὃ μισήσειαν Αἰγίσθου λέχος
οἱ νέρτεροι θεοί· καὶ γὰρ ἐνθάδ' ἦν πικρόν·
ἕως ὑφῆψε δῶμ' ἀνηφαίστῳ πυρί.
Μενέλαε, σοὶ δὲ τάδε λέγω δράσω τε πρός·
εἰ τοὐμὸν ἔχθος ἐναριθμῇ κῆδός τ' ἐμόν,
μὴ τῷδ' ἀμύνειν φόνον ἐναντίον θεοῖς·
[ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις,]
ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός.
τοσαῦτ' ἀκούσας ἴσθι, μηδὲ δυσσεβεῖς
ἕλῃ παρώσας εὐσεβεστέρους φίλους·
ἡμᾶς δ' ἀπ' οἴκων ἄγετε τῶνδε, πρόσπολοι.

ΟΡ. στεῖχ', ὡς ἀθορύβως οὑπιὼν ἡμῖν λόγος
πρὸς τόνδ' ἵκηται, γῆρας ἀποφυγὼν τὸ σόν.
Μενέλαε, ποίᾳ πόδ' ἐπὶ συννοίᾳ κυκλεῖς,
διπλῆς μερίμνης διπτύχους ἰὼν ὁδούς;

ΜΕ. ἔασον· ἐν ἐμαυτῷ τι συννοούμενος,
ὅποι τράπωμαι τῆς τύχης ἀμηχανῶ.

ΟΡ. μή νυν πέραινε τὴν δόκησιν, ἀλλ' ἐμοὺς
λόγους ἀκούσας πρόσθε, βουλεύου τότε.

ΜΕ. λέγ'· εὖ γὰρ εἶπας. ἔστιν οὗ σιγὴ λόγου
κρείσσων γένοιτ' ἄν, ἔστι δ' οὗ σιγῆς λόγος.

ΟΡ. [λέγοιμ' ἂν ἤδη. τὰ μακρὰ τῶν σμικρῶν λόγων
ἐπίπροσθέν ἐστι καὶ σαφῆ μᾶλλον κλύειν.]
ἐμοὶ σὺ τῶν σῶν, Μενέλεως, μηδὲν δίδου,
ἃ δ' ἔλαβες ἀπόδος πατρὸς ἐμοῦ λαβὼν πάρα.
[οὐ χρήματ' εἶπον· χρήματ', ἢν ψυχὴν ἐμὴν

---

616 σ' om. *L* add. *l* 618 ἀπαγγέλλουσα *A* 622 δὲ om. *E* 624 fort. ἄμυνε 625 delevit Kaiser, cfr. 536 627 δυσεβεῖς *A* 629 ἡμεῖς *L*, ἡμᾶς *l* | ἐπ' οἴκων ἄγεται . . πρόσπολος *A*, πρόσπολοι A^2 630 οὑπιὼν *B*, ἀπιὼν *b* 632 ποίᾳ] scripsi, ποῖ σὸν libri | κυκλεῖς superscr. οῖς *B*, κυκλεῖς fecit ex κυκλοῖς *E*, κινεῖς *L* 634 συνοούμενος *L* 635 ὅποι *S*, ὅπῃ ceteri (et *l*) 636 μή νυν] Porson, μὴ νῦν libri 638 ἔστιν] Kirchhoff, ἔστι δ' libri | ἔστι δ' οὗ σιγῇ λόγου in ras. scr. *A* | σιγῆς λόγος *E* 639 κρεῖττον *G* | σιγῇ *A*, σιγῆς A^2 | σιγὴ λόγου *E* 640 sq. schol. ἔνιοι ἀθετοῦσι τοῦτον καὶ τὸν ἑξῆς στίχον· οὐκ ἔχουσι γὰρ τὸν Εὐριπίδειον χαρακτῆρα 644—51 ut suspectos seclusi

σώσῃς, ἅπερ μοι φίλτατ' ἐστὶ τῶν ἐμῶν.
ἀδικῶ· λαβεῖν χρή μ' ἀντὶ τοῦδε τοῦ κακοῦ
ἄδικόν τι παρὰ σοῦ· καὶ γὰρ Ἀγαμέμνων πατὴρ
ἀδίκως ἀθροίσας Ἑλλάδ' ἦλθ' ὑπ' Ἴλιον,
οὐκ ἐξαμαρτὼν αὐτός, ἀλλ' ἁμαρτίαν
τῆς σῆς γυναικὸς ἀδικίαν τ' ἰώμενος.
ἓν μὲν τόδ' ἡμῖν ἀνθ' ἑνὸς δοῦναί σε χρή.]
ἀπέδοτο δ', ὡς χρὴ τοῖς φίλοισι τοὺς φίλους,
τὸ σῶμ' ἀληθῶς, σοὶ παρ' ἀσπίδ' ἐκπονῶν,
ὅπως σὺ τὴν σὴν ἀπολάβοις ξυνάορον.
ἀπότισον οὖν μοι ταὐτὸ τοῦτ' ἐκεῖ λαβών,
μίαν πονήσας ἡμέραν ἡμῶν ὕπερ
σωτήριος στάς, μὴ δέκ' ἐκπλήσας ἔτη.
ἃ δ' Αὐλὶς ἔλαβε σφάγι' ἐμῆς ὁμοσπόρου,
ἐῶ σ' ἔχειν ταῦθ'· Ἑρμιόνην μὴ κτεῖνε σύ.
δεῖ γάρ σ' ἐμοῦ πράσσοντος ὡς πράσσω τὰ νῦν
πλέον φέρεσθαι, κἀμὲ συγγνώμην ἔχειν.
ψυχὴν δ' ἐμὴν δὸς τῷ ταλαιπώρῳ πατρὶ
κἀμῆς ἀδελφῆς, παρθένου μακρὸν χρόνον·
θανὼν γὰρ οἶκον ὀρφανὸν λείψω πατρός.
ἐρεῖς· ἀδύνατον. αὐτὸ τοῦτο· τοὺς φίλους
ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν·
ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;
ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς ὠφελεῖν θέλων.
φιλεῖν δάμαρτα πᾶσιν Ἕλλησιν δοκεῖς·
κοὐχ ὑποτρέχων σε τοῦτο θωπείᾳ λέγω·
ταύτης ἱκνοῦμαί σ'. ὢ μέλεος ἐμῶν κακῶν,
ἐς οἷον ἥκω. τί δέ; ταλαιπωρεῖν με δεῖ·
ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε.

648 *εἰς ἴλιον B* et *ει* ex *υ* correcto *S*, *ἐς ἴλιον E*, *ἦλθεν Ἴλιον* Lenting 651 *εἶναι* superscr. *δοῦναι B* | *χρῆν L χρή l* 652 *ἀπέδο A* 654 *ἀπολάβοις* recentiores nonnulli, *ἀπολάβῃς OS* 656 sq. *μίαν πονήσας* et *σωτήριος στάς* permutat Nauck 658—64 suspecti (662—4 iam Nauck olim suspectos habuit) 659 *ἕως AB*, *ἐῶ σ' A²b* | *κτεῖναι A* 667 *δεῖ B*, *χρὴ* superscr. *δεῖ a*, *δεῖ* Aristot. Eth. Nic. X 9, Mor. Magn. II 15, Plut. Mor. p. 68 E, *χρὴ* ceteri 669 *ἕλλησι πᾶσι δάμαρτα L*, *ἕλλησι* etiam *BG* 670 *κ' A*, *κοὐχ A²* 671 *μέλεε G* | *ἐμῶν* in ras. scr. et *κακόν* in *κακῶν* corr. *b*, fort. *ἐγώ, κακὸν* (*ἐγὼ κακῶν* Porson edidit) 672 *δεῖ γρ. χρῆ A*

ὦ πατρὸς ὅμαιμε θεῖε, τοῦ κατὰ χθονὸς
θανόντος ἱκετεύειν δόκει ποτωμένην
ψυχὴν ὑπὲρ σοῦ, καὶ λέγειν ἁγὼ λέγω
ταὔτ' ἔς τε δάκρυα καὶ γόους καὶ συμφοράς.
εἴρηκα κἀπήτηκα τὴν σωτηρίαν,
θηρῶν ὃ πάντες κοὐκ ἐγὼ ζητῶ μόνος.
ΧΟ. κἀγώ σ' ἱκνοῦμαι καὶ γυνή περ οὖσ' ὅμως
τοῖς δεομένοισιν ὠφελεῖν· οἷός τε δ' εἶ.
ΜΕ. Ὀρέστ', ἐγώ τοι σὸν καταιδοῦμαι κάρα
καὶ ξυμπονῆσαι σοῖς κακοῖσι βούλομαι·
καὶ χρὴ γὰρ οὕτω τῶν δμαιμόνων κακὰ
ξυνεκκομίζειν, δύναμιν ἢν διδῷ θεός,
[θνήσκοντα καὶ κτείνοντα τοὺς ἐναντίους]·
τὸ δ' αὖ δύνασθαι πρὸς θεῶν χρῄζω τυχεῖν.
ἥκω γὰρ ἀνδρῶν συμμάχων κενὸν δόρυ
ἔχων, πόνοισι μυρίοις ἀλώμενος,
σμικρᾷ σὺν ἀλκῇ τῶν λελειμμένων φίλων.
μάχῃ μὲν οὖν ἂν οὐχ ὑπερβαλοίμεθα
Πελασγὸν Ἄργος· εἰ δὲ μαλθακοῖς λόγοις
δυναίμεθ', ἐνταῦθ' ἐλπίδος προσήκομεν.
σμικροῖσι γὰρ τὰ μεγάλα πῶς ἕλοι τις ἂν
[πόνοισιν; ἀμαθὲς καὶ τὸ βούλεσθαι τόδε.]
ὅταν γὰρ ἡβᾷ δῆμος εἰς ὀργὴν πεσών,
ὅμοιον ὥστε πῦρ κατασβέσαι λάβρος·
εἰ δ' ἡσύχως αὐτῷ τις ἐκτείνοντι μὲν

---

674 sq. *τοῦ . . θανόντος ἱκετεύειν*] Heimsoeth, *τὸν . . θανόντ' ἀκούειν τάδε* libri 676 *ἃ ἐγὼ A* 677 *ταὔτ'*] Kirchhoff, *ταῦτ'* libri 678 *εἴρηκ' ἀπήτηκα A* 679 *ζητῶ* om. *A* supplevit *A*[2] 680 *ΧΟ.*] Canter, *ΗΛ.* libri 681 *τε δεῖ B*, *τέ δ' εἶ* et in marg. *γρ. καὶ ὅσος τέ δ' εἶ b* 682 *ἐγὼ τὸ σὸν B* 683 *κακοῖσιν L* 684 fort. *καὶ δεῖ* 685 *ξυνεκκομίζειν L*, *συνεκκομίζειν* ceteri 686 delevit Hermann 687 *τοῦ δ' S* 690 *σμικρὰ A* 692 sq. fort. *μαλθακῶν λόγων ὀναίμεθ'* 693 *δυναίμεσθ' ἐνταῦτ' . . προήκομεν B* (*προσήκομεν b*) 694 *γὰρ*] Barnes, *μὲν γὰρ AaBS*, *μὲν E* 695 om. *E*, delevit Brunck (694 sq. delet Weil) | *ἀμαθὲς γὰρ καὶ AL* | *τόδε*] King, *τάδε OS* 696 *ὅταν γὰρ ὀργῇ δῆμος εἰς θυμὸν πέσῃ* Stob. fl. 46, 5, *ὅταν γὰρ ὀργᾷ δῆμος ἐς θυμὸν πεσών* Naber 697 *ὅμοιος c* | *ὥσπερ* Stobaeus | *λάβρος*] scripsi, *λάβρον* libri 698 *αὐτῷ τις*] Brunck, *τις αὐτὸν ABL*, *τις αὑτὸν B*, *τις αὑτὸν* mut. in *τις αὐτὸν a*, *τις αὐτῷ E*, *τις αὐτῶ γ' G*, *τις αὐτὸς c* 698 sq. *ἐκτείνοντι μὲν κάλων*] scripsi, *ἐντείνοντι*

κάλων ὑπείκοι καιρὸν εὐλαβούμενος,
ἴσως ἂν ἐκπνεύσειεν· ἢν δ᾽ ἀνῇ πνοάς,
τύχοις ἂν αὐτοῦ ῥᾳδίως ὅσον θέλεις.
ἔνεστι δ᾽ οἶκτος, ἔνι δὲ καὶ θυμὸς μέγας,
καραδοκοῦντι κτῆμα τιμιώτατον.
ἐλθὼν δὲ Τυνδάρεών τέ σοι πειράσομαι
πόλιν τε πεῖσαι τῷ λίαν χρῆσθαι καλῶς.
καὶ ναῦς γὰρ ἐνταθεῖσα πρὸς βίαν ποδὶ
ἔβαψεν, ἔστη δ᾽ αὖθις, ἢν χαλᾷ πόδα.
μισεῖ γὰρ ὁ θεὸς τὰς ἄγαν προθυμίας,
μισοῦσι δ᾽ ἀστοί· δεῖ δέ μ᾽ · οὐκ ἄλλως λέγω·
σῴζειν σε σοφίᾳ, μὴ βίᾳ τῶν κρεισσόνων.
ἀλκῇ δέ σ᾽ οὐκ ἄν, ᾗ σὺ δοξάζεις ἴσως,
σώσαιμ᾽ ἄν· οὐ γὰρ ῥᾴδιον λόγχῃ μιᾷ
στῆσαι τρόπαια τῶν κακῶν ἅ σοι πάρα.
οὐ γάρ ποτ᾽ Ἄργους γαῖαν ἐς τὸ μαλθακὸν
προσηγόμεσθα· νῦν δ᾽ ἀναγκαίως ἔχει
δούλοισιν εἶναι τοῖς σοφοῖσι τῆς τύχης.

ΟΡ. ὦ πλὴν γυναικὸς εἵνεκα στρατηλατεῖν
τἄλλ᾽ οὐδέν, ὦ κάκιστε τιμωρεῖν φίλοις,
φεύγεις ἀποστραφείς με, τὰ δ᾽ Ἀγαμέμνονος
φροῦδ᾽; ἄφιλος ἦσθ᾽ ἄρ᾽, ὦ πάτερ, πράσσων κακῶς.
οἴμοι, προδέδομαι, κοὐκέτ᾽ εἰσὶν ἐλπίδες,
ὅποι τραπόμενος θάνατον Ἀργείων φύγω·
οὗτος γὰρ ἦν μοι καταφυγὴ σωτηρίας.

μὲν χαλῶν libri, cfr. Med. 278, Plat. Prot. 388 *A* | ὑπείκει *L* et mut. in ὑπείκοι *G*, ἕποιτο Stob. fl. 46, 5 700 ἢν] Nauck, ὅταν libri, ὅτε Kirchhoff 701 τύχης *L* 702 ἔνεστιν οἶκτος *a* | ἔστι δὲ καὶ *E* 704 τυνδάρεω *BL* | σοί τε *L* | schol. γρ. ἐλθὼν γὰρ ἐγώ σοι Τυνδάρεων πειράσομαι 705 πόλει . . τὸ *B*, πόλιν . . τῷ *b* | πεῖσαι] πείθων Weil, fort. θέλγων | λεῖαν *A*, λίαν *A*² 707 ἔστησε *G* | χαλὰ *A* | χαλᾷς πάλιν Herwerden 709 αὐτοὶ *A*, ἀστοὶ *A*² 710 σώιζειν habet *A* | κρειττόνων *L* 714 sq. Ἄργους εἵνεκ᾽ . . προσηγόμεσθ᾽ ἂν F. Gu. Schmidt (προσηγόμεσθ᾽ ἂν iam Schaefer, Ἄργους γ᾽ ἕνεκ᾽ ἂν . . προσηγόμεσθα Hermann) | Ἄργους] schol. γράφεται δὲ καὶ χωρὶς τοῦ σ̄, ἵν᾽ ᾖ Ἄργου γαῖαν. Ἀριστοφάνης δὲ μετὰ τοῦ σ̄ | προσηγόμεθα *EL* 714—16 delet Dindorf 717 *ΟΡ.* om. *G* add. *g* 718 τἄλλα δ᾽ οὐδὲν *AL*, fort. τἄλλ᾽ ἀδύνατ᾽ 721 ἄρ᾽ om. *B* add. *b* 723 ὅποι *L*, ὅπῃ vel ὅπη ceteri (etiam *l*) 724 σωτηρίας γρ. συμφορὰς *A*, συμφορᾶς superscr. *b*, σωτήριος *F*, fort. τρικυμίας

ἀλλ' εἰσορῶ γὰρ τόνδε φίλτατον βροτῶν
Πυλάδην δρόμῳ στείχοντα Φωκέων ἄπο,
ἡδεῖαν ὄψιν· πιστὸς ἐν κακοῖς ἀνὴρ
κρείσσων γαλήνης ναυτίλοισιν εἰσορᾶν.

ΠΥΛΑΔΗΣ.

θᾶσσον ἤ με χρῆν προβαίνων ἱκόμην δι' ἄστεως,
σύλλογον πόλεως ἀκούσας, τὸν δ' ἰδὼν αὐτὸς σαφῶς,
ἐπὶ σὲ σύγγονόν τε τὴν σήν, ὡς κτενοῦντας αὐτίκα.
τί τάδε; πῶς ἔχεις; τί πράσσεις, φίλταθ' ἡλίκων ἐμοὶ
καὶ φίλων καὶ συγγενείας; πάντα γὰρ τάδ' εἶ σύ μοι.
ΟΡ. οἰχόμεσθ', ὡς ἐν βραχεῖ σοι τἀμὰ δηλώσω κακά.
ΠΥ. συγκατασκάπτοις ἂν ἡμᾶς· κοινὰ γὰρ τὰ τῶν φίλων.
ΟΡ. Μενέλεως κάκιστος ἔς με καὶ κασιγνήτην ἐμήν.
ΠΥ. εἰκότως, κακῆς γυναικὸς ἄνδρα γίγνεσθαι κακόν.
ΟΡ. ὥσπερ οὐκ ἐλθὼν ἔμοιγε ταὐτὸν ἀπέδωκεν μολών.
ΠΥ. ἦ γάρ ἐστιν ὡς ἀληθῶς τήνδ' ἀφιγμένος χθόνα;
ΟΡ. χρόνιος· ἀλλ' ὅμως τάχιστα κακὸς ἐφωράθη φίλοις.
ΠΥ. καὶ δάμαρτα τὴν κακίστην ναυστολῶν ἐλήλυθεν;
ΟΡ. οὐκ ἐκεῖνος, ἀλλ' ἐκείνη κεῖνον ἐνθάδ' ἤγαγεν.
ΠΥ. ποῦ 'στιν ἣ πλείστους 'Αχαιῶν ὤλεσεν γυνὴ μία;
ΟΡ. ἐν δόμοις ἐμοῖσιν, εἰ δὴ τούσδ' ἐμοὺς καλεῖν χρεών.
ΠΥ. σὺ δὲ τίνας λόγους ἔλεξας σοῦ κασιγνήτῳ πατρός;
ΟΡ. μή μ' ἰδεῖν θανόνθ' ὑπ' ἀστῶν καὶ κασιγνήτην ἐμήν.
ΠΥ. πρὸς θεῶν, τί πρὸς τάδ' εἶπε; τόδε γὰρ εἰδέναι θέλω.
ΟΡ. ηὐλαβεῖθ', ὃ τοῖς φίλοισι δρῶσιν οἱ κακοὶ φίλοι.
ΠΥ. σκῆψιν ἐς ποίαν προβαίνων; τοῦτο πάντ' ἔχω μαθών.
ΟΡ. οὗτος ἦλθ' ὁ τὰς ἀρίστας θυγατέρας σπείρας πατήρ.

---

729 με χρῆν *A*, μ' ἐχρῆν ceteri | προάστεος *A*, δι' ἄστεος ceteri 730 τὸν δ' εἶδον mut. in τόνδ' ἰδὼν *a*, fort. εἶτ' ἰδὼν 731 κτανοῦντας mut. in κτενοῦντας *B* 732 φιλτατ ἡλίκων *A*, φίλτατ' ἀνθρώπων, omisso ἐμοί, *B* 734 οἰχόμεθ' *AB* | σοι om. *L* supplevit *l* | κακά] λόγῳ Nauck 735 συγκατασκάπτεις ἄρ' Nauck 736 εἰς 'μὲ *A*, εἰς ἐμὲ ceteri 737 εἰκὸς ὡς Kirchhoff (εἰκόθ' ὡς Boissonade), εἰκὸς ἦν Hermann | γίνεσθαι *BG*, γενέσθαι mut. in γίνεσθαι *a* 738 ὥσπερ *A*, ὅσπερ *A*[2] | ἀπέδωκε *aES* 740 χρόνιος om. *G* 741 ναυστολήσων *G* 742 ἤγαγε *B* 743 ὤλεσε *BEG* 744 δόμοισι τοῖς ἐμοῖσιν *G* 747 τοῦτο γὰρ εἰδέναι ποθῶ *B* 748 εὐλαβεῖσθ' *B*, εὐλαβεῖθ', εἶ ex οἶ facto, *G*, εὐλαβεῖσθ' mut. in ηὐλαβεῖθ' *a*, εὐλαβεῖθ' ceteri | φίλοις *BL* 749 ἐς hic *A* | μαθεῖν *A*, μαθὼν superscr. εῖν *B* 750 ἦλθεν *B* | σπείρας πατήρ] schol. γράφεται καὶ κεκτημένος

ΠΥ. Τυνδάρεων λέγεις· ἴσως σοι θυγατέρος θυμούμενος.
ΟΡ. αἰσθάνῃ. τὸ τοῦδε κῆδος μᾶλλον εἵλετ' ἢ πατρός.
ΠΥ. κοὐκ ἐτόλμησεν πόνων σῶν ἀντιλάζυσθαι παρών;
ΟΡ. οὐ γὰρ αἰχμητὴς πέφυκεν, ἐν γυναιξὶ δ' ἄλκιμος.
ΠΥ. ἐν κακοῖς ἄρ' εἶ μεγίστοις, καί σ' ἀναγκαῖον θανεῖν.
ΟΡ. ψῆφον ἀμφ' ἡμῶν πολίτας ἐπὶ φόνῳ θέσθαι χρεών.
ΠΥ. ἣ κρινεῖ τί χρῆμα; λέξον· διὰ φόβου γὰρ ἔρχομαι.
ΟΡ. ἢ θανεῖν ἢ ζῆν· ὁ μῦθος οὐ μακρὸς μακρῶν πέρι.
ΠΥ. φεῦγέ νυν λιπὼν μέλαθρα σὺν κασιγνήτῃ σέθεν.
ΟΡ. οὐχ ὁρᾷς; φυλασσόμεσθα φρουρίοισι πανταχῇ.
ΠΥ. εἶδον ἄστεως ἀγυιὰς τεύχεσιν πεφραγμένας.
ΟΡ. ὡσπερεὶ πόλις πρὸς ἐχθρῶν σῶμα πυργηρούμεθα.
ΠΥ. κἀμὲ νῦν ἐροῦ τί πάσχω· καὶ γὰρ αὐτὸς οἴχομαι.
ΟΡ. πρὸς τίνος; τοῦτ' ἂν προσείη τοῖς ἐμοῖς κακοῖς κακόν.
ΠΥ. Στρόφιος ἤλασέν μ' ἀπ' οἴκων φυγάδα θυμωθεὶς πατήρ.
ΟΡ. ἴδιον ἢ κοινὸν πολίταις ἐπιφέρων ἔγκλημά τι;
ΠΥ. ὅτι συνηράμην φόνον σοι μητρός, ἀνόσιον λέγων.
ΟΡ. ὦ τάλας, ἔοικε καὶ σὲ τἀμὰ λυπήσειν κακά.
ΠΥ. οὐχὶ Μενέλεω τρόποισι χρώμεθ'· οἰστέον τάδε.
ΟΡ. οὐ φοβῇ μή σ' Ἄργος ὥσπερ κἄμ' ἀποκτεῖναι θέλῃ;
ΠΥ. οὐ προσήκομεν κολάζειν τοῖσδε, Φωκέων δὲ γῇ.
ΟΡ. δεινὸν οἱ πολλοί, κακούργους ὅταν ἔχωσι προστάτας.
ΠΥ. ἀλλ' ὅταν χρηστοὺς λάβωσι, χρηστὰ βουλεύουσ' ἀεί.

---

751 θυγατέρας *A*, θυγατέρος A^2, θυγατέρος *L*, sed τέρος in ras. scr. *l*, θυγατρὸς *G* 752 τὸ om. *L* | τούτου δὲ *B* 753 ἐτόλμησε *OS* 755 γὰρ *A* | ἢ *G* | θανεῖν] φθάνειν Hennig 756 ἀμφ' *AaG*, καθ' *BE*, ὑπερθ' *L* 757 κρίνει *Aa*, κρινεῖ a^3 | λέξον χρῆμα *B* 758 μῦθος δ' *AaEL*, δ' om. *BFG*, delevit Brunck 759 νῦν *A* | μέλαθρον *B* 760 φυλασσόμεθα *AS* | φρουρίοις πανταχῇ *A*, φρουρίοις ἁπανταχῇ *E* | φρουρίοισι (ι in ras.) *B* | πανταχοῦ *BP*, fort. πάντοθεν 761 ἄστεως *L*, ἄστεος ceteri | ἀγυὰς *E* | τεύχεσι *EGB* (τεύχεσιν *b*) 762 ὥσπερ *B* | ἐχθρῶν] fort. ἀστῶν | σῶμα] fort. δῶμα | Hesych. πυργηρούμεθα· ἐντὸς ἐσμὲν τῶν πύργων, οὐ τολμῶμεν ἐξιέναι. γράφεται δὲ πυργιούμεθα (πυργυρούμεθα Valckenaer) 763—71 delet A. Grueninger 765 ἤλασσέ *L*, ἤλασε *BEG* | ἀπ' οἴκων om. *B* supplevit *b* | θυμωδεὶς *A*, θυμωθεὶς A^2 766 ἔγκληματι *AB*, ἔγκλημά τι A^2b 767 συνηράμην *AE* | σοι φόνον *AG* 770 θέλῃ γρ. βίαν *A* (i. e. ἀποκτείνῃ βίᾳ), θέλῃ *a*, οι superscr. a^3, θέλει *E*, θέλοι *L* 771 προσῆκον με *B*, προσήκομεν *b* 773 βουλεύωσ' *L* | βουλεύουσι δή Vitelli, fort. βουλεύοιεν ἄν

ΟΡ. *εἶεν. ἐς κοινὸν λέγειν χρή.* ΠΥ. *τίνος ἀναγκαίου πέρι;*
ΟΡ. *εἰ λέγοιμ' ἀστοῖσιν ἐλθὼν* ΠΥ. *ὡς ἔδρασας ἔνδικα;*
ΟΡ. *πατρὶ τιμωρῶν γ' ἐμαυτοῦ.* ΠΥ. *μὴ οὐ λάβωσί σ' ἄσμενοι.*
ΟΡ. *ἀλλ' ὑποπτήξας σιωπῇ κατθάνω;* ΠΥ. *δειλὸν τόδε.*
ΟΡ. *πῶς ἂν οὖν δρῴην;* ΠΥ. *ἔχεις τιν', ἢν μένῃς, σωτηρίαν;*
ΟΡ. *οὐκ ἔχω.* ΠΥ. *μολόντι δ' ἐλπίς ἐστι σωθῆναι κακῶν;*
ΟΡ. *εἰ τύχοι, γένοιτ' ἄν.* ΠΥ. *οὐκοῦν τοῦτο κρεῖσσον ἢ μένειν.*
ΟΡ. *ἀλλὰ δῆτ' ἔλθω.* ΠΥ. *θανὼν γοῦν ὧδε κάλλιον θανῇ.*
ΟΡ. *εὖ λέγεις· φεύγω τὸ δειλὸν τῇδε.* ΠΥ. *μᾶλλον ἢ μένων.*
ΟΡ. *καὶ τὸ πρᾶγμά γ' ἔνδικόν μοι.* ΠΥ. *τὸ δοκεῖν εὔχου μόνον.*
ΟΡ. *καί τις ἄν γέ μ' οἰκτίσειε* ΠΥ. *μέγα γὰρ ηὑγένειά σου.*
ΟΡ. *θάνατον ἀσχάλλων πατρῷον.* ΠΥ. *πάντα ταῦτ' ἐν ὄμμασιν.*
ΟΡ. *ἰτέον, ὡς ἄνανδρον ἀκλεῶς κατθανεῖν.* ΠΥ. *αἰνῶ τάδε.*
ΟΡ. *ἦ λέγωμεν οὖν ἀδελφῇ ταῦτ' ἐμῇ;* ΠΥ. *μὴ πρὸς θεῶν.*
ΟΡ. *δάκρυα γοῦν γένοιτ' ἄν.* ΠΥ. *οὐκοῦν οὗτος οἰωνὸς μέγας.*
ΟΡ. *δηλαδὴ σιγᾶν ἄμεινον.* ΠΥ. *τῷ χρόνῳ δὲ κερδανεῖς.*
ΟΡ. *κεῖνό μοι μόνον πρόσαντες.* ΠΥ. *τί τόδε καινὸν αὖ λέγεις;*
ΟΡ. *μὴ θεαί μ' οἴστρῳ κατάσχωσ'.* ΠΥ. *ἀλλὰ κηδεύσω σ' ἐγώ.*
ΟΡ. *δυσχερὲς ψαύειν νοσοῦντος ἀνδρός.* ΠΥ. *οὐκ ἔμοιγε σοῦ.*

---

775 *ἔδρασας*] *ἔπραξας BL* 776 *τιμωρῶν, ῶ* ex *ὁ* facto, *B* | *γ'* om. libri, addidit Kirchhoff | *οὐ* om. libri, supplevit Brunck 777 *δεινὸν τόδε aE* 778—86 notas Orest. om. *L* 778 *οὖν ἂν EL* | *μένεις A*, *μένῃς* A^2, *μείνῃς L* 779 *μολόντα* recentiores libri complures | *ἐστιν ἐκβῆναι B* 781 *κάλλιον θανεῖν L* | versus suspectus 782 post 783 transposuit Th. Morell 782 *πρᾶγμά γ'* recentiores nonnulli libri, *πρᾶγμ' OS*, *πρᾶγος* Weil, fort. *πρᾶγμ' ἐστ'* | *τῷ δοκεῖν L*, *τὸ δὲ δοκεῖν* Barnes, *σὺ τὸ δοκεῖν* Kirchhoff 783 *καὶ μᾶλλον EG* 784 *γ' ἔμ' E* | *ἄν μ' ἐποικτίσειε* Hermann | *οἰκτίσειεν EG* | *ἡὐγένεια a*, *ἡ εὐγένεια* ceteri | *σοι B* 785 *ἀσχάλων BS*, *ἀσχάλλων l* | *ταῦθ' A* | *ὄμμασι B* 786 *κατθανεῖν L*, *τὸ κατθανεῖν* ceteri | *ΠΥ.* om. *L* | fort. *τόδε* 787 *λέγομεν A* | *τοῦτ'* recentiores libri 788 *δάκρυά γ' ἂν B*, *δάκρυα γὰρ* anonymus 789 *χρόνῳ γε B*, *χρόνῳ γὰρ a* 790 *καινὸν ἀγγέλλεις* vel *ἀγγελεῖς* recentiores libri 791 *ὕστρῳ G* | *κατάσχωσι B*, *κατάσχωσιν* ceteri

ΟΡ. εὐλαβοῦ λύσσης μετασχεῖν τῆς ἐμῆς. ΠΥ. τόδ' οὖν ἴτω.
ΟΡ. οὐκ ἄρ' ὀκνήσεις; ΠΥ. ὄκνος γὰρ τοῖς φίλοις κακὸν μέγα.
ΟΡ. ἕρπε νυν οἴαξ ποδός μοι. ΠΥ. φίλα γ' ἔχων κηδεύματα.
ΟΡ. καί με πρὸς τύμβον πόρευσον πατρός. ΠΥ. ὡς τί δὴ τόδε;
ΟΡ. ὥς νιν ἱκετεύσω με σῶσαι. ΠΥ. τό γε δίκαιον ὧδ' ἔχει.
ΟΡ. μητέρος δὲ μὴ εἰσίδοιμι μνῆμα. ΠΥ. πολεμία γὰρ ἦν.
ἀλλ' ἔπειγ', ὡς μή σε πρόσθε ψῆφος Ἀργείων ἕλῃ,
περιβαλὼν πλευροῖς ἐμοῖσι πλευρὰ νωχελῆ νόσῳ·
ὡς ἐγὼ δι' ἄστεώς σε σμικρὰ φροντίζων ὄχλου
οὐδὲν αἰσχυνθεὶς ὀχήσω. ποῦ γὰρ ὢν δείξω φίλος,
εἴ σε μὴ 'ν δειναῖσιν ὄντα συμφοραῖς ἐπαρκέσω;
ΟΡ. τοῦτ' ἐκεῖνο, κτᾶσθ' ἑταίρους, μὴ τὸ συγγενὲς μόνον·
ὡς ἀνὴρ ὅστις τρόποισι συντακῇ, θυραῖος ὢν
μυρίων κρείσσων ὁμαίμων ἀνδρὶ κεκτῆσθαι φίλος.

ΧΟ. ὁ μέγας ὄλβος ἅ τ' ἀρετὰ stroph.
μέγα φρονοῦσ' ἀν' Ἑλλάδα καὶ
παρὰ Σιμουντίοις ὀχετοῖς
πάλιν ἀνῆλθ' ἐξ εὐτυχίας Ἀτρείδαις
πάλαι παλαιᾶς ἀπὸ συμφορᾶς δόμων,
ὁπότε χρυσείας ἔρις ἀρνὸς
ἤλυθε Τανταλίδαις
οἰκτρότατα θοινάματα καὶ

---

793 delet Usener 794 φίλοισι *L* 795 νυν] Monk, νῦν libri | φίλ' ἔχων *G* 796 ὡς τί δὴ τόδε γρ. τί τοῦτο εἴρηκας *A* 797 ἱκετεύσωμεν σῶσαι *G* | τὸ δὲ *B* 798 μητρὸς *AaBS*, μρς *E* | δὲ om. *a*, sed lemma schol. μρς δὲ μηδ' | μὴ εἰσίδοιμι] F. Gu. Schmidt, μηδ' (μήτ' *B*) ἴδοιμι libri | ΠΥ. om. *A*, add. A^2 799 ἔπειγ'] ἕλ' *B*, superscr. ἔλαυνε et γρ. ἔπειγε *b* 800 πλευρὰν *BEL* | νόσον mut. in νόσω *L* 801 ἄστεως *L*, ἄστεός *B*, sed εός scr. *b*, ἄστεος ceteri (etiam *l*) | μικρὰ *E* 802 πῆ γὰρ *L* 803 μὴ 'ν *EG*, μ' ἤν *a*, μὴ ceteri 804 ΟΡ. om. *A*, add. A^2 805 εἷς ἀνὴρ Paley, cfr. Iph. A. 1394 | συντακεῖ *B* 806 ὁμαίμων *O*, ὁμαιμόνων ba^3S 808 γρ. καὶ μεγαλοφρονοῦσι τοῖς ἀτρείδαις in marg. *b* 810 ἐς δυστυχίας Bergk (malim δυστυχίαν) | ἀτρείδαις (superscr. ων m. 2) *a* 811 πάλιν Hartung 812 χρυσείας] Porson, χρυσέας *AaES*, χρυσοῦς *B* sed οῦς in ras. scr. et χρυσέας superscr. *b* 813 τανταλίδαισιν *L* 813 sq. fort. ἤνυσε (sic Jacobs) Τανταλίδαις οἰκτρότατ' ἐς | θοινάματα (η super ά scr. m. 1 vel. 2) *a*, θοινήματα *L*

σφάγια γενναίων τεκέων·
ὅθεν φόνῳ φόνος ἐξαμεί-
βων δι' αἵματος οὐ προλεί-
πει δισσοῖσιν Ἀτρείδαις.

τὸ καλὸν οὐ καλόν, τοκέων antistr.
πυριγενεῖ τεμεῖν παλάμᾳ
χρόα· μελάνδετον δὲ φόνῳ
ξίφος ἐς αὐγὰς ἀελίοιο δεῖξαι,
τόδ' αὖ κακούργων ἀσέβεια μαινόλις
κακοφρόνων τ' ἀνδρῶν παράνοια.
θανάτου γὰρ ἀμφὶ φόβῳ
Τυνδαρὶς ἰάχησε τάλαι-
να· τέκνον, οὐ τολμᾷς ὅσια
κτείνων σὰν ματέρα, μὴ πατρῴ-
αν τιμῶν χάριν ἐξανά-
ψῃ δύσκλειαν ἐς αἰεί.

τίς νόσος ἢ τίνα δάκρυα καὶ
τίς ἔλεος μείζων κατὰ γᾶν
ἢ ματροκτόνον αἷμα χειρὶ θέσθαι;
οἷον ἔργον τελέσας
βεβάκχευται μανίαις,
Εὐμενίσιν θήραμα φόνῳ,
δρομάσι δινεύων βλεφάροις
Ἀγαμεμνόνιος παῖς.
ὦ μέλεος, ματρὸς ὅτε

---

815 *τέκνων L, τεκέων l* 816 *ὅθεν* om. *E, ἔνθεν* Triclinius | *ἀμείβων L* 816 sq. fort. *ἔνθεν δ' αἵματος ἐξαμείβων οἴκους φόνος οὐ προλείπει* 818 *δισσοῖς a* 819 *τεκέων Aa* 820 *τεμεῖν*] Porson, *τέμνειν* libri | *παλάμια BL* 821 *χρόαι* ut videtur *A* | *δὲ* om. *E* 822 *ἐς L, εἰς* ceteri 823 *τόδ' αὖ κακούργων*] Weil, *τὸ δ' αὖ κακουργεῖν* libri | *μαινόλις*] Porson et Hermann, *μεγάληι γρ. ποικίλα A, μεγάλη* ceteri 825 *θάνατον B θανάτου b, δεινὰ* Kirchhoff | *φόβω* ex *φόνω* fecit *E* 828 *κτείνων*, superscr. *ὅρα, E* | *σὰν* delet Hartung 830 *ἀεί OS* 831 *καὶ*] *ἢ G* 832 *γᾶν* (*η* superscr. m. 2) *a, γαῖαν B* 833 *χειρὶ aL, χερὶ* ceteri | *χειρὶ δεῦσαι* F. Gu. Schmidt, fort. *χειρὶ δρέπεσθαι* 834 *οἷον οἷον AB* | *ἔργον* ex *ἄργος* ut vid. factum in *G* 835 *ἐκβεβάκχευται* Hermann 836 *Εὐμενίσιν*] Seidler, *εὐμενίσι OS* 838 *ἀγαμεμνόνειος E, ἀγαμέμνονος L* et *ι* vel *ει* inter *ν* et *ος* eraso *G*

χρυσεοπηνήτων φαρέων
μαστὸν ὑπερτέλλοντ' ἐσιδὼν
σφάγιον ἔθετο ματέρα, πατρῴ-
ων παθέων ἀμοιβάν.

ΗΛΕΚΤΡΑ.

γυναῖκες, οὔ που τῶνδ' ἀφώρμηται δόμων
τλήμων Ὀρέστης θεομανεῖ λύσσῃ δαμείς;
ΧΟ. *ἥκιστα· πρὸς δ' Ἀργεῖον οἴχεται λεών,*
ψυχῆς ἀγῶνα τὸν προκείμενον πέρι
δώσων, ἐν ᾧ ζῆν ἢ θανεῖν ὑμᾶς χρεών.
ΗΛ. *οἴμοι· τί χρῆμ' ἔδρασε; τίς δ' ἔπεισέ νιν;*
ΧΟ. *Πυλάδης· ἔοικε δ' οὐ μακρὰν ὅδ' ἄγγελος*
λέξειν τὰ κεῖθεν σοῦ κασιγνήτου πέρι.

ΑΓΓΕΛΟΣ.

ὦ τλῆμον, ὦ δύστηνε τοῦ στρατηλάτου
Ἀγαμέμνονος παῖ, πότνι' Ἠλέκτρα, λόγους
ἄκουσον οὕς σοι δυστυχεῖς ἥκω φέρων.
ΗΛ. *αἰαῖ, διοιχόμεσθα· δῆλος εἶ λόγῳ.*
[κακῶν γὰρ ἥκεις, ὡς ἔοικεν, ἄγγελος].
ΑΓΓ. *ψήφῳ Πελασγῶν σὸν κασίγνητον θανεῖν*
καὶ σ', ὦ τάλαιν', ἔδοξε τῇδ' ἐν ἡμέρᾳ.
ΗΛ. *οἴμοι· προσῆλθεν ἐλπίς, ἣν φοβουμένη*
πάλαι τὸ μέλλον ἐξετηκόμην γόοις.
ἀτὰρ τίς ἀγών, τίνες ἐν Ἀργείοις λόγοι

---

840 *χρυσεοπηνήτων A*, *χρυσεοπηνΐτων* $A^2 a^3$, *χρυσεοπηνίτων E*, *χρυσοπηνήτων* Hermann 841 *εἰσιδὼν G*, *ἰδὼν* Hennig 842 *μητέρα B* sed *μη* in ras. scr. *b*, fort. delendum 843 *πενθέων* recentes nonnulli | *ἀμοιβὰν* (*ὴν* superscr. m. 2) *a* 844 *οὔ*] Hermann, *ἤ* vel *ἦ* libri | *ἀφόρμηται B* corr. *b* 846 *δ'* om. *L* | *ἀργείων E* 847 *πέρι*] fort. *δραμεῖν*, versu 848 ex Kirchhoffi coniectura deleto, cfr. Christ. pat. 416 et 442 *ψυχῆς ἀγῶνα τὸν προκείμενον περὶ δραμούμενον* (*τρέχοντος*) 848 *ὑμᾶς* (*ὑ* in ras. scr. m. 3) *B* 849 *ἔπεισε*, *σ* ex *γ* ut vid. facto, *G* 850 *ἔοικεν E* 852 *τλήμων A* | versum delet Paley 853 *πότν' E* 854 *δυστυχεῖς* (*υστυχεὶς* rescr. m. 2) *A* 855 *διοιχόμεθα G* | *λόγω*, *ν* post *ω* vel deleto vel eluto, *L* 856 *ἔοικας B*, *ἔοικεν* ceteri et Christ. pat. 151 | *ἄγγελος* (*ος* rescr. m. 2) *A* | versum delevit Brunck 857 *πελασγῶν*, *ῶ* ex *ὸ* facto, *A* 861 *ἁγών*] Porson (*ὡγών* Heath), *ἀγών* libri | *τίνες ἀργείων E* et duabus post *τίνες* literis erasis *a* *ἐν* om. *G*

καθεῖλον ἡμᾶς κἀπεκύρωσαν θανεῖν;
λέγ', ὦ γεραιέ· πότερα λευσίμῳ χερὶ
ἢ διὰ σιδήρου πνεῦμ' ἀπορρῆξαί με χρή,
κοινὰς ἀδελφῷ συμφορὰς κεκτημένην;
ΑΓΓ. ἐτύγχανον μὲν ἀγρόθεν πυλῶν ἔσω
βαίνων, πυθέσθαι δεόμενος τά τ' ἀμφὶ σοῦ
τά τ' ἀμφ' Ὀρέστου· σῷ γὰρ εὔνοιαν πατρὶ
αἰεί ποτ' εἶχον, καί μ' ἔφερβε σὸς δόμος
πένητα μέν, χρῆσθαι δὲ γενναῖον φίλοις.
ὁρῶ δ' ὄχλον στείχοντα καὶ θάσσοντ' ἄκραν,
οὗ φασι πρῶτον Δαναὸν Αἰγύπτῳ δίκας
διδόντ' ἀθροῖσαι λαὸν ἐς κοινὰς ἕδρας.
ἀστῶν δὲ δή τιν' ἠρόμην ἄθροισμ' ἰδών·
τί καινὸν Ἄργει; μῶν τι πολεμίων πάρα
ἄγγελμ' ἀνεπτέρωκε Δαναϊδῶν πόλιν;
ὃ δ' εἶπ'· Ὀρέστην κεῖνον οὐχ ὁρᾷς πέλας
στείχοντ', ἀγῶνα θανάσιμον δραμούμενον;
ὁρῶ δ' ἄελπτον φάσμ', ὃ μήποτ' ὤφελον,
Πυλάδην τε καὶ σὸν σύγγονον στείχονθ' ὁμοῦ,
τὸν μὲν κατηφῆ καὶ παρειμένον νόσῳ,
τὸν δ' ὥστ' ἀδελφὸν ἴσα φίλῳ λυπούμενον,
νόσημα κηδεύοντα παιδαγωγίᾳ.
ἐπεὶ δὲ πλήρης ἐγένετ' Ἀργείων ὄχλος,
κῆρυξ ἀναστὰς εἶπε· τίς χρῄζει λέγειν,
πότερον Ὀρέστην κατθανεῖν ἢ μὴ χρεὼν
μητροκτονοῦντα; κἀπὶ τῷδ' ἀνίσταται
Ταλθύβιος, ὃς σῷ πατρὶ συνεπόρθει Φρύγας.
ἔλεξε δ' ὑπὸ τοῖς δυναμένοισιν ὢν ἀεὶ
διχόμυθα, πατέρα μὲν σὸν ἐκπαγλούμενος,
σὸν δ' οὐκ ἐπαινῶν σύγγονον, καλοὺς κακοὺς
λόγους ἑλίσσων, ὅτι καθισταίη νόμους

864 χρὴ *B*, δεῖ ceteri 865 συμφορὰς ἀδελφῷ *L* | κεκτημένη *A* 869 ἀεὶ libri 872 φασὶ (superscr. schol. φησὶ) *A* 875 τί om. *A* 876 ἀνεπτέρωκε, κ ex σ facto, *G*, ἀνεπτέρωκεν *a* | πόλιν γρ. ὄχλον *A* 879 ἄελπον *A* | θαῦμ' *B* 880 πυλάδην δὲ *L* 882 φίλον *A* 884 γένετ' *E* 888 συνεπόρθη φρύγας *B* (τοὺς τρώας superscr. *b*) 889 τοῖς om. *E*, m. rec. supplevit | δυναμένοις *G* 891 καλοὺς| Hartung, καλοῖς libri

ἐς τοὺς τεκόντας οὐ καλούς· τὸ δ' ὄμμ' ἀεὶ
φαιδρωπὸν ἐδίδου τοῖσιν Αἰγίσθου φίλοις.
τὸ γὰρ γένος τοιοῦτον· ἐπὶ τὸν εὐτυχῆ
πηδῶσ' ἀεὶ κήρυκες· ὅδε δ' αὐτοῖς φίλος,
ὃς ἂν δύνηται πόλεος ἔν τ' ἀρχαῖσιν ᾖ.
ἐπὶ τῷδε δ' ἠγόρευε Διομήδης ἄναξ.
οὗτος κτανεῖν μὲν οὔτε σ' οὔτε σύγγονον
εἴα, φυγῇ δὲ ζημιοῦντας εὐσεβεῖν.
ἐπερρόθησαν δ' οἳ μὲν ὡς καλῶς λέγοι,
οἳ δ' οὐκ ἐπῄνουν. κἀπὶ τῷδ' ἀνίσταται
ἀνήρ τις ἀθυρόγλωσσος, ἰσχύων θράσει,
Ἀργεῖος οὐκ Ἀργεῖος, ἠναγκασμένος,
θορύβῳ τε πίσυνος κἀμαθεῖ παρρησίᾳ,
πιθανὸς ἔτ' ἀστοὺς περιβαλεῖν κακῷ τινι·
[*ὅταν γὰρ ἡδύς τις λόγοις φρονῶν κακῶς*
πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα·
ὅσοι δὲ σὺν νῷ χρηστὰ βουλεύουσ' ἀεί,
κἂν μὴ παραυτίκ', αὖθίς εἰσι χρήσιμοι
πόλει. θεᾶσθαι δ' ὧδε χρὴ τὸν προστάτην
ἰδόνθ'· ὅμοιον γὰρ τὸ χρῆμα γίγνεται
τῷ τοὺς λόγους λέγοντι καὶ τιμωμένῳ.]
ὃς εἶπ' Ὀρέστην καὶ σ' ἀποκτεῖναι πέτροις
βάλλοντας· ὑπὸ δ' ἔτεινε Τυνδάρεως λόγους
[*τῷ σφὼ κατακτείνοντι τοιούτους λέγειν.*]
ἄλλος δ' ἀναστὰς ἔλεγε τῷδ' ἐναντία,

---

893 *ἐς*] *εἰ A*, *εἰς* A^2 895—97 delet Dindorf 896 *ὅδαυτοῖς L* | *αὐτοῖσϊ G* 897 *πόλεος AaE*, *πόλεως* a^3*BS*, *πλεῖστον* F. Gu. Schmidt | *ἔν τε L* 898 *τῷδ' ἠγόρευε L* | *ἠγόρευσε B* 899 *σ' οὐδὲ A* 900 *εἴαι a* 901 *λαοὶ δ' ἐπερρόθησαν aL*, cfr. Hec. 553 | *δ'* praeter *aL* om. *AB*, supplevit A^2 | *λέγει BL*, *λέγοι b* 902 *ἐπὶ δὲ τῷδ' B* 905 *κἀμαθῆ L* 906 *πιθανὸς ὥστ' L*, *ἱκανὸς ἔτ'* Heimsoeth | *ἀστοὺς*] Valckenaer, *αὐτοὺς* libri 907—913 delevit Kirchhoff (913 eiecerat Hermann, 904—13 Hartung, 912 sq. Nauck deleverat, spuriis addit 906 Dindorf, 907—10 habet Stob. fl. 45, 5) 907 *ἡδύς τις*] Musgrave, *ἡδὺς τοῖς* libri 909 *συνῷ A*, *σὺν νῷ* A^2 911 sq. *τὸν προστάτας κρίνονθ'* Heimsoeth 912 *ὅμοιον* ex *ὁμοῖσιν* ut vid. corr. A^2, *ὁμοῖον aS* | *γίνεται BS* 913 *καὶ τιμωμένῳ*] *τῷ τ' ἰωμένῳ* Brunck (*χερί τ' ἰωμένῳ* Musgrave) 914 *ἀποκτείνειν B*, *ἀποκτεῖναι b*, *ἀποκτενεῖν L* 915 *δὲ A* 916 *κατακτείναντι BL*, *κατακτείνοντι o* in ras. scripto *G* | *τοιούτους* ex *τοιοῦτος* fecit *A* | versum delevit Weil

μορφῇ μὲν οὐκ εὐωπός, ἀνδρεῖος δ' ἀνήρ,
ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον,
αὐτουργός, οἵπερ καὶ μόνοι σῴζουσι γῆν,
ξυνετὸς δέ, χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων,
ἀκέραιος, ἀνεπίπληκτον ἠσκηκὼς βίον·
ὃς εἶπ' Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος
στεφανοῦν, ὃς ἠθέλησε τιμωρεῖν πατρί,
κακὴν γυναῖκα κἄθεον κατακτανών,
ἣ κεῖν' ἀφῄρει, μήθ' ὁπλίζεσθαι χέρα
μήτε στρατεύειν ἐκλιπόντα δώματα,
εἰ τἄνδον οἰκουρήμαθ' οἱ λελειμμένοι
φθεροῦσιν, ἀνδρῶν εὔνιδας λωβώμενοι.
καὶ τοῖς γε χρηστοῖς εὖ λέγειν ἐφαίνετο,
κοὐδεὶς ἔτ' εἶπε. σὸς δ' ἐπῆλθε σύγγονος,
ἔλεξε δ'· ὦ γῆν Ἰνάχου κεκτημένοι,
[πάλαι Πελασγοί, Δαναΐδαι δεύτερον,]
ὑμῖν ἀμύνων οὐδὲν ἧσσον ἢ πατρὶ
ἔκτεινα μητέρ'. εἰ γὰρ ἀρσένων φόνος
ἔσται γυναιξὶν ὅσιος, οὐ φθάνοιτ' ἔτ' ἂν
θνῄσκοντες, ἢ γυναιξὶ δουλεύειν χρεών·
[τοὐναντίον δὲ δράσετ' ἢ δρᾶσαι χρεών.
νῦν μὲν γὰρ ἡ προδοῦσα λέκτρ' ἐμοῦ πατρὸς
τέθνηκεν· εἰ δὲ δὴ κατακτενεῖτέ με,
ὁ νόμος ἀνεῖται, κοὐ φθάνοι θνῄσκων τις ἄν·
ὡς τῆς γε τόλμης οὐ σπάνις γενήσεται].
ἀλλ' οὐκ ἔπειθ' ὅμιλον, εὖ δοκῶν λέγειν.
νικᾷ δ' ἐκεῖνος ὁ κακὸς ἐν πλήθει χερῶν,
ὃς ἠγόρευε σύγγονον σέ τε κτανεῖν.

---

918 *εὐωπὸς* et in marg. *γρ. οὐκ εὔωπτος τουτέστιν οὐκ εὐειδής a* 919 *κἀγοραῖς B, κἀγορᾶς b* 921 fort. *ὁμόσε δ' οὐ λόγοις* 922 *ἀκέραιον S* | *ἀνεπίπληκτον* mut. in *ἀνεπίπλεκτον a, ἀνεπίληπτον* recentiores libri, cfr. Hesych. *ἀνεπίληπτον· ἄμεμπτον, ἀκατάγνωστον* | *ἐσχηκὼς B* 926 *ὑφῄρει L* | *χέρας B* 929 *φθεροῦσιν*] scripsi, *φθείρουσιν* libri 931 *κοὐδεὶς δ' B* | *ἐπῆλθε* in ras. scr. *l* 933 *δαναοὶ δὲ G, δαναΐδαι δὲ* recentiores nonnulli | versum delevit Musgrave 936 *φθάνοιτε τἂν A, φθάνοιτέ τ' ἂν aBE* 938—942 delevi (938 et 941 iam C. Schenkl, 938—941 Weil suspectos habuit) 938 *δράσατ' L* 940 *δεῖ B, δὴ b* | *κατακτενεῖτε B, κατακτανεῖτε* ceteri 941 *ὁ* om. *L* | *φθάνει B* 944 *χερῶν*] scripsi, *λέγων* libri 945 *ἠγόρευσε BS*

μόλις δ' ἔπεισε μὴ πετρούμενος θανεῖν
τλήμων Ὀρέστης· αὐτόχειρι δὲ σφαγῇ
ὑπέσχετ' ἐν τῇδ' ἡμέρᾳ λείψειν βίον
σὺν σοί. πορεύει δ' αὐτὸν ἐκκλήτων ἄπο
Πυλάδης δακρύων· σὺν δ' ὁμαρτοῦσιν φίλοι
κλαίοντες, οἰκτείροντες· ἔρχεται δέ σοι
πικρὸν θέαμα καὶ πρόσοψις ἀθλία.
ἀλλ' εὐτρέπιζε φάσγαν' ἢ βρόχον δέρῃ·
ὡς δεῖ λιπεῖν σε φέγγος· ηὑγένεια δὲ
οὐδέν σ' ἐπωφέλησεν, οὐδ' ὁ Πύθιος
τρίποδα καθίζων Φοῖβος, ἀλλ' ἀπώλεσεν.
[ΧΟ. ὦ δυστάλαινα παρθέν', ὡς ξυνηρεφὲς
πρόσωπον εἰς γῆν σὸν βαλοῦσ' ἄφθογγος εἶ,
ὡς εἰς στεναγμοὺς καὶ γόους δραμουμένη.]
ΗΛ. κατάρχομαι στεναγμόν, ὦ Πελασγία, strophe.
τιθεῖσα λευκὸν ὄνυχα διὰ παρῃίδων,
αἱματηρὸν ἄταν,
κτύπον τε κρατός, ὃν ἔλαχ' ἁ κατὰ χθονὸς
νερτέρων Περσέφασσα καλλίπαις θεά.
ἀχείτω δὲ γᾶ Κυκλωπία,
σίδαρον ἐπὶ κάρα τιθεῖσα κούριμον,
πήματ' οἴκων.
ἔλεγος ἔλεγος ὅδ' ἔρχεται
τῶν θανουμένων ὕπερ,
στρατηλατᾶν Ἑλλάδος ποτ' ὄντων.

946 *πετρούμενος A*, *πετρουμένους B*, *πετρουμένους* ceteri (etiam *b*) 950 *ὁμαρτοῦσι ABS* 953 *εὐπρέπιζε A*, *εὐτρέπιζε* A^2 954 *λυπεῖν L* | schol. *γρ. ὡς οὔ σ' ὁρᾶν δεῖ φέγγος* | *εὐγένεια B* 955 schol. *A γρ. οὐδέν σε ὠφέλησεν* (pertinet haec interpretatio ad *ὁ Πύθιος*) 956 *τρίποδος B* 957—59 schol. *ἐν ἐνίοις δὲ οὐ φέρονται οἱ τρεῖς στίχοι οὗτοι. πῶς γὰρ οὐκ ἔμελλε στυγνάζειν* 959 *ὡς εἰ A* 960—81 choro tribuit Weil 960 *στεναγμόν* recentiores libri, *στεναγμῶν OS* 961 *λευκῶν* Hartung 962 *ἄταν A*, sed *ν* in ras. scr. A^2 963 *ἁ A*, *ἡ* superscr. A^2, *ἡ L* 964 *περσέφασα L* | *καλλίπαις γρ. καλῆ παῖς A*, cfr. schol. *γράφεται δὲ τὸ καλλίπαις καὶ καλὴ παῖς* | *Περσέφασσα* delet Musgrave, *νερτέρων καλλίπαις ἄνασσα* Heimsoeth 965 *ἀχείτω*] scripsi, *ἰαχείτω* libri | *κυκλωπεία S* 966 *κάρα*] *κράτα B*, *κρᾶτα aEL* 967 *πήματ' οἴκων*] Musgrave, *τῶν ἀτρειδᾶν* (*ἀτρειδῶν aS*) *πήματα* (*πήματ' S*) *οἴκων OS*, *πήματ' οἴκων τῶν ἀτρειδῶν* alii libri 968 *ἔλεγος ἔλεγος*] F. Marx, *ἔλεος ἔλεος* libri 970 *στρατηλατᾶν AB* (*ω* superscr. *b*), *στρατηλατῶν aES*

βέβακε γὰρ βέβακεν, οἴχεται τέκνων antistr.
πρόπασα γέννα Πέλοπος ὅ τ' ἐπὶ μακαρίοις
ζηλωτὸς ὤν ποτ' οἶκος·
φθόνος νιν εἷλε θεόθεν, ἅ τε δυσμενὴς
φοινία ψῆφος ἐν πολίταις.
ἰώ, πανδάκρυτ' ἐφαμέρων
ἔθνη πολύπονα, λεύσσεθ', ὡς παρ' ἐλπίδας
μοῖρα βαίνει.
ἕτερα δ' ἕτερος ἀμείβεται
πήματ' ἐν χρόνῳ μακρῷ·
βροτῶν δ' ὁ πᾶς ἀστάθμητος αἰών.

μόλοιμι τὰν οὐρανοῦ
μέσον χθονός τε κρεμαμέναν [αἰωρήμασι
πέτραν] ἁλύσεσι χρυσέαισι [φερομέναν
δίναισι] βῶλον ἐξ Ὀλύμπου,
ἵν' ἐν θρήνοισιν ἀναβοάσω
γέροντι πατρὶ Ταντάλῳ
ὃς ἔτεκεν ἔτεκε γενέτορας ἐμέθεν δόμων,
οἳ κατεῖδον ἄτας,
ποτανὸν μὲν δίωγμα πώλων
τεθριπποβάμονι στόλῳ Πέλοψ ὅτε
πελάγεσι διεδίφρευσε, Μυρτίλου φόνον
δικὼν ἐς οἶδμα πόντου,
λευκοκύμοσιν

---

971 *βέβακεν γὰρ L* 973 *ζῆλος ὢν ποτ' οἴκοις* Musgrave 974 *νιν* om. *B* supplevit *b* | *εἷλε* om. *L* add. *l* 975 *φοινία G*, *φονία* ceteri (*φονεία B*) 976 *ἰώ*] scripsi, *ἰὼ ἰώ* libri, *ἰὼ, ὢ* (et 965 *ἰαχείτω*) Hartung 977 *λεύσεθ' aBS* 979 *ἕτερος*] Porson, *ἑτέροις* libri 981 *θνητῶν δ' B* 983 *τε κρεμαμέναν*] scripsi (*τε* iam Hermann inseruit), *τεταμέναν* libri (*ην* superscr. *a*²) | *αἰωρήμασιν B* 983 sq. verba *αἰωρήμασι πέτραν* et *φερομέναν δίναισι* seclusit Nauck (*αἰωρήμασι* et *φερομέναν* iam expulerat Burges) | *ἁλύσαισι B* | *φερομέναν a*, *ην* superscr. *a*² | *δίνεσι A*, *δίναισι A*², *δίναισιν L* 984 *ἀμβοάσω* Dindorf, fort. *θρήνοις ἰὰν βοάσω* 985 *πατέρι aEB* 986 *ἔτεκεν ἔτεκε G*, *ἔτεκε L*, *ἔτεκεν ἔτεκεν* ceteri 988 *ποτανὸν*] Porson, *τὸ πτανὸν* libri | schol. *a γρ. δὲ καὶ πώλω* 989 *τεθριπποβάμωνι A*, cfr. Hesych. *τεθριπποβάμονι στόλῳ· τῇ ὁρμῇ τοῦ ἅρματος*, quae interpretatio fort. pertinet ad *τεθριπποβάμονι χαλᾷ*, cfr. Ion. 1242 | *ὅτε L*, *ὁπότε l* 990 *πελάγεσσι AaG*, *πελάγαισι L* 991 *οἶδμα θαλάσσης B*, in marg. *πόντου* scr. schol. 992 *λευκοκύμοσι aES*, *λευκοκύμασι AB* |

πρὸς Γεραιστίαις
ποντίων σάλων
ἠόσιν ἁρματεύσας.
ὅθεν δόμοισι τοῖς ἐμοῖς
ἦλθ' ἀρὰ πολύστονος,
λόχευμα ποιμνίοισι Μαιάδος τόκου,
τὸ χρυσόμαλλον ἀρνὸς ὁπότ'
ἐγένετο τέρας ὀλοὸν ὀλοὸν
Ἀτρέος ἱπποβώτα·
ὅθεν Ἔρις τό τε πτερωτὸν
ἁλίου μετέβαλεν ἅρμα,
τὰν πρὸς ἑσπέραν κέλευθον
οὐρανοῦ προσαρμόσασα
μονόπωλον ἐς Ἀῶ,
ἑπταπόρου τε δράμημα Πελειάδος
εἰς ὁδὸν ἄλλαν Ζεὺς μεταβάλλει,
τῶνδέ τ' ἀμείβει θανάτους θανά-
των τά τ' ἐπώνυμα δεῖπνα Θυέστου
λέκτρα τε Κρήσσας Ἀερόπας δολί-
ας δολίοισι γάμοις· τὰ πανύστατα δ'
εἰς ἐμὲ καὶ γενέταν ἐμὸν ἤλυθε
δόμων πολυπόνοις ἀνάγκαις.

ΧΟ. καὶ μὴν ὅδε σὸς σύγγονος ἕρπει

---

993 γεραστίαις *aE* 994 ἠϊόσιν *O*, ἠόσιν *S* cum Hesychio 995 ἐμοῖσιν Hermann 997 τόκου om. *B* suppl. *b* | versus fort. post 1000 transponendus 998 χρυσόμαλον *BE* 998 sq. ὁπότε γένετο *BES* (ὁπότ' ἐγένετο *l*) 999 ὀλοὸν semel *OS*, bis alii libri 1000 Ἀτρέος] Porson, ἀτρέως libri | ἱπποβώτα] Dindorf, ἱπποβότα *AaBEG*, ἱπποβάτα *L* 1001 τό τε πτερωτὸν *ES*, τό τε πτερωτὸν γρ. τὸ τέτρωρον *A*, τὸ τέτρωρον et in marg. γρ. τό τε πτερωτόν *a*, τὸ πτερωτὸν *B* 1002 ἁλίου] Porson, ἀελίου libri (etiam *L*) 1003 ἕσπερον *aL*, Hesych. ἕσπερον κέλευθον· τὴν ⟨πρὸς vel ἐφ'⟩ ἑσπέραν ὁδόν, Phot. ἕσπερον κέλευθον· ἑσπέριον, ἐπὶ δυσμὰς ὁδόν, unde τὰν προσέσπερον Hartung, τάν ποθ' ἕσπερον Weil 1004 sq. προσαρμόσας *B*, προσαρμόσασα corr., sed α denuo delevit *b*, προσαρμόσας ceteri (πρὸς ἁρμόσας *E*) | προσαρμόσασ' οἰόπωλον Weil 1005 δράμημα *aE*, δραμήματα *A*, δρόμημα ceteri | πελειάδος Eustath. in Od. p. 1713, 7, πλειάδος *OS* 1006 ἄλλην *AES* | μεταβάλλει cum ras. super λλει *E*, fort. μετέβασεν 1007 fort. ἀμείβονται θάνατοι 1009 κρήσσης *B* 1011 γενέταν *B*, γενέτην ceteri | ἦλθε *B* 1012 σὺν post δόμων habet *L*, om. *ABaEG*, addidit *ba*[2] | πολυστόνοις *a* 1013 ὧδε *AE*, ὦδε *B*

ψήφῳ θανάτου κατακυρωθείς,
ὅ τε πιστότατος πάντων Πυλάδης,
ἰσάδελφος ἀνήρ,
ἰθύνων νοσερὸν κῶλον Ὀρέστου,
ποδὶ κηδοσύνῳ παράσειρος.

ΗΛ. οἲ ἐγώ· πρὸ τύμβου γάρ σ' ὁρῶσ' ἀναστένω,
ἀδελφέ, καὶ πάροιθε νερτέρου πυρᾶς.
οἲ ἐγὼ μάλ' αὖθις· ὥς σ' ἰδοῦσ' ἐν ὄμμασιν
πανυστάτην πρόσοψιν ἐξέστην φρενῶν.

ΟΡΕΣΤΗΣ.

οὐ σῖγ' ἀφεῖσα τοὺς γυναικείους γόους
στέρξεις τὰ κρανθέντ'; οἰκτρὰ μὲν τάδ', ἀλλ' ὅμως
[φέρειν σ' ἀνάγκη τὰς παρεστώσας τύχας].

ΗΛ. καὶ πῶς σιωπῶ; φέγγος εἰσορᾶν θεοῦ
τόδ' οὐκέθ' ἡμῖν τοῖς ταλαιπώροις μέτα.

ΟΡ. σὺ μή μ' ἀπόκτειν'· ἅλις ἀπ' Ἀργείας χερὸς
τέθνηχ' ὁ τλήμων· τὰ δὲ παρόντ' ἔα κακά.

ΗΛ. ὦ μέλεος ἥβης σῆς, Ὀρέστα, καὶ πότμου
θανάτου τ' ἀώρου. ζῆν ἐχρῆν σ', ὅτ' οὐκέτ' εἶ.

ΟΡ. μὴ πρὸς θεῶν μοι περιβάλῃς ἀνανδρίαν,
ἐς δάκρυα πορθμεύουσ' ὑπομνήσει κακῶν.

ΗΛ. θανούμεθ'· οὐχ οἷόν τε μὴ οὐ στένειν κακά.
πᾶσιν γὰρ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς.

1016 ἰθύνων] ἐξιθύνων (malim ἐξευθύνων), deleto nomine Ὀρέστου quod duo rec. libri omittunt, Elmsley, fort. νωμῶν 1017 παράσυρος, scripto ει super υ, E 1018 σ' om. E 1019 πάροιθεν L | νερτέρου ABaEG, ο in ω et υ mut. in ν (i. e. νερτέρων) a³, νερτέρας L 1020 ὥς σ' ἰδοῦσ' ἐν ὄμμασιν] Porson, ὡς ἰδοῦσα σ' ἐν ὄμμασιν AaL, γρ. ὡς ἰδούσας ὄμμασιν in marg. A, ὡς ἰδοῦσά σ' ὄμμασι B, ὡς ἰδοῦσ' ἐν ὄμμασι EG 1021 ἐξέστιν A, ἐξέστην A² 1022 γυναικίους A, γυναικείους A² | λόγους γρ. γόους A, λόγους ceteri 1023 κρανθέντ' Ea, κραθέντ' ABS, κρανθέντ' A² | τάδ' om. G 1024, quem non habuit schol. qui scripsit: λείπει τὸ δεῖ φέρειν. τινὲς δὲ γράφουσιν οἰκτρὰ μέν, ἀλλ' ὅμως φέρε, delevit Kirchhoff 1026 ὅτ' οὐκέθ' Musgrave 1027 μὴ σύ L | ἅλις ὑπ' recentiores libri 1028 τλάμων L 1030 ζῆν σ' ἐχρῆν F, fort. ζῆν σε χρῆν | γρ. ὅτ' οὐκέτι A 1031 μου A | περιβάλεις B | ἀνανδρία A 1032 ὑπομνήσει] Musgrave, ὑπόμνησιν libri 1033 οὐ om. libri, addidit Herwerden 1034 πᾶσι ABG | οἰκτρὸν] εὐκτὸν F. Gu. Schmidt

ΟΡ. τόδ' ἦμαρ ἡμῖν κύριον· δεῖ δ' ἢ βρόχους
ἅπτειν κρεμαστοὺς ἢ ξίφος θήγειν χερί.
ΗΛ. σύ νύν μ', ἀδελφέ, μή τις Ἀργείων κτάνῃ
ὕβρισμα θέμενος τὸν Ἀγαμέμνονος γόνον.
ΟΡ. ἅλις τὸ μητρὸς αἷμ' ἔχω· σὲ δ' οὐ κτενῶ,
ἀλλ' αὐτόχειρι θνῆσχ' ὅτῳ βούλει τρόπῳ.
ΗΛ. ἔσται τάδ'· οὐδὲν σοῦ ξίφους λελείψομαι.
ἀλλ' ἀμφιθεῖναι σῇ δέρῃ θέλω χέρας.
ΟΡ. τέρπου κενὴν ὄνησιν, εἰ τερπνὸν τόδε
θανάτου πέλας βεβῶσι, περιβαλεῖν χέρας.
ΗΛ. ὦ φίλτατ', ὦ ποθεινὸν ἥδιστόν τ' ἔχων
τῆς σῆς ἀδελφῆς ὄνομα καὶ ψυχὴν μίαν.
ΟΡ. ἔκ τοί μ' ἔτηξας· καί σ' ἀμείψασθαι θέλω
φιλότητι χειρῶν. τί γὰρ ἔτ' αἰδοῦμαι τάλας;
ὦ στέρν' ἀδελφῆς, ὦ φίλον πρόσπτυγμ' ἐμοί,
τάδ' ἀντὶ παίδων καὶ γαμηλίου λέχους
[προσφθέγματ' ἀμφὶ τοῖς ταλαιπώροις πάρα].
ΗΛ. φεῦ·
πῶς ἂν ξίφος νὼ ταὐτόν, εἰ θέμις, κτάνοι
καὶ μνῆμα δέξαιθ' ἕν, κέδρου τεχνάσματα;
ΟΡ. ἥδιστ' ἂν εἴη ταῦθ'· ὁρᾷς δὲ δὴ φίλων
ὡς ἐσπανίσμεθ', ὥστε κοινωνεῖν τάφου.
ΗΛ. οὐδ' εἶφ' ὑπὲρ σοῦ, μὴ θανεῖν σπουδὴν ἔχων,
Μενέλαος ὁ κακός, ὁ προδότης τοὐμοῦ πατρός;

1036 κρεμμαστοὺς *L* | θίγειν *A* 1037 σύ νυν] Scaliger, σὺ νῦν *OS* | μ' om. *E* 1038 τὸν] τὴν Hermann | γόνον γρ. δόμον *AB*, cfr. schol. γράφεται καὶ δόμον. οὕτως γοῦν καὶ Καλλίστρατός φησιν Ἀριστοφάνη γράφειν | γρ. μὴ ἐνυβρίσῃς σὺ τῷ ἀγαμέμνονος γόνῳ in marg. *a* 1039 αἷμ'· ἐγὼ σὲ δ' οὐ (vel δέ σ' οὐ) recentiores libri | κτανῶ (κτανῶι) *OS* 1040 αὐτόχειρ *B*, αὐτόχειρι *b* | θνήσκ' *L* | τρόπῳ] μόρῳ Nauck 1041 fort. τόδ' | λελήψομαι *B* sed λή in ras. scr. *b*, ή in εί corr. m. rec. 1043 sq. ἢ τερπνὸν . . χέρας; F. Gu. Schmidt 1046 τῆς σῆς ἀδελφῆς ὄνομα] fort. ἀδελφέ, χρωτὸς πνεῦμα, cfr. Tro. 758 1047 μ' ἔτηξας] Bothe, με τήξεις libri | θέλω] fort. ποθῶ 1048 χειρῶν *G*, χερῶν mut. in χειρῶν *E*, χερῶν ceteri | post hunc v. duos Electrae versus intercidisse suspicatur Kirchhoff 1049 πρόπτυγμ' *A* | ἐμοί] Nauck, ἐμὸν libri 1050 τίδ' *A*, τάδ' A^2, τόδ' Weil | λέγχους *E*, fort. τέλους, cfr. Aesch. Eum. 838 1051 προσφέγματ' *A*, προσφθέγματ' A^2 | ἀμφοῖν τοῖν ταλαιπώροιν Lobeck | πάρα *EL*, ἄρα *AaB* (superscr. γρ. καὶ μέτα in *A*), πάρα A^2a^3b, μετά *G* | versum delevit Nauck, cfr. 1026 1052 ταυτόν *BL*, τ' οὐτόν *G*, ταυτόν *g* 1053 τέχνασμά τε Brunck 1056 θάνοις Nauck

ΟΡ. οὐδ' ὄμμ' ἔδειξεν, ἀλλ' ἐπὶ σκήπτροις ἔχων
τὴν ἐλπίδ', ηὐλαβεῖτο μὴ σῴζειν φίλους.
ἀλλ' εἶ' ὅπως γενναῖα κἀγαμέμνονος
δράσαντε κατθανούμεθ' ἀξιώτατα.
κἀγὼ μὲν εὐγένειαν ἀποδείξω πόλει,
παίσας πρὸς ἧπαρ φασγάνῳ· σὲ δ' αὖ χρεὼν
ὅμοια πράσσειν τοῖς ἐμοῖς τολμήμασιν.
Πυλάδη, σὺ δ' ἡμῖν τοῦ φόνου γενοῦ βραβεύς,
καὶ κατθανόντοιν εὖ περίστειλον δέμας
θάψον τε κοινῇ πρὸς πατρὸς τύμβον φέρων.
καὶ χαῖρ'· ἐπ' ἔργον δ', ὡς ὁρᾷς, πορεύομαι.
ΠΥ. ἐπίσχες. ἓν μὲν πρῶτά σοι μομφὴν ἔχω,
εἰ ζῆν με χρήζειν σου θανόντος ἤλπισας.
ΟΡ. τί γὰρ προσήκει κατθανεῖν σ' ἐμοῦ μέτα;
ΠΥ. ἤρου; τί δὲ ζῆν σῆς ἑταιρίας ἄτερ;
ΟΡ. οὐκ ἔκτανες σὺ μητέρ', ὡς ἐγὼ τάλας.
ΠΥ. σὺν σοί γε κοινῇ· ταὐτὰ καὶ πάσχειν με δεῖ.
ΟΡ. ἀπόδος τὸ σῶμα πατρίδι, μὴ σύνθνῃσκέ μοι.
σοὶ μὲν γάρ ἔστι πόλις, ἐμοὶ δ' οὐκ ἔστι δή,
καὶ δῶμα πατρὸς καὶ μέγας πλούτου λιμήν.
γάμων δὲ τῆς μὲν δυσπότμου τῆσδ' ἐσφάλης,
ἥν σοι κατηγγύησ' ἑταιρίαν σέβων·
σὺ δ' ἄλλο λέκτρον παιδοποίησαι λαβών,
κῆδος δὲ τοὐμὸν καὶ σὸν οὐκέτ' ἔστι δή.
ἀλλ', ὦ ποθεινὸν ὄμμ' ὁμιλίας ἐμῆς,

1059 *ηὐλαβεῖτο B*, *εὐλαβεῖτο* ceteri 1060 *εἶα AE* 1061 *ἀξιώτατα*] in marg. *γρ. δεξιώτατα A* 1062 *ἀποδεῖξαι A*, *ἀποδείξω* A^2 et ceteri, etiam pap. Aegypt., qui fragmenta satis ampla versuum 1062—90 exhibet, cfr. Rev. de Philol. XIX (1895) p. 105 sqq. | *πόλει* et in marg. *γρ. πατρός Aa*, *πόλει* ceteri (etiam pap. Aegypt.) | *ἀποδεῖξαι θέλω* Kirchhoff, fort. *ἀποδεῖξαι ποθῶ* 1063 *φασγάνῳ B*, *φάσγανον b* 1064 *βουλεύμασι B*, superscr. *τολμήμασι b*, *βουλεύμασιν* pap. Aegypt.
1066 *κατθανόντος* mut. in *κατθανόντοιν L* 1067 *δὲ B* 1068 *χαῖρ'* in ras. scr. A^2 | *πορ∗εύομαι* una vel duabus literis erasis et in marg. *γρ. πορεύομαι a* 1069 *πρῶτον L* 1072 *εἶρου* mut. in *ἤρου A* | *ἑταιρείας* mut. in *ἑταιρίας aE*, *ἑταιρείας* etiam pap. Aegypt. 1073 *γρ. σὺ* cod. Aug., *σὴν OS* 1074 *τ' αυτὰ a*, *ταῦτα* ceteri | versus suspectus 1075 *πατρίδι*] Bothe, *πατρὶ* libri (etiam pap. Aegypt.) 1076 *ἔσται* (corr. in *ἔστι b*) . . *ἔσται B* | *οὐκέτι δή E* 1078 *γάμον B* 1079 *ἑταιρείαν E* et pap. Aegypt., mut. in *ἑταιρίαν a* 1081 *κῆδός τε ES* et pap. Aegypt. | *ἔσται B* 1082 *ὄμμ' BL* et pap. Aegypt., *ὄνομ'*

χαῖρ'· οὐ γὰρ ἡμῖν ἔστι τοῦτο, σοί γε μήν·
οἱ γὰρ θανόντες χαρμάτων τητώμεθα.
ΠΥ. ἦ πολὺ λέλειψαι τῶν ἐμῶν βουλευμάτων.
μήθ' αἷμά μου δέξαιτο κάρπιμον πέδον,
μὴ λαμπρὸς αἰθήρ, εἴ σ' ἐγὼ προδούς ποτε
ἐλευθερώσας τοὐμὸν ἀπολίποιμί σε.
καὶ συγκατέκτανον γάρ, οὐκ ἀρνήσομαι,
καὶ πάντ' ἐβούλευσ' ὧν σὺ νῦν τίνεις δίκας·
καὶ ξυνθανεῖν οὖν δεῖ με σοὶ καὶ τῇδ' ὁμοῦ.
ἐμὴν γὰρ αὐτήν, ἧς λέχος ἐπῄνεσα,
κρίνω δάμαρτα· τί γὰρ ἐρῶ κἀγώ ποτε
γῆν Δελφίδ' ἐλθὼν Φωκέων ἀκρόπτολιν,
ὃς πρὶν μὲν ὑμᾶς δυστυχεῖν φίλος παρῆ,
νῦν δ' οὐκέτ' εἰμὶ δυστυχοῦντί σοι φίλος;
οὐκ ἔστιν, ἀλλὰ ταῦτα μὲν κἀμοὶ μέλει.
ἐπεὶ δὲ κατθανούμεθ', ἐς κοινοὺς λόγους
ἔλθωμεν, ὡς ἂν Μενέλεως συνδυστυχῇ.
ΟΡ. ὦ φίλτατ', εἰ γὰρ τοῦτο κατθάνοιμ' ἰδών.
ΠΥ. πιθοῦ νυν, ἄμμεινόν τε φασγάνου τομάς.
ΟΡ. μενῶ, τὸν ἐχθρὸν εἴ τι τιμωρήσομαι.
ΠΥ. σίγα νυν· ὡς γυναιξὶ πιστεύω βραχύ.
ΟΡ. μηδὲν τρέσῃς τάσδ'· ὡς πάρεισ' ἡμῖν φίλαι.
ΠΥ. Ἑλένην κτάνωμεν, Μενέλεῳ λύπην πικράν.
ΟΡ. πῶς; τὸ γὰρ ἕτοιμον ἔστιν, εἴ γ' ἔσται καλῶς.

---

ceteri | inter hunc et proximum v. spatium unius versus vacuum in *E*
1085 *που A*, *πολὺ* A^2B, *που* ceteri 1086 *μὴ σῶμά μου* Jortin, fort. *μὴ σάρκα μου*, cfr. Hipp. 1031 1087 *μήτε B*, corr. in *μὴ b* | *αἰθήρ τε πνεῦμα λαμπρός, εἰ προδούς σ' ἐγώ* Burges, fort. *μὴ λαμπρὸς αἰθὴρ πνεῦμ', ἐγὼ προδούς ποτ' εἰ*, cfr. schol. *μήτε τὸ σῶμά μου, φησίν, ἀποθανόντος ἡ γῆ παραδέξαιτο μήτε εἰς αἰθέρα ἡ ἐμὴ ψυχὴ χωροίη* 1088 *ἀπολείποιμι AaL* 1090 *νῦν* om. *B*, supplevit *b* 1091 *οὖν* om. *EG*, supplevit *g* | *με δεῖ B* 1092 *λέχος γ'* recentiores, *γε λέχος* Porson | *ἧς λέχος συνῄνεσα* Hermann, *ἧς λέχος κατῄνεσας* Paley 1093 *γὰρ ἐγὼ B*, corr. in *γὰρ b* | *κἀγώ L*, *καλόν* ceteri 1094 *γῆν*] *τὴν F* | *Φωκέων τ'* Paley | *ἀκρόπολιν OS* 1095 *παρῆν* libri 1097 *μέλλει B* 1098 *ἐς* hic *A* 1099 *δυστυχῇ B*, *λείπει σὺν* superscr. *b* 1100 *ἦ γὰρ G* 1101 *πείθου L* | *νυν L*, *νῦν* ceteri | *ἀμεινον*, scripto *να* super *ἀ*, *A*, *ἀμμεινον* A^2, *ἀνάμεινον* ceteri 1102 *τι* om. *L* 1103 *νυν L*, *νῦν* ceteri 1104 *πάρες A*, *πάρεϊσι* A^2 1106 *ἕτοιμον ἔστιν*] fort. *ἐμὸν πρόθυμον*, cfr. Med. 178, Iph. T. 1023 | *ἔσται καλῶς*] *ἐν εὐμαρεῖ* Heimsoeth cl. schol. *εἰ ἔσται εὐμαρῶς τὸ κτεῖναι*

ΠΥ. σφάξαντες. ἐν δόμοις δὲ κρύπτεται σέθεν.
ΟΡ. μάλιστα· καὶ δὴ πάντ' ἀποσφραγίζεται.
ΠΥ. ἀλλ' οὐκέθ', Ἅιδην νυμφίον κεκτημένη.
ΟΡ. καὶ πῶς; ἔχει γὰρ βαρβάρους ὀπάονας.
ΠΥ. τίνας; Φρυγῶν γὰρ οὐδέν' ἂν τρέσαιμ' ἐγώ.
ΟΡ. οἵους ἐνόπτρων καὶ μύρων ἐπιστάτας.
ΠΥ. τρυφὰς γὰρ ἥκει δεῦρ' ἔχουσα Τρωικάς;
ΟΡ. ὥσθ' Ἑλλὰς αὐτῇ σμικρὸν οἰκητήριον.
ΠΥ. οὐδὲν τὸ δοῦλον πρὸς τὸ μὴ δοῦλον γένος.
ΟΡ. καὶ μὴν τόδ' ἔρξας δὶς θανεῖν οὐχ ἅζομαι.
ΠΥ. ἀλλ' οὐδ' ἐγὼ μήν, σοί γε τιμωρούμενος.
ΟΡ. τὸ πρᾶγμα δήλου καὶ πέραιν', ὅπως λέγεις.
ΠΥ. ἔσιμεν ἐς οἴκους δῆθεν ὡς θανούμενοι.
ΟΡ. ἔχω τοσοῦτον, τἀπίλοιπα δ' οὐκ ἔχω.
ΠΥ. γόους πρὸς αὐτὴν θησόμεσθ' ἃ πάσχομεν.
ΟΡ. ὥστ' ἐκδακρῦσαί γ' ἔνδοθεν κεχαρμένην.
ΠΥ. καὶ νῷν παρέσται ταῦθ' ἅπερ κείνῃ τότε.
ΟΡ. ἔπειτ' ἀγῶνα πῶς ἀγωνιούμεθα;
ΠΥ. κρύπτ' ἐν πέπλοισι τοισίδ' ἕξομεν ξίφη.
ΟΡ. πρόσθεν δ' ὀπαδῶν τίς ὄλεθρος γενήσεται;
ΠΥ. ἐκκλήσομεν σφᾶς ἄλλον ἄλλοσε στέγης.
ΟΡ. καὶ τόν γε μὴ σιγῶντ' ἀποκτείνειν χρεών.
ΠΥ. εἶτ' αὐτὸ δηλοῖ τοὔργον οἷ τείνειν χρεών.
ΟΡ. Ἑλένην φονεύειν· μανθάνω τὸ σύμβολον.
ΠΥ. ἔγνως· ἄκουσον δ' ὡς καλῶς βουλεύομαι.
εἰ μὲν γὰρ ἐς γυναῖκα σωφρονεστέραν

1107 *δόμοισι E* (*δὲ* om. *F*) | *δὲ*] *γὰρ B* 1107 sq. fort. *σφάξαντες· ἐν δόμοις δ' ἀποσφραγίζεται*, ceteris et versu 1109 deletis, cfr. Herc. 53 1112 *οἵους A* | *κατόπτρων* Ael. H. A. VII 25 1113 sq. suspecti 1114 *αὐτὴ L* | *μικρὸν E* | *ἡβητήριον* Naber 1116 *ἕρξας L* | *οὐχ ἅζομαι aE*, *οὐ χάζομαι* a^3 et ceteri 1117 *ἐγώ μιν G* | *σύ A*, *σοι* A^2 1119 *εἰς G* 1121 *γόοις B*, corr. in *γόους b* | *θησόμεθ' BES* 1122 *ὥστε δακρύσαι γ' L* | *ἐκδακρύειν B*, corr. in *ἐκδακρύσαι b*, *ἐνδακρῦσαι E* | *ἐκδακρῦσαί σφ'* Hartung | *ἔνδον G* | *κεχαρμένην B*, *κεχαρμένη b* 1123 *νὼ G*, *νῶϊν* ceteri | *ὅπερ B*, corr. in *ἅπερ b*, fort. *ταὔθ' ὅπερ* 1125 *τοῖσιν E* | *τοῖσδ' ἐφέξομεν L* 1127 *ἐκκλήσομεν Aa*, *ἐκκλείσομεν* ceteri (*ἐγκλείσομεν S*) | *ἄλλος ἄλλον ἐν στέγαις B* 1129 *εἶτ' αὐτό γε τοὖργον E* | *οἷ* mut. in *ᾗ G* | *κτείνειν L* | *οἷ* [*τείνειν χρεών*] Kirchhoff, fort. *οἷ τείνει λόγος* 1131 *δ'* om. *A*, *θ' E* | *βουλεύσομαι a*, *βεβούλευμαι F*, unde *ὡς βεβούλευμαι καλῶς* Hermann

ξίφος μεθεῖμεν, δυσκλεὴς ἂν ἦν φόνος·
νῦν δ' ὑπὲρ ἁπάσης Ἑλλάδος δώσει δίκην,
ὧν πατέρας ἔκτειν', ὧν δ' ἀπώλεσεν τέκνα,
νύμφας τ' ἔθηκεν ὀρφανὰς ξυναόρων.
ὀλολυγμὸς ἔσται, πῦρ τ' ἀνάψουσιν θεοῖς,
σοὶ πολλὰ κἀμοὶ κέδν' ἀρώμενοι τυχεῖν,
κακῆς γυναικὸς οὕνεχ' αἷμ' ἐπράξαμεν.
ὁ μητροφόντης δ' οὐ καλῇ ταύτην κτανών,
ἀλλ' ἀπολιπὼν τοῦτ' ἐπὶ τὸ βέλτιον πεσῇ,
Ἑλένης λεγόμενος τῆς πολυκτόνου φονεύς.
οὐ δεῖ ποτ' οὐ δεῖ Μενέλεων μὲν εὐτυχεῖν,
τὸν σὸν δὲ πατέρα καὶ σὲ κἀδελφὴν θανεῖν,
μητέρα τ'· ἐῶ τοῦτ'· οὐ γὰρ εὐπρεπὲς λέγειν·
δόμους δ' ἔχειν σοὺς δι' Ἀγαμέμνονος δόρυ
λαβόντα νύμφην· μὴ γὰρ οὖν ζῴην ἔτι,
ἢν μὴ 'π' ἐκείνῃ φάσγανον σπασώμεθα.
ἢν δ' οὖν τὸν Ἑλένης μὴ κατάσχωμεν φόνον,
πρήσαντες οἴκους τούσδε κατθανούμεθα.
ἑνὸς γὰρ οὐ σφαλέντες ἕξομεν κλέος,
καλῶς θανόντες ἢ καλῶς σεσωμένοι.

ΧΟ. πάσαις γυναιξὶν ἀξία στυγεῖν ἔφυ
ἡ Τυνδαρὶς παῖς, ἣ κατῄσχυνεν λέχος.

ΟΡ. φεῦ·
οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ φίλος σαφής,
οὐ πλοῦτος, οὐ τυραννίς· ἀλόγιστον δέ τι
τὸ πλῆθος ἀντάλλαγμα γενναίου φίλου.

1133 φόβος *E* 1134 δώσει] fort. τίσει 1135 fort. χὤν πατέρας | ἔκτανεν *F* i. e. ἔκταν' | δ'] τ' *B* | ἀπώλεσε *BEL* 1137—39 suspecti 1137 δ' ἔσται *E*, unde ὀλόλυγμα δ' ἔσται Hermann | ἀνάψουσι *BS* (ἀνάψουσιν *l*) 1139 ἐπράξαμεν *B*, sed ξα in ras. scr. *b* 1140 ὁ om. *L*, add. *l* 1142 γενόμενος *B* 1143 ποτ'] γὰρ Paley 1144 τὸν om. *L*, add. *l* 1145 μητέρα δ' in rec. libro | τοῦτο *L* | versum delebat Hartung, etiam 1146—48 suspecti (unum 1148 delet etiam Oeri) 1146 δόμους τ' *B* | δορὸς Schenkl 1148 'πι 'κείνῃ *B*, 'πι κείνῃ *L* | σπασώμεθα] Kirchhoff, σπασόμεθα *B*, σπάσω μέλαν ceteri 1149 εἰ δ' οὖν *G*, ἢν δ' αὖ *F* 1151 ἑνὸς] δυοῖν Nauck 1152 σεσωσμένοι libri 1154 κατῄσχυνε *AB*, κατῄσχυνεν mut. in κατῄσχυνε *a* | λέχος *B*, γένος ceteri 1155 σαφής γρ. καὶ ἀληθής *A*, σαφής et in marg. ἀντὶ ἀληθής *a*, ἀληθής *h* 1157 πλῆθος] fort. κῆδος | ἀντάλαγμα *B* | γεναίου *A*

σὺ γάρ τά τ' εἰς Αἴγισθον ἐξηῦρες κακὰ
καὶ πλησίον παρῆσθα κινδύνων ἐμοί,
νῦν τ' αὖ δίδως μοι πολεμίων τιμωρίαν
κοὐκ ἐκποδὼν εἶ. παύομαί σ' αἰνῶν, ἐπεὶ
βάρος τι κἀν τῷδ' ἐστίν, αἰνεῖσθαι λίαν.
ἐγὼ δὲ πάντως ἐκπνέων ψυχὴν ἐμὴν
δράσας τι χρῄζω τοὺς ἐμοὺς ἐχθροὺς θανεῖν,
ἵν' ἀνταναλώσω μὲν οἵ με προύδοσαν,
στένωσι δ' οἵπερ κἄμ' ἔθηκαν ἄθλιον.
Ἀγαμέμνονός τοι παῖς πέφυχ', ὃς Ἑλλάδος
ἦρξ' ἀξιωθείς, οὐ τύραννος, ἀλλ' ὅμως
ῥώμην θεοῦ τιν' ἔσχ'· ὃν οὐ καταισχυνῶ
δοῦλον παρασχὼν θάνατον, ἀλλ' ἐλευθέρως
ψυχὴν ἀφήσω, Μενέλεων δὲ τίσομαι.
ἑνὸς γὰρ εἰ λαβοίμεθ', εὐτυχοῖμεν ἄν,
εἴ ποθεν ἄελπτος παραπέσοι σωτηρία
κτανοῦσι μὴ θανοῦσιν· εὔχομαι τάδε.
εἰ μὴ γένοιτο δ', ἡδὺ καὶ διὰ στόμα
πτηνοῖσι μύθοις ἀδαπάνως τέρψαι φρένα.
ΗΛ. ἐγώ, κασίγνητ', αὐτὸ τοῦτ' ἔχειν δοκῶ,
σωτηρίαν σοὶ τῷδέ τ' ἐκ τρίτων τ' ἐμοί.
ΟΡ. θεοῦ λέγεις πρόνοιαν. ἀλλὰ ποῦ τόδε;
ἐπεὶ τὸ συνετόν γ' οἶδα σῇ ψυχῇ παρόν.
ΗΛ. ἄκουε δή νυν· καὶ σὺ δεῦρο νοῦν ἔχε.
ΟΡ. λέγ'· ὡς τὸ μέλλειν ἀγάθ' ἔχει τιν' ἡδονήν.
ΗΛ. Ἑλένης κάτοισθα θυγατέρ'; εἰδότ' ἠρόμην.
ΟΡ. οἶδ', ἣν ἔθρεψεν Ἑρμιόνην μήτηρ ἐμή.

1158 ἐξεῦρες libri 1159 παρίστα *B* | κακὸν ἐμόν *h* 1160 νῦν δ' *G* 1161 ἐμποδὼν *G* | παύομαι] scripsi, παύσομαι libri 1162 καὶ τόδ' Stob. fl. 14̈, 6 1164 ἐμοὺς om. *a*, supplevit *a*³ 1165 ἀνταναλώσω μὲν *E*, ἀνταναλώσομεν *B*, corr. in ἀνταναλώσω μὲν *b*, ἀνταναλώσομεν ceteri 1166 δ' *L*, θ' *l* 1167 πέφυκ' *BEL* (πέφυχ' *l*) 1168 ἦρχ' Bothe 1169 ἔσχ'] Barnes, ἔσχεν libri, ἔσχον *h*, fort. εἶχ' 1170 ἐλεύθερος Nauck 1172 λαβοίμεθ' *L*, λάβοιμεν *l* | versum delet, φεῦ eius loco interponens, E. Bruhn 1174 κτανοῦσιν οὐ *Bl* 1175 εἰ μὴ γένοιτο δ'] scripsi, ὃ βούλομαι γὰρ libri 1176 τέρψω (corr. in τέρψαι *b*) φρένας *B* 1178 τῷδέ γ' *B* | τῶδε τὲ, τρίτον ἐμοί *E*, τῷδέ τε τρίτον τ' ἐμοί *S* 1179 λέγοις *E* 1180 γ' om. recentiores libri | παρών *G* 1181 δὴ νῦν *OS* 1182 τὸ μέλλειν *L*, τὸ λέγειν *lG*, τὸ μελετᾶν Heimsoeth 1183 ἢ εἰδότ' ἠρόμην; Kirchhoff 1184 ἐμοὶ *G*

ΗΛ. αὕτη βέβηκε πρὸς Κλυταιμήστρας τάφον.
ΟΡ. τί χρῆμα δράσουσ'; ὑποτιθεῖς τίν' ἐλπίδα;
ΗΛ. χοὰς κατασπείσουσ' ὑπὲρ μητρὸς τάφου.
ΟΡ. καὶ δὴ τί μοι τοῦτ' εἶπας ἐς σωτηρίαν;
ΗΛ. συλλάβεθ' ὅμηρον τήνδ', ὅταν στείχῃ πάλιν.
ΟΡ. τίνος τόδ' εἶπας φάρμακον τρισσοῖς φίλοις;
ΗΛ. Ἑλένης θανούσης, ἤν τι Μενέλεώς σε δρᾷ
ἢ τόνδε κἀμέ· πᾶν γὰρ ἓν φίλον τόδε·
λέγ' ὡς φονεύσεις Ἑρμιόνην· ξίφος δὲ χρὴ
δέρῃ πρὸς αὐτῇ παρθένου σπάσαντ' ἔχειν.
κἂν μέν σε σῴζῃ μὴ θανεῖν χρῄζων κόρην
Μενέλαος, Ἑλένης πτῶμ' ἰδὼν ἐν αἵματι,
μέθες πεπᾶσθαι πατρὶ παρθένου δέμας·
ἢν δ' ὀξυθύμου μὴ κρατῶν φρονήματος
κτείνῃ σε, καὶ σὺ σφάζε παρθένου δέρην.
καί νιν δοκῶ, τὸ πρῶτον ἢν πολὺς παρῇ,
χρόνῳ μαλάξειν σπλάγχνον· οὔτε γὰρ θρασὺς
οὔτ' ἄλκιμος πέφυκε. τήνδ' ἡμῖν ἔχω
σωτηρίας ἔπαλξιν. εἴρηται λόγος.
ΟΡ. ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη,
τὸ σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον,
ὡς ἀξία ζῆν μᾶλλον ἢ θανεῖν ἔφυς.
Πυλάδη, τοιαύτης ἆρ' ἁμαρτήσῃ τάλας
γυναικὸς ἢ ζῶν μακάριον κτήσῃ λέχος.
ΠΥ. εἰ γὰρ γένοιτο, Φωκέων δ' ἔλθοι πόλιν
καλοῖσιν ὑμεναίοισιν ἀξιουμένη.
ΟΡ. ἥξει δ' ἐς οἴκους Ἑρμιόνη τίνος χρόνου;

1185 *κλυταιμνήστρας* libri 1186 *ὑποτιθεὶς A*, *ὑποτιθεῖς A*[2], *ὑποτιθεὶς* mut. in *ὑποτίθεις L*, *ὑποτίθεις aB*, *ὑποτίθης lG*, *ὑποτιθεῖσα E* 1187 *κατασπείσασ' B* | *τάφου AB*, *τάφῳ aEG*, *τάφον L*, fort. *μητρὸς φίλης* 1188 *εἶπες ELb* 1189 *ξυλλάβεθ' L* 1190 *τίνος A*, *τίν' δὴ A*[2] | *εἶπες L* 1192 *πᾶσι γὰρ S* | *ἓν φίλον* et in marg. *ἐν φίλοις a* | *φίλοις E* 1193 *φονεύσης BG* 1196 *Μενέλαος*] ed. Brubach., *μενέλεως* libri | *ἑλένης* ex *ἑλένην* factum in *A* | versum delet Nauck 1197 *πεπτᾶσθαι A*, *πεπᾶσθαι A*[2] 1198 *κἂν δ' B*, in marg. *ἢν δ' b* 1199 *σφάξε G* 1200 *παρῇν a*, *ῥυῇ* Nauck 1201 *μαλάξει AE* 1204 *ἄρσενας L*, *ἄρσενος l*, *ἄρσενος* etiam Stob. fl. 67, 7 | post 1204 evulsis foliis octo periere v. 1205—1505 in *B* 1207 *ἆρ* vel *ἄρ'* libri 1208 om. *G*, supplevit *g* | *ἢ A*, *ἦ A*[2], *ᾗ aE*, *ἧ S* 1210 fort. *ὑμεναίοισι δεξιουμένην*

ὡς τἄλλα γ' εἶπας, εἴπερ εὐτυχήσομεν,
κάλλισθ', ἑλόντες σκύμνον ἀνοσίου πατρός.
ΗΛ. καὶ δὴ πέλας νιν δωμάτων εἶναι δοκῶ·
τοῦ γὰρ χρόνου τὸ μῆκος αὐτὸ συντρέχει.
ΟΡ. καλῶς· σὺ μέν νυν, σύγγον' Ἠλέκτρα, δόμων
πάρος μένουσα παρθένου δέχου πόδα,
φύλασσε δ' ἤν τις, πρὶν τελευτηθῇ φόνος,
ἢ ξύμμαχός τις ἢ κασίγνητος πατρὸς
ἐλθὼν ἐς οἴκους φθῇ, γέγωνέ τ' ἐς δόμους,
ἢ σανίδα παίσασ' ἢ λόγους πέμψασ' ἔσω·
ἡμεῖς δ' ἔσω στείχοντες ἐπὶ τὸν ἔσχατον
ἀγῶν' ὁπλιζώμεσθα φασγάνῳ χέρας,
Πυλάδη· σὺ γὰρ δὴ συμπονεῖς ἐμοὶ πόνους.
ὦ δῶμα ναίων νυκτὸς ὀρφναίας πάτερ,
καλῶ σ' Ὀρέστης παῖς σὸς ἐπίκουρον μολεῖν
[τοῖς δεομένοισι. διὰ σὲ γὰρ πάσχω τάλας
ἀδίκως· προδέδομαι δ' ὑπὸ κασιγνήτου σέθεν,
δίκαια πράξας· οὗ θέλω δάμαρθ' ἑλὼν
κτεῖναι· σὺ δ' ἡμῖν τοῦδε συλλήπτωρ γενοῦ.]
ΗΛ. ὦ πάτερ, ἱκοῦ δῆτ', εἰ κλύεις ἔσω χθονὸς
τέκνων καλούντων, οἳ σέθεν θνῄσκουσ' ὕπερ.
ΠΥ. ὦ συγγένεια πατρὸς ἐμοῦ, κἀμὰς λιτάς,
Ἀγάμεμνον, εἰσάκουσον· ἔκσωσον τέκνα.
ΟΡ. ἔκτεινα μητέρ', ΗΛ. ἡψάμην δ' ἐγὼ ξίφους.
[ΠΥ. ἐγὼ δ' ἐπεβούλευσα κἀπέλυσ' ὄκνου·]
ΟΡ. σοί, πάτερ, ἀρήγων. ΗΛ. οὐδ' ἐγὼ προύδωκά σε.
ΟΡ. οὔκουν ὀνείδη τάδε κλύων ῥύσῃ τέκνα;

1213 *κάλλιστ'* *AEL* 1215 *αὐτῇ* *L* 1216 *μέν νυν* rec. libri, *μὲν νῦν* *OS* 1219 delet Herwerden 1220 *τ' εἰς δόμους* (factum ex *τ' ἐκ δόμων*) *E*, *τ' εἰς δόμους* *G*, *δ' εἰς δόμους* *a*, *τ' ἐν δόμοις* *AL* 1221 *σανίδας* *aEL* 1223 *ὁπλιζόμεθα* *A*, *ὁπλιζόμεσθα* *E*, *ὁπλιζώμεθα* *G* 1223. 1224 inverso ordine leguntur in *F* 1224 delet Hermann 1226 *καλῶ*] Cobet, *καλεῖ* libri 1227—30 delevit Nauck, cfr. schol. ad v. 1229 *ἐν τῷ ἀντιγράφῳ οὐ φέρονται οὗτοι οἱ δ̄ ἴαμβοι,* [*καὶ*] *ἐν ἄλλῳ δέ* 1227 *δεομένοις* *A* 1231 *ἐγκλύεις* pro *εἰ κλ.* *L* 1232 *θνήσκουσ'* hic *A* 1233 *καὶ ἐμᾶς λιτᾶς* *A*, *καὶ ἐμᾶς λιτᾶς* *L*, *καὶ ἐμὰς λιτὰς* *aEG* 1234 *ἄκουσον* *G* 1235 *μητέρα* *AS* | *ΠΥ.* *A*, *ΗΛ.* *A²*, *ΠΥ.* ceteri 1236 *ΗΛ.* *A*, *ΠΥ.* *A²*, *ΗΛ.* ceteri | *κἀγὼ δ' ἐπεκέλευσα* *a*, *ἐγὼ δ' ἐπενεκέλευσα* Nauck (*ἐπεγκέλευσα* Musgrave) | versum delevi 1237 *ΗΛ.*] *ΠΥ.* *L* 1238 *ΟΡ.* *L*, *ΠΥ.* ceteri | *ῥῦσαι* *S*

ΗΛ. δακρύοις κατασπένδω σ'. *ΟΡ.* ἐγὼ δ' οἴκτοισί γε.
ΠΥ. παύσασθε, καὶ πρὸς ἔργον ἐξορμώμεθα.
εἴπερ γὰρ εἴσω γῆς ἀκοντίζουσ' ἀραί,
κλύει. σὺ δ', ὦ Ζεῦ πρόγονε καὶ Δίκης σέβας,
δότ' εὐτυχῆσαι τῷδ' ἐμοί τε τῇδέ τε·
τρισσοῖς φίλοις γὰρ εἷς ἀγών, δίκη μία.
[ἢ ζῆν ἅπασιν ἢ θανεῖν ὀφείλεται].

ΗΛ. Μυκηνίδες ὦ φίλιαι, stroph.
τὰ πρῶτα κατὰ Πελασγὸν ἕδος Ἀργείων.
ΧΟ. τίνα θροεῖς αὐδάν, πότνια; παραμένει
γὰρ ἔτι σοι τόδ' ἐν Δαναϊδῶν πόλει.
ΗΛ. στῆθ' αἳ μὲν ὑμῶν τόνδ' ἁμαξήρη τρίβον,
αἳ δ' ἐνθάδ' ἄλλον οἶμον ἐς φρουρὰν δόμων.
ΧΟ. τί δέ με τόδε χρέος ἀπύεις,
ἔνεπέ μοι, φίλα.
ΗΛ. φόβος ἔχει με μή τις ἐπὶ δώμασι
σταθεὶς ἐπὶ φοίνιον αἷμα
πήματα πήμασιν ἐξεύρῃ.
ΗΜΙΧ. χωρεῖτ', ἐπειγώμεσθ'· ἐγὼ μὲν οὖν τρίβον
τόνδ' ἐκφυλάξω, τὸν πρὸς ἡλίου βολάς.
ΗΜΙΧ. καὶ μὴν ἐγὼ τόνδ', ὃς πρὸς ἑσπέραν φέρει.
ΗΛ. δόχμιά νυν κόρας διάφερ' ὀμμάτων
ἐκεῖθεν ἐνθάδ', εἶτα παλινσκοπιάν.
ΧΟ. ἔχομεν ὡς θροεῖς.

ΗΛ. ἑλίσσετέ νυν βλέφαρον, antistr.
κόρας διάδοτε διὰ βοστρύχων πάντᾳ.

1239 *ΗΛ. . . ΟΡ.*] F. Gu. Schmidt, notas om. *L*, *ΟΡ. . . ΗΛ.* ceteri | σε *ES* 1240 ἐξωρμώμεθα *A*, ἐξορμώμεθα *A*², ἐξομώμεθα *E* 1241 γῆς εἴσω γῆς *G* 1242 Ζεῦ om. *G* | δίκας *L* et mut. in δίκης *G* 1243 δὸς *L* 1244 δίκη] τύχη F. Gu. Schmidt 1245 delevit Nauck 1246 μηκύνιδες *E* | φίλιαι] Hermann, φίλαι libri 1247 πρῶτ' ἀνὰ Hartung | ἕδον *L*, ἕδος *l* 1251 τήνδ' *L* 1254 ἔνεπε rec. libri, ἔννεπε *OS* 1255 δώματι *L* 1256 ταθεὶς *L*, σταθεὶς *l*, συθεὶς Herwerden | φοίνιον] Triclinius, φόνιον libri 1257 ἐξάρῃ Herwerden 1258 *ΧΟ.* praefixit *A*² | ἐπειγώμεσθ' om. *AE*, ἐπειγόμεσθ' *L* 1259 τόνδε φυλάξω *L* | ἐκφυλάξω fecit ex ἐκφυλάσσω *E* 1260 ἐγὼ τὸν *L* 1261 *ΗΛ.* om. *L* | δόχμια νῦν libri 1264 εἶτα παλινσκοπίαν *A*, εἶτα πάλιν σκοπιάν mut. in εἶτ' ἐπ' ἄλλην σκοπιάν *aE*, εἶτ' ἐπ' ἄλλην σκοπιάν *S* 1266 *ΗΛ.* om. *AL* | ἑλίσσετε νῦν libri | βλέφαρα rec. libri 1267 κόρας διάδοτε] Canter, κόραισι δίδοτε libri | βοτρύχων Dindorf |

ΗΜΙΧ. ὅδε τις ἐν τρίβῳ [προσέρχεται]. τίς ὅδ' ἄρ' ἀμ-
φὶ μέλαθρον πολεῖ σὸν ἀγρότας ἀνήρ;
ΗΛ. ἀπωλόμεσθ' ἄρ', ὦ φίλαι· κεκρυμμένους
θῆρας ξιφήρεις αὐτίκ' ἐχθροῖσιν φανεῖ.
ΗΜΙΧ. ἄφοβος ἔχε· κενός, ὦ φίλα,
στίβος ὃν οὐ δοκεῖς.
ΗΛ. τί δέ; τό σὸν βέβαιον ἔτι μοι μένει;
δὸς ἀγγελίαν ἀγαθάν τιν',
εἰ τάδ' ἔρημα τὰ πρόσθ' αὐλᾶς.
ΗΜΙΧ. καλῶς τά γ' ἐνθένδ'. ἀλλὰ τἀπὶ σοῦ σκόπει·
ὡς οὔτις ἡμῖν Δαναΐδῶν πελάζεται.
ΗΜΙΧ. ἐς ταὐτὸν ἥκεις· καὶ γὰρ οὐδὲ τῇδ' ὄχλος.
ΗΛ. φέρε νυν ἐν πύλαισιν ἀκοὰν βάλω·
τί μέλλεθ' οἱ κατ' οἶκον ἐν ἡσυχίᾳ;
ΧΟ. σφάγια φοινίσσουσ'.

ΗΛ. οὐκ εἰσακούουσ'· ὦ τάλαιν' ἐγὼ κακῶν.
ἆρ' ἐς τὸ κάλλος ἐκκεκώφωνται ξίφη;
τάχα τις Ἀργείων ἔνοπλος ὁρμήσας
ποδὶ βοηδρόμῳ μέλαθρα προσμίξει.
σκέψασθέ νυν ἄμεινον· οὐχ ἕδρας ἀγών·
ἀλλ' αἱ μὲν ἐνθάδ', αἱ δ' ἐκεῖσ' ἑλίσσετε.
ΧΟ. ἀμείβω κέλευθον σκοπεύουσ' ἁπάντᾳ.

πάντα *L*, πάντῃ ceteri 1269 προσέρχεται] πρόσεχε Seidler, τίς ὅδε Hermann, fort. πότνια 1271 ἀπολόμεθ' *A*, ἀπωλόμεθ' *G* | ἂρ *Aa*, ἂν *EG* | κεκρυμένας mut. in -ους *A* 1272 ἐχθροῖσι *A*, ἐχθρὸς mut. in ἐχθροῖς *a*, ἐχθροῖς εἰ (mut. in ἦν) *E*, ἐχθροῖς εἰ *L*, ἐχθροῖσιν εἰ *G* | φανῇ mut. in φανεῖ *a*, φανῇ *EL* 1273 *ΧΟ. L* 1274 τρίβος Barthold | ὃν σὺ *ES* 1276 τιν'] Triclinius, τινά μοι libri 1278 *ΧΟ. AaL*, ἡμι praescr. a^2 | ἐνθένδ' recentiores libri, ἔνθεν *OS* | τὰ πί σου (corr. in σω A^2) *A*, τἀπὶ σοῦ *EG*, τὰ 'πίσω *a*, τἀπὶ σῶ *L* 1279 *ΗΛ. L* 1280 *ΧΟ. L* 1281 personae nota erasa in *E* | νυν] Barnes, νῦν libri 1284 ἁσυχίᾳ Dindorf 1285 *ΧΟ.* σφάγια φοινίσσουσ'] Kirchhoff, σφάγια φοινίσσειν libri, schol. τινὲς γράφουσι σφαγίδα (σφραγίδα *A*) φοινίσσειν ὅ ἐστι τὴν μάχαιραν (μαχαιρίδα *a*) 1286 *ΗΛ.* om. *aL* | εἰσακούουσ' *A*, εἰσακούσουσ' A^2, εἰσακούουσ' mut. in εἰσακούουσιν *aE* 1287 ἂρ εἰ *A* | ἐκκεκώφηται *AES* et super η superscr. ων *a*, ἐκκεκώφηται corr. in ἐκκέκωφωται *F*, ἐκκεκώφηνται Clem. Alex. Strom. II p. 175, cfr. schol. ἐὰν ῇ ἐκκεκώφηται ἄνευ τοῦ ν̄ .. ἐὰν δὲ ῇ ἐκκεκώφηνται .. Ἀριστοφάνης δὲ γράφει ἐκκεκώφωνται ξίφη et Athen. V p. 188 C πρὸς τὸ περιβόητον ἐκκεκωφωμένοι κάλλος 1289 ἔνοπλος recentiores libri, ἐν ὅπλοις *OS* 1291 σκέψασθε *A*, σκέψασθαι A^2 | νῦν *S* | ἀγών] ἀκμή Nauck 1292 ἐκεῖσε λεύσσετε J. M. v. Gent 1295 σκοπεύουσ'

ΕΛΕΝΗ.

ἰὼ Πελασγὸν Ἄργος, ὄλλυμαι κακῶς.
ΗΜΙΧ. ἠκούσαθ'; ἄνδρες χεῖρ' ἔχουσιν ἐν φόνῳ.
ΗΜΙΧ. Ἑλένης τὸ κώκυμ' ἐστίν, ὡς ἀπεικάσαι.
ΗΛ. ὦ Διός, ὦ Διὸς ἀέναον κράτος,
ἐλθ' ἐπίκουρος ἐμοῖσι φίλοισι πάντως.
ΕΛ. Μενέλαε, θνήσκω· σὺ δὲ παρὼν μ' οὐκ ὠφελεῖς.
ΗΛ. φονεύετε καίνετε
ὄλλυτε, δίπτυχα δίστομα φάσγανα
ἐκ χερὸς ἱέμενοι
τὰν λιποπάτορα λιπόγαμόν θ', ἃ πλείστους
ἔκανεν Ἑλλάνων
δορὶ παρὰ ποταμὸν ὀλομένους, ὅθι
δάκρυα δάκρυσιν ἔπεσε σιδαρέοις
βέλεσιν ἀμφὶ τὰς Σκαμάνδρου δίνας.

ΧΟ. σιγᾶτε σιγᾶτ'· ᾐσθόμην κτύπου τινὸς
κέλευθον ἐσπεσόντος ἀμφὶ δώματα.
ΗΛ. ὦ φίλταται γυναῖκες, ἐς μέσον φόνον
ἥδ' Ἑρμιόνη πάρεστι· παύσωμεν βοήν.
στείχει γὰρ ἐσπαίσουσα δικτύων βρόχους.

ἀπάντᾳ] Nauck ex gramm. Ambros. (in Append. Lex. Vindob. p. 285 sive Keil. Anal. gramm. p. 7, 29), qui hunc versum ut bacchiacum affert, ubi σκοπεὺς ἀπατᾷ legitur, σκοποῦσα πάντα libri (σκοποῦσ' ἅπαντα *F*) 1296 πελασγῶν *G* 1297 et 1298 *ΗΜΙΧ.*, 1299 *ΗΛ.*] Hermann, 1297 *ΗΛ.* (*ΧΟ.* mut. in *ΗΛ.* *a*), 1298 notam om. libri, 1299 *ΗΜΙΧ.* *AaE*, *ΧΟ.* *G*, om. *L* 1297 ἠκούσαθ'; ἄνδρες] Porson, ἠκούσατ' ἄνδρες *AES*, ἠκούσατ'; ἄνδρες *a* (ante ἄνδρες *a*² superscr. οἱ) 1298 κώκυσμ' *G* | fort. ἐπεικάσαι 1299 ἀένναον *AaG* 1300 ἐπίκουρος *A*, ἐπίκουρον ceteri | ἐμοῖς recentiores nonnulli libri 1301 μενέλεε *G* | μ' om. *L* 1302 *ΗΜΙΧ.* *a* | φονεύετε] fort. θείνετε, cfr. ad 1303 | καίνυτε *A*, καίνετ' *L*, fort. καίνετ' ἀπ- 1303 δίστο *A*, δίστομα *A*² | φάσγανα *ES*, φάσγανα πέμπετε γρ. καὶ θείνετε *A*, φάσγανα πέμπετε *a* 1304 χειρὸς *G* 1305 εἷς ante v. scr. *a*² | τὰν om. *AaES*, supra v. add. *l* | λειποπάτορα λειπόγαμον *EL* | θ' om. libri, add. Hermann 1306 ἔκτανεν *AL* 1308 δόρει Hermann | παρὰ ποταμὸν] fort. Δαρδάνων | ὀλλομένους *G* | ὁπόθι Hermann 1309 δάκρυσιν *Aa*, δάκρυσι ceteri | ἔπεσε *Aa*, συνέπεσεν ἔπεσε *EG*, συνεπέσε *L* | fort. δάκρυσι δάκρυ' ἔπεσ' ἔπεσε | σιδαρέοις] Hermann, σιδαρέοισι libri 1310 βέλεσσιν *L*, βέλεσιν *l* | ἀμφὶ τὰ *A* 1311 ὅλος ὁ χορὸς praefixit *E* 1313 φόνον] fort. βόλον, cfr. Bacch. 848, Rhes. 730 1315 ἐσπαίσουσα] scripsi, εἰσπεσοῦσα libri, cfr. Rhes. 560

καλὸν τὸ θήραμ', ἢν ἁλῷ, γενήσεται.
πάλιν κατάστηθ' ἡσύχῳ μὲν ὄμματι,
χρόᾳ δ' ἀδήλῳ τῶν δεδραμένων πέρι·
κἀγὼ σκυθρωποὺς ὀμμάτων ἕξω κόρας,
ὡς δῆθεν οὐκ εἰδυῖα τἀξειργασμένα.
ὦ παρθέν', ἥκεις τὸν Κλυταιμήστρας τάφον
στέψασα καὶ σπείσασα νερτέροις χοάς;

ΕΡΜΙΟΝΗ.

ἥκω, λαβοῦσα πρευμένειαν. ἀλλά μοι
φόβος τις εἰσελήλυθ', ἥντιν' ἔνδοθεν
τηλουρὸς οὖσα δωμάτων κλύω βοήν.
ΗΛ. τί δ'; ἄξι' ἡμῖν τυγχάνει στεναγμάτων.
ΕΡ. εὔφημος ἴσθι· τί δὲ νεώτερον λέγεις;
ΗΛ. θανεῖν Ὀρέστην κἄμ' ἔδοξε τῇδε γῇ.
ΕΡ. μὴ δῆτ', ἐμούς γε συγγενεῖς πεφυκότας.
ΗΛ. ἄραρ'· ἀνάγκης δ' ἐς ζυγὸν καθέσταμεν.
ΕΡ. ἦ τοῦδ' ἕκατι καὶ βοὴ κατὰ στέγας;
ΗΛ. ἱκέτης γὰρ Ἑλένης γόνασι προσπεσὼν βοᾷ
ΕΡ. τίς; οὐδὲν οἶδα μᾶλλον, ἢν σὺ μὴ λέγῃς.
ΗΛ. τλήμων Ὀρέστης μὴ θανεῖν, ἐμοῦ θ' ὕπερ.
ΕΡ. ἐπ' ἀξίοισί τἄρ' ἀνευφημεῖ δόμος.
ΗΛ. περὶ τοῦ γὰρ ἄλλου μᾶλλον ἂν φθέγξαιτό τις;
ἀλλ' ἐλθὲ καὶ μετάσχες ἱκεσίας φίλοις,
σῇ μητρὶ προσπεσοῦσα τῇ μέγ' ὀλβίᾳ,
Μενέλαον ἡμᾶς μὴ θανόντας εἰσιδεῖν.
ἀλλ', ὦ τραφεῖσα μητρὸς ἐν χεροῖν ἐμῆς,
οἴκτειρον ἡμᾶς κἀπικούφισον κακῶν.
ἴθ' εἰς ἀγῶνα δεῦρ', ἐγὼ δ' ἡγήσομαι·
σωτηρίας γὰρ τέρμ' ἔχεις ἡμῖν μόνη.

1318 χρόᾳ *EG*, χρόα *Aa*, χροιᾶ (vel χροιᾷ) A^2a^3, χροιᾶ *L* | δ'] Porson, τ' libri 1321 κλυταιμνήστρας libri 1322 νερτέρων *c* 1323 μοι *a*, με a^3 1324 ἔνδοθεν Hartung] ἐν δόμοις libri 1328 καί μ' *E* 1329 ἐμοῦ *AL* | γε om. *L*, supra v. add. *l* 1330 ἀνάγγης *E* | δ' om. *E* | ἐς hic *S* 1332 προσπεσὸν *A*, προσπεσὼν A^2 1333 οὐ γὰρ οἶδα *A* | ἣν μὴ σὺ *L* 1335 ἀξίοισι τ' ἆρ' *E*, ἀξίοισιν γὰρ *Aa*, ἀξίοισιν ἄρ' a^2, ἀξίοισιν ἆρ' *L*, ἀξίοις τ' ἄρ' *G* | δόμος (ο in ras.) *A*, δόμους *a*, δόμος a^2 1337 καὶ om. *L* 1340 ἀλλ'] ἄγ' Weil 1341 κἀποκούφισον *F* 1342 ἐγὼ διηγήσομαι *E*

ΕΡ. *ἰδού, διώκω τὸν ἐμὸν ἐς δόμους πόδα.*
σώθηθ' ὅσον γε τοὐπ' ἔμ'. ΗΛ. ὦ κατὰ στέγας
φίλοι ξιφήρεις, οὐχὶ συλλήψεσθ' ἄγραν;
ΕΡ. *οἲ ἐγώ· τίνας τούσδ' εἰσορῶ; ΟΡ. σιγᾶν χρεών·*
ἡμῖν γὰρ ἥκεις, οὐχὶ σοί, σωτηρία.
ΗΛ. *ἔχεσθ' ἔχεσθε· φάσγανον δὲ πρὸς δέρῃ*
βαλόντες ἡσυχάζεθ', ὡς εἰδῇ τόδε
Μενέλαος, οὕνεκ' ἄνδρας, οὐ Φρύγας κακούς,
εὑρὼν ἔπραξεν οἷα χρὴ πράσσειν κακούς.

ΧΟ. *ἰὼ ἰὼ φίλαι,* stroph.
κτύπον ἐγείρετε, κτύπον καὶ βοὰν
πρὸ μελάθρων, ὅπως ὁ πραχθεὶς φόνος
μὴ δεινὸν Ἀργείοισιν ἐμβάλῃ φόβον,
βοηδρομῆσαι πρὸς δόμους τυραννικούς,
πρὶν ἐτύμως ἴδω τὸν Ἑλένας φόνον
καθαιμακτὸν ἐν δόμοις κείμενον,
ἢ καὶ λόγον του προσπόλων πυθώμεθα·
τὰ μὲν γὰρ οἶδα συμφορᾶς, τὰ δ' οὐ σαφῶς.
διὰ δίκας ἔβα θεῶν
νέμεσις ἐς Ἑλέναν.
δακρύοισι γὰρ Ἑλλάδ' ἅπασαν ἔπλησε,
διὰ τὸν ὀλόμενον ὀλόμενον Ἰδαῖον
Πάριν, ὃς ἄγαγ' Ἑλλάδ' εἰς Ἴλιον.

[*ἀλλὰ κτυπεῖ γὰρ κλῇθρα βασιλικῶν δόμων,*

1345 *γε* om. *E* | *ἔμ'*] Triclinius, *ἐμοί* libri 1346 *φίλοι*] *ἄνδρες F*, fort. *φῶτες* 1347 *οἲ . . εἰσορῶ* in textu omissa, in marg. scr. *A* | *ΟΡ.*] *ΗΛ.* Lachmann 1348 *ἥκεις* om. *A*, add. A^2 1349 *δέρην G* 1350 *βάλλοντες AL* 1352 in textu omissum, in marg. inferiore additum habet *E* | *ἔπραξ' G* 1353 notam chori, erasam in *A*, ceteri libri hic omiserunt, versui 1361 omnes praefixerunt, correxit Seidler | *βοὰν A*, *ὴ* super *ὰ* scr. A^2 | *καὶ βοὰν*] *ὁμοῦ βοᾷ* Weil 1354 fort. *ὅπως ἀραχθεὶς στόνος*, cfr. Aesch. Cho. 330 1355 *ἐμβάλλει A* | *φόβον*] fort. *κλόνον* 1356 *πρὸς οἴκους EL* 1357 *φόνον*] *νεκρὸν* Paley 1359 *τοῦ* ante v. habet *E* | *λόγων G* | *τοῦ S* | *πυθόμεθα A*, *πυθώμεθα* A^2 1360 *τὰ∗ . . τὰ∗* (*σ* eras.) *A*, *τὰς . . τὰς* A^2 et ceteri | *συμφορᾶς*] scripsi, *συμφορὰς* libri (om. *A*, supra v. suppelevit A^2) 1362 *εἰς* etiam hic libri | *ἐς Ἑλέναν φθόνος* Weil 1363 *ἅπαν A*, *πάσαν* A^2 | *πᾶσαν ἑλλάδ' G* | *ἔπλησεν EG* 1365 *ἤγαγ' L* 1366—68 *τούτους δὲ τοὺς τρεῖς στίχους οὐκ ἄν τις ἐξ ἑτοίμου συγχωρήσειεν Εὐριπίδου εἶναι, ἀλλὰ μᾶλλον τῶν ὑποκριτῶν, οἵτινες ἵνα μὴ κακοπαθῶσιν ἀπὸ τῶν βασιλείων δόμων καθαλλόμενοι παρανοίξαντες ἐκπορεύονται* schol. 1366 *κλεῖθρα*

σιγήσατ'· ἔξω γάρ τις ἐκβαίνει Φρυγῶν,
οὗ πευσόμεσθα τἀν δόμοις ὅπως ἔχει.]

ΦΡΥΞ.

Ἀργεῖον ξίφος ἐκ θανάτου πέφευγα
βαρβάροις εὐμάρισιν,
κεδρωτὰ παστάδων ὑπὲρ τέραμνα
Δωρικάς τε τριγλύφους,
φροῦδα φροῦδα, γᾶ γᾶ,
βαρβάροισι δρασμοῖς.
αἰαῖ· πᾷ φύγω, ξέναι,
πολιὸν αἰθέρ' ἀμ-
πτάμενος ἢ πόντον, Ὠκεανὸς ὃν
ταυρόκρανος ἀγκάλαις ἑλίσ-
σων κυκλοῖ χθόνα;

ΧΟ. τί δ' ἔστιν, Ἑλένης πρόσπολ', Ἰδαῖον κάρα;

ΦΡ. Ἴλιον Ἴλιον, ὤμοι μοι, Φρύγιον
ἄστυ καὶ καλλίβωλον Ἴ-
δας ὄρος ἱερόν, ὥς σ' ὀλόμενον στένω
ἁρμάτειον ἁρμάτειον
μέλος βαρβάρῳ βοᾷ διὰ τὸ τᾶς
ὀρνιθόγονον ὄμμα κυκνόπτερον
καλλοσύνας, Λήδας σκύμνον, δυσελένας
δυσελένας, ξεστῶν περγάμων Ἀπολλωνίων
ἐρινύν· ὀττοτοῖ·

(εῖ m. 1 mut. in η, sed εἰ rescr. m. 2) *A*, κλεῖθρα *ES* | βασιλικῶν] Wunder, βασιλείων libri 1368 πευσόμεθα *A* (ut videtur) et *S* 1370 βαρβάροις εὐμαρίσι (superscr. ποσὶ) *E*, βαρβάροις ἐν εὐμαρίσι *aS*, βαρβάροισιν ἐν εὐμαρίσιν *A*, ἐν εὐμαρίσι etiam Etym. M. p. 393, 18 1371 τέρεμνα *ES* 1373 γᾶ γᾶ (superscr. η . . η) *A* 1374 fort. ἀγγάροισι δρασμοῖς 1375 ξέναι (ο super α scr. m. 1 vel 2) *A* 1377 ὠκεανὸν *L* 1378 ἀγκάλαις mut. in ἀγκάλαισι *E* 1379 κυκλοῖ *EL*, κυκλεῖ ceteri 1380 ἔστ' vel ἔσθ' *OS*, ἔστιν recentiores libri | κόρα *A*, κάρα A^2 1382 καὶ om. *aES* | καλλίβολον *A*, καλλίμηλον Herwerden 1383 ὅς *A*, ὥς A^2 | ἁρμάτειον ἁρμάτειον (ϊ scripto super ει) *A* | schol. Ἀπολλόδωρος ὁ Κυρηναῖος παρεπιγραφὴν λέγει εἶναι τὸ ἁρμόδιον ὦ ἴλιον (l. τὸ ἁρμάτειον μέλος)· εἰ δὲ ἦν παρεγραφή, ἅπαξ ἂν ἐπεγράφετο 1385 sq. δι' ὀρνιθόγονον Porson 1386 κυκνόσπορον H. Cron 1387 σκύμνου recentiores libri 1387 sq. δυσελένας semel *F* 1389 ἐρινῦν ῦ ex ν facto *A*, ἐρινῦν *a*, ἐριννῦν *E*, ἐριννύν *L* | ὀττοτοί vel ὀττοτοῖ *OS*, ὀτοτοί *F*, τοτοῖ Kirchhoff, ὀτοττοῖ Nauck

ἰαλέμων ἰαλέμων
Δαρδανία τλᾶμον Γανυμήδεος
ἱπποσύνᾳ, Διὸς εὐνέτα.
ΧΟ. σαφῶς λέγ' ἡμῖν αὔθ' ἕκαστα τἀν δόμοις.
[τὰ γὰρ πρὶν οὐκ εὔγνωστα συμβαλοῦσ' ἔχω.]
ΦΡ. αἴλινον αἴλινον ἀρχὰν θανάτου
βάρβαροι λέγουσιν, αἰαῖ,
Ἀσιάδι φωνᾷ,
βασιλέων ὅταν αἷμα χυθῇ κατὰ γᾶν ξίφεσιν
σιδαρέοισιν Ἅιδα.
ἦλθον δόμους, ἵν' αὔθ' ἕκαστά σοι λέγω,
λέοντες Ἕλλανες δύο διδύμω·
τῷ μὲν ὁ στρατηλάτας πατὴρ ἐκλῄζετο,
ὃ δὲ παῖς Στροφίου, κακόμητις ἀνήρ,
οἷος Ὀδυσσεύς, σιγᾷ δόλιος,
πιστὸς δὲ φίλοις, θρασὺς εἰς ἀλκάν,
ξυνετὸς πολέμου, φόνιός τε δράκων.
ἔρροι τᾶς ἡσύχου προνοί-
ας κακοῦργος ὤν.
οἳ δὲ πρὸς θρόνους ἔσω
μολόντες ἃς ἔγημ' ὁ τοξότας Πάρις
γυναικός, ὄμμα δακρύοις
πεφυρμένοι, ταπεινοὶ
ἕζονθ', ὃ μὲν τὸ κεῖθεν, ὃ δὲ
τὸ κεῖθεν, ἄλλος ἄλλοθεν πεφραγμένοι.
περὶ δὲ γόνυ χέρας ἱκεσίους

1391 *τλάμ∗ν A*, *τλάμον A*[2], *τλάμων* mut. in *τλᾶμον a*, *τλᾶμον G*, *τλάμων EL* | *γαννυμήδεος S* | *ἱπποσύνα* libri i. e. *ἱπποσύνᾳ*, quod monuit Hermann 1393 *αὖθ' ἑκαστ' ἀν A*, *αὖθ' ἕκαστα τ' αν A*[2] | *αὐθέκαστα G* (etiam 1400) 1393 sq. *ἕκαστα συμβαλοῦσ' ἔχω* (verba *τἀν .. εὔγνωστα* desunt) *E* 1394 schol. *οὗτος ὁ στίχος ἐν πολλοῖς ἀντιγράφοις οὐ γράφεται* (l. *φέρεται*) 1395 *θανάτου*] fort. *ἰαλέμου*, cfr. schol. *ἐν ἀρχῇ θρήνου* 1398 *βασιλέων*] fort. *βαλήνων* | *γᾶν* (superscr. m. 2 *η*) *A* | *ξίφεσι aES* 1399 *ἀΐδα AEG*, *ἀΐδα* (superscr. *ου* m. 2) *a*, *ἀΐδαο L* 1400 *δόμους*] Hermann, *εἰς δόμους* libri 1401 *δύω a* | fort. *λέοντε διδύμω* (*δύο* delet Dindorf) 1402 *ἐκληΐζετο* libri (*ἐκλϋίζετο G*) 1403 *κακόμητις*] Porson, *κακομήτας* libri | *ἀνήρ* om. *ES* 1405 *θρασὺς δ' G* | *ἐς ἀλκὴν L* 1406 *πολέμῳ L* 1407 *ἔρροι*, superscr. *ει*, *a* | *ἀσύχου* Dindorf | *προννοίας G* 1409 *τοξότης S* 1412 *ἕζοντ' L* 1414 *χέρας*] King, *χεῖρας* libri | *ἱκεσίας* rec. liber, fort. recte

ἔβαλον ἔβαλον Ἑλένας ἄμφω.
ἀνὰ δὲ δρομάδες ἔθορον ἔθορον
ἀμφίπολοι Φρύγες·
προσεῖπε δ' ἄλλος ἄλλον πεσὼν ἐν φόβῳ,
μή τις εἴη δόλος.
κἀδόκει τοῖς μὲν οὔ,
τοῖς δ' ἐς ἀρκυστάταν
μηχανὰν ἐμπλέκειν
παῖδα τὰν Τυνδαρίδ' ὁ
μητροφόντας δράκων.
ΧΟ. σὺ δ' ἦσθα ποῦ τότ'; ἢ πάλαι φεύγεις φόβῳ;
ΦΡ. Φρυγίοις ἔτυχον Φρυγίοισι νόμοις
παρὰ βόστρυχον αὔραν αὔραν
Ἑλένας Ἑλένας εὐπᾶγι κύκλῳ
πτερίνῳ πρὸ παρηίδος ᾄσσων
βαρβάροισι νόμοισιν.
ἃ δὲ λίνον ἠλακάτᾳ
δακτύλοις ἕλισσε,
νήματα δ' ἵετο πέδῳ,
σκύλων Φρυγίων ἐπὶ τύμβον ἀγάλ-
ματα συστολίσαι χρῄζουσα λίνῳ,
φάρεα πορφύρεα, δῶρα Κλυταιμήστρᾳ.
προσεῖπεν δ' Ὀρέστας
Λάκαιναν κόραν· ὦ
Διὸς παῖ, θὲς ἴχνος
πέδῳ δεῦρ' ἀποστᾶσα κλισμοῦ,
Πέλοπος ἐπὶ προπάτορος
ἕδραν παλαιᾶς ἑστίας,
ἵν' εἰδῇς λόγους ἐμούς.

1415 ἔβαλον superscr. λ bis *A* 1418 προσεῖπεν ἄλλος *c*, προσεῖπεν δ' ἄλλος Hartung 1421 ἐς om. *E* | ἀρκυστάτην *G* 1422 fort. μαχανὰν 1423 τὴν libri 1424 μητροφόντης *G*, ματροφόντας Dindorf 1425 πότ' mut. in τότ' *a* 1426 ἔφυγον corr. in ἔτυχον *A* | φρυγίοις *S* 1428 εὐπᾶγι] Hermann, εὐπηγεῖ *AES*, εὐπαγεῖ *a* 1429 ἀΐσσων *OS* 1430 βαρβάροις King | versum delet Hartung 1431 ἃ δὲ suprascr. ἡ δὲ *A* | λίν' Weil 1433 νήμαθ' ἵετο *E*, νῆμα δ' ἵετο *L* | ἵετ' ἐν Hermann 1434 ἐπιτύμβι' Herwerden 1435 στολίσαι *L*, συστολῆσαι *G* 1436 κλυταιμνήστρα (vel -ᾳ) libri 1437 προσεῖπε *aES* | ὀρέστης *G* 1442 παλαιὰν ἕδραν ἑστίας Hermann 1443 λόγοις *A*, λόγους A^2

ἄγει δ' ἄγει νιν· ἃ δ' ἐφείπετ',
οὐ πρόμαντις ὢν ἔμελλεν·
ὁ δὲ συνεργὸς ἄλλ' ἔπρασσ'
ἰύζων κακὸς Φωκεύς·
οὐκ ἐκποδὼν ἴτ', ἀλλ' ἀεὶ κακοὶ Φρύγες;
ἔκλῃσε δ' ἄλλον ἄλλοσ' ἐν στέγαις·
τοὺς μὲν ἐν σταθμοῖσιν ἱππικοῖσι,
τοὺς δ' ἐν ἐξέδραισι, τοὺς δ' ἐκεῖσ' ἐκεῖθεν
ἄλλον ἄλλοσε διαρμόσας ἀποπρὸ δεσποίνας.
ΧΟ. *τί τοὐπὶ τῷδε συμφορᾶς ἐγίγνετο;*
ΦΡ. *Ἰδαία μᾶτερ μᾶτερ*
ὀβρίμα ὀβρίμα, αἰαῖ
φονίων παθέων ἀνόμων τε κακῶν
ἅπερ ἔδρακον ἔδρακον ἐν δόμοις τυράννων.
ἀμφὶ πορφυρέων πέπλων ὑπὸ σκότου
ξίφη σπάσαντες ἐν χεροῖν,
ἄλλος ἄλλοσε
δίνασεν ὄμμα, μή τις παρὼν τύχοι.
ὡς κάπροι δ' ὀρέστεροι γυναικὸς ἀντίοι σταθέντες
ἐννέπουσι· κατθανῇ
κατθανῇ, κακός σ' ἀποκτείνει πόσις,
κασιγνήτου προδοὺς
ἐν Ἄργει θανεῖν γόνον.
ἃ δ' ἀνίαχεν ἴαχεν· ὤμοι μοι.
λευκὸν δ' ἐμβαλοῦσα πῆχυν στέρνοις,
κτύπησε κρᾶτα μέλεον πλαγᾷ·

1444 *ἃ δ'* superscr. *ἤ a* 1445 *ἔμελλε A*, *ἔμελλε παθεῖν L* 1446 *ξυνεργὸς a* 1446 *ἰύζων*] scripsi, *ἰὼν* libri 1447 inter *ἴτ'* et *ἀλλ'* versus excidisse videtur | *αἰεὶ AES* 1448 *ἐκλήϊσε OS* | *ἄλλοσ' ἄλλον ἐν E*, *ἄλλον ἄλλοσε G* | *ἄλλοσε στέγης* recentiores libri (cfr. 1127), *ἄλλοσ' ἐν στέγαισι* Hermann 1449 *ἱππικοῖς L* 1450 *ἐν ἕδραισι G* | *ἐκεῖσσ' A* 1451 verba *ἄλλον ἄλλοσε* suspecta 1452 *ἐγίνετο L*, *ἐγένετο G* 1453 *μᾶτερ* semel *L* 1454 *ὀμβρίμα ὀμβρίμα L* 1456 post prius *ἔδρακον* unius versus spatium vacuum in *E* | *δόμοισι E* 1457 *οἳ δ' ἀμφὶ* Paley | *πορφυρέων*] fort. *ταναϋφέων*, cfr. Soph. Trach. 602 1458 *ἐκ AE*, *ἐν* A^2 1459 *τύχη* mut. in *τύχοι G* 1460 *ἀντία G* 1462 *ἀποκτείνει γρ. ἀποκτενεῖ A* 1465 *ἃ δ'* (superscr. *ἤ* m. 2) *a* | *ὅδ' L* | *ἀνίαχεν* bis *E* | *ἴαχεν* om. *A* 1466 fort. *ἀμβαλοῦσα* 1466 sq. *στέρνα . . κρᾶτά τε* Weil 1467 *κρᾶτα* (scripto *τὸ* super *τα*) *a* | *πλαγᾶι A*, *πλαγάν* A^2, *πλαγάν* (superscr. *η* et *ὴν*) *a*, *πλαγάν L*

φυγᾷ δὲ ποδὶ τὸ χρυσεοσάνδαλον
ἴχνος ἔφερεν ἔφερεν·
ἐς κόμας δὲ δακτύλους δικὼν Ὀρέστας,
Μυκηνίδ' ἀρβύλαν προβάς,
ὤμοις ἀριστεροῖσιν ἀνακλάσας δέρην,
παίειν λαιμῶν ἔμελλεν εἴ-
σω μέλαν ξίφος.

ΧΟ. ποῦ δ' ἦτ' ἀμύνειν οἱ κατὰ στέγας Φρύγες;

ΦΡ. ἰαχᾷ δόμων θύρετρα καὶ σταθμοὺς
μοχλοῖσιν ἐκβαλόντες, ἔνθ' ἐμίμνομεν,
βοηδρομοῦμεν ἄλλος ἄλλοθεν στέγης,
ὃ μὲν πέτρους, ὃ δ' ἀγκύλας,
ὃ δὲ ξίφος πρόκωπον ἐν χεροῖν ἔχων.
ἔναντα δ' ἦλθεν
Πυλάδης ἀλίαστος, οἷος οἷος
Ἕκτωρ ὁ Φρύγιος ἢ τρικόρυθος Αἴας,
ὃν εἶδον εἶδον ἐν πύλαισι Πριαμίσιν·
φασγάνων δ' ἀκμὰς συνήψαμεν.
τότε δὴ τότε διαπρεπεῖς ἐγένοντο Φρύγες,
ὅσον Ἄρεος ἀλκὰν ἥσσονες Ἑλλάδος
ἐγενόμεσθ' αἰχμᾶς,
ὃ μὲν οἰχόμενος φυγάς, ὃ δὲ νέκυς ὤν,
ὃ δὲ τραῦμα φέρων, ὃ δὲ λισσόμενος,
θανάτου προβολάν·
ὑπὸ σκότον δ' ἐφεύγομεν·
νεκροὶ δ' ἔπιπτον, οἳ δ' ἔμελλον, οἳ δ' ἔκειντ'.
ἔμολε δ' ἁ τάλαιν' Ἑρμιόνα δόμους
ἐπὶ φόνῳ χαμαιπετεῖ ματρός, ἅ νιν ἔτεκεν τλάμων.
ἄθυρσοι δ' οἷά νιν δραμόντε Βάκχαι
σκύμνον ἐν χεροῖν ὀρείαν

1468 φυγῶι *A*, φυγῶ *L*, φυγάδι Facius 1469 ἐς hic *OS* 1471 fort. ὠλέναις ἀριστεραῖσιν, cfr. Phoen. 1136 1472 fort. παίσειν | λαιμῶν *A*, λαιμὸν *A*²*aES* | ποῦ δ' ἦτ'] Bothe, ποῦ δῆτ' libri 1473 fort. ἀχᾷ 1474 om. *G*, add. *g* | ἐμβαλόντες *AEG* 1476 οἱ μὲν *L* 1477 χεροῖν *aGF*, χερσὶν *AEL* 1478 ἔναντι *L* | ἦλθε *OS* 1479 οἶο οἷος *L* 1481 πριαμίσι *AaG* 1482 φασγάνων] ξιφέων Heimsoeth 1484 ἄρεος (o in ras. scr. m. 2) *Aa*, ἄρεως *L* 1485 ἐγενόμεσθ' rec. liber, ἐγενόμεθ' *OS* 1490 ἡ *L* | ἑρμιόνη *S* 1491 ἔτεκε *ES* 1492 δραμόντες *S* | fort. ὄρειον

ξυνήρπασαν· πάλιν δὲ τὰν Διὸς κόραν
ἐπὶ σφαγὰν ἔτεινον· ἃ δ' ἐκ θαλάμων
ἐγένετο διαπρὸ δωμάτων ἄφαντος,
ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς καὶ νύξ,
ἤτοι φαρμάκοισιν ἢ μάγων
τέχναισιν ἢ θεῶν κλοπαῖς.
τὰ δ' ὕστερ' οὐκέτ' οἶδα· δρα-
πέτην γὰρ ἐξέκλεπτον ἐκ δόμων πόδα.
πολύπονα δὲ πολύπονα πάθεα
Μενέλαος ἀνασχόμενος ἀνόνητον ἀπὸ
Τροίας ἔλαβε τὸν Ἑλένας γάμον.

ΧΟ. καὶ μὴν ἀμείβει καινὸν ἐκ καινῶν τόδε·
ξιφηφόρον γὰρ εἰσορῶ πρὸ δωμάτων
βαίνοντ' Ὀρέστην ἐπτοημένῳ ποδί.

ΟΡ. ποῦ 'στιν οὗτος ὃς πέφευγεν ἐκ δόμων τοὐμὸν ξίφος;
ΦΡ. προσκυνῶ σ', ἄναξ, νόμοισι βαρβάροισι προσπίτνων.
ΟΡ. οὐκ ἐν Ἰλίῳ τάδ' ἐστίν, ἀλλ' ἐν Ἀργείᾳ χθονί.
ΦΡ. πανταχοῦ ζῆν ἡδὺ μᾶλλον ἢ θανεῖν τοῖς σώφροσιν.
ΟΡ. οὔτι που κραυγὴν ἔθηκας Μενέλεῳ βοηδρομεῖν;
ΦΡ. σοὶ μὲν οὖν ἔγωγ' ἀμύνειν· ἀξιώτερος γὰρ εἶ.
ΟΡ. ἐνδίκως ἡ Τυνδάρειος ἆρα παῖς διώλετο;
ΦΡ. ἐνδικώτατ', εἴ γε λαιμοὺς εἶχε τριπτύχους θενεῖν.
ΟΡ. δειλίᾳ γλώσσῃ χαρίζῃ, τἄνδον οὐχ οὕτω φρονῶν.
ΦΡ. οὐ γάρ, ἥτις Ἑλλάδ' αὐτοῖς Φρυξὶ διελυμήνατο;
ΟΡ. ὄμοσον· εἰ δὲ μή, κτενῶ σε· μὴ λέγειν ἐμὴν χάριν.
ΦΡ. τὴν ἐμὴν ψυχὴν κατώμοσ', ἣν ἂν εὐορκοῖμ' ἐγώ.
ΟΡ. ὧδε κἀν Τροίᾳ σίδηρος πᾶσι Φρυξὶν ἦν φόβος;

1493 συνήρπασαν *A* | τᾶς Διὸς κόρας Paley 1494 δ' ἀπὸ θαλάμων Weil 1495 δὴ πρὸ *L* 1498 τέχναισιν recentiores libri, τέχναις *OS* 1499 οὐ κατοῖδα *A*, οὐ κάτοιδα *a*, οὐκέτ' οἶδα ceteri 1502 ἐλένης *L* 1504 γὰρ ἐκ προδωμάτων εἰσορῶ *L* 1506 τοὐμὸν ἐκ δόμων *G* 1506—1536 delet A. Grueninger, cfr. schol. ad v. 1512. His deletis etiam v. 1503—05 ablegandi videntur 1507 βαρβάροις *AL*, βαρβαρικοῖς *G* | προσπίτνων recentiores libri, προσπίπτων *OS* 1509 τοῖσώφροσιν *A*, τοῖς σώφροσι *BE* 1510 κραυγεῖν *A* | μενέλεων *ht* 1511 σὺ *A*, σοὶ *A*[2] | οὖν om. *L* 1512 ἄρα *BG* 1513 θενεῖν] F. Gu. Schmidt, θανεῖν libri 1514 οὕτως *L* 1515 αὐτοῖσι *BES* 1516 κτενῶ *B*, κτανῶ ceteri 1517 ἂν om. *B* 1518 σίδαρος *BG* | πᾶσι om. *A*, unde σίδηρος Φρυξὶν ἦν μέγας φόβος Rauchenstein | ιν pro ἦν *L*

ΦΡ. ἄπεχε φάσγανον· πέλας γὰρ δεινὸν ἀνταυγεῖ φόνον.
ΟΡ. μὴ πέτρος γένῃ δέδοικας ὥστε Γοργόν' εἰσιδών;
ΦΡ. μὴ μὲν οὖν νεκρός· τὸ Γοργοῦς δ' οὐ κάτοιδ' ἐγὼ κάρα.
ΟΡ. δοῦλος ὢν φοβῇ τὸν Ἅιδην, ὅς σ' ἀπαλλάξει κακῶν;
ΦΡ. πᾶς ἀνήρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.
ΟΡ. εὖ λέγεις· σῴζει σε σύνεσις. ἀλλὰ βαῖν' ἔσω δόμων.
ΦΡ. οὐκ ἄρα κτενεῖς μ'; ΟΡ. ἀφεῖσαι. ΦΡ. καλὸν ἔπος λέγεις τόδε.
ΟΡ. ἀλλὰ μεταβουλευσόμεσθα. ΦΡ. τοῦτο δ' οὐ καλῶς λέγεις.
ΟΡ. μῶρος, εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην·
οὔτε γὰρ γυνὴ πέφυκας οὔτ' ἐν ἀνδράσιν σύ γ' εἶ.
τοῦ δὲ μὴ στῆσαί σε κραυγὴν εἵνεκ' ἐξῆλθον δόμων·
ὀξὺ γὰρ βοῆς ἀκοῦσαν Ἄργος ἐξεγείρεται.
Μενέλεων δ' οὐ τάρβος ἡμῖν ἀναλαβεῖν ἔσω ξίφους·
ἀλλ' ἴτω ξανθοῖς ἐπ' ὤμων βοστρύχοις γαυρούμενος·
εἰ δ' ἄρ' Ἀργείους ἐπάξει τοῖσδε δώμασιν λαβών,
τὸν Ἑλένης φόνον διώκων, κἀμὲ μὴ σῴζειν θέλει
σύγγονόν τ' ἐμὴν Πυλάδην τε τὸν τάδε ξυνδρῶντά μοι,
παρθένον τε καὶ δάμαρτα δύο νεκρὼ κατόψεται.

ΧΟ. ἰὼ ἰὼ τύχα, antistr.
ἕτερον εἰς ἀγῶν', ἕτερον αὖ δόμος
φοβερὸν ἀμφὶ τοὺς Ἀτρείδας πίτνει.
τί δρῶμεν; ἀγγέλλωμεν ἐς πόλιν τάδε;

1519 ἄπεχε γρ. ἄπαγε *A* 1520 ἐσιδών *E* 1522 ἀπαλλάξῃ (vel -η) *AS* | κακῶν] χθονός *E* 1523 ὁρᾶν *BG* 1525 κτανεῖς *S* | με *aBS* 1526 μεταβουλευσόμεθα *AEBS* 1527 τλῆναι om. *B* 1528 πέφηνας *B* | ἐν om. *S* | ἀνδράσι *aBL* 1529 τοῦ] τοῦτο (το paululum eraso) *A* | οὕνεκ' libri | ἦλθον *G* 1530 ἐξηγείρετ' ἂν Weil 1531 ἔσω hic *B* | ξίφος *AL* 1533 δ' ἄρ'] Weil, γὰρ libri | δώμασι *BG* | λαβών *A*, μολών *A*², μολῶν *B* 1534 κἀμὲ μὴ σώζειν θέλῃ (θέλει *a*) γρ. κἀμὲ μὴ σώσῃ θανεῖν *Aa*, κἀμὲ μὴ σώσῃ θανεῖν (εῖν in ras. scr. *b*) *B*, κἀμὲ μὴ σώζειν θέλει *S*, κἀμὲ μὴ σώζειν θέλῃ *E* 1535 Πυλάδην] τρίτον Elmsley, φίλον Weil | τε om. *E* | versum delet Paley 1536 δύω *BL* 1537 ἰὼ τύχα ἰὼ τύχα *B* 1538 ἕτερον ἀγῶνα *B* | αὖ om. *L* ante 1539 et 1541 *HMIX.*, ante 1549 *XO. OS*, has notas delevit Kirchhoff 1539 ἀγγέλωμεν *A*, ἀγγέλλομεν *B*, fort. ἀγγείλωμεν

ἢ σῖγ' ἔχωμεν; ἀσφαλέστερον, φίλαι.
ἴδε πρὸ δωμάτων ἴδε προκηρύσσει
θοάζων ὅδ' αἰθέρος ἄνω καπνός.
ἅπτουσι πεύκας, ὡς πυρώσοντες δόμους
τοὺς Ταντάλειους, οὐδ' ἀφίστανται φόνου.
τέλος ἔχει δαίμων βροτοῖς,
τέλος ὅπᾳ θέλει.
μεγάλα δέ τις ἁ δύναμις δι' ἀλάστορ'
ἔπεσ' ἔπεσε μέλαθρα τάδε δι' αἱμάτων
διὰ τὸ Μυρτίλου πέσημ' ἐκ δίφρου.

ἀλλὰ μὴν καὶ τόνδε λεύσσω Μενέλεων δόμων πέλας
ὀξύπουν, ᾐσθημένον που τὴν τύχην ἣ νῦν πάρα.
οὐκέτ' ἂν φθάνοιτε κλῇθρα συμπεραίνοντες μοχλοῖς,
ὦ κατὰ στέγας Ἀτρεῖδαι. δεινὸν εὐτυχῶν ἀνὴρ
πρὸς κακῶς πράσσοντας, ὡς σὺ νῦν, Ὀρέστα, δυστυχεῖς.

ΜΕΝΕΛΑΟΣ.

ἥκω κλύων τὰ δεινὰ καὶ δραστήρια
δισσοῖν λεόντοιν· οὐ γὰρ ἄνδρ' αὐτὼ καλῶ.
ἤκουσα γὰρ δὴ τὴν ἐμὴν ξυνάορον
ὡς οὐ τέθνηκεν, ἀλλ' ἄφαντος οἴχεται,
κενὴν ἀκούσας βάξιν, ἣν φόβῳ σφαλεὶς
ἤγγειλέ μοί τις. ἀλλὰ τοῦ μητροκτόνου
τεχνάσματ' ἐστὶ ταῦτα καὶ πολὺς γέλως.

1540 ἔχομεν *BG* | ἀσφαλεστέραν *Aa*, ἀσφαλέστερον *a*³ 1541 fort. ἴδ' ἀπὸ | δομάτων *A* 1542 fort. αἰθέρ' ᾄσσων 1544 τὰς *B*, fort. στέγας τὰς Ταντάλειους | φόνου] πόνου in recentioribus libris 1545 ἔχει] ἄγει Bothe | βροτοῖς] Seidler, βροτοῖσι vel βροτοῖσιν libri | δαίμων βροτοῖς] βροτοῖς θεός Weil 1546 ὅπα *B*, ὅπου *b* | θέλη *AB*

1547 μεγάλα (superscr. η) *a*, μεγάλη *B* | δύναμις] fort. νέμεσις | ἀλάστορ'] Seidler, ἀλαστόρων libri 1548 ἔπεσεν ἔπεσε *ABG*, ἔπαισεν ἔπαισε *EL*, ἔπαισεν ἔπαισε, superscr. bis ε, *a*, cfr. schol. ἐὰν μὲν διὰ τοῦ ε̄ τὸ ἔπεσεν, οἱονεὶ ἐπλησίασέ τις τοῖς οἴκοις φονικὸς δαίμων δι' αἱμάτων τιμωρίαν ποιούμενος τοῦ πτώματος τοῦ Μυρτίλου· ἐὰν δὲ διὰ τῆς αι̅ διφθόγγου, ἀντὶ τοῦ ἔκρουσεν, fort. ὃς ἐπέπεσε μέλαθρα τάδε δίκαν πράσσων 1549 λεύσω *ABL*, λεύσσω *A*² | πέλας γρ. καὶ πέρα *A*, πάρος *B*

1550 delet Nauck 1551 *ΗΛ.* praescripsit *a*³, item *g*, sed ipsa punctis cinxit 1551 κλεῖθρα *BES* 1553 σὺ om. *A* 1555 δυσσοῖν *E* 1556 ἤκουσα μὲν γὰρ τὴν Kirchhoff 1558 καινὴν *L*

ἀνοιγέτω τις δῶμα· προσπόλοις λέγω
ὠθεῖν πύλας τάσδ᾽, ὡς ἂν ἀλλὰ παῖδ᾽ ἐμὴν
ῥυσώμεθ᾽ ἀνδρῶν ἐκ χερῶν μιαιφόνων
καὶ τὴν τάλαιναν ἀθλίαν δάμαρτ᾽ ἐμὴν
λάβωμεν, ᾗ δεῖ ξυνθανεῖν ἐμῇ χερὶ
τοὺς διολέσαντας τὴν ἐμὴν ξυνάορον.

ΟΡΕΣΤΗΣ.

οὗτος σύ, κλῄθρων τῶνδε μὴ ψαύσῃς χερί·
Μενέλαον εἶπον, ὃς πεπύργωσαι θράσει·
ἢ τῷδε θριγκῷ κρᾶτα συνθραύσω σέθεν,
ῥήξας παλαιὰ γεῖσα, τεκτόνων πόνον.
μοχλοῖς δ᾽ ἄραρε κλῇθρα, σῆς βοηδρόμου
σπουδῆς ἅ σ᾽ εἴρξει, μὴ δόμων ἔσω περᾶν.
ΜΕ. ἔα, τί χρῆμα; λαμπάδων ὁρῶ σέλας,
δόμων δ᾽ ἐπ᾽ ἄκρων τούσδε πυργηρουμένους,
ξίφος δ᾽ ἐμῆς θυγατρὸς ἐπίφρουρον δέρῃ.
ΟΡ. πότερον ἐρωτᾶν ἢ κλύειν ἐμοῦ θέλεις;
ΜΕ. οὐδέτερ᾽· ἀνάγκη δ᾽, ὡς ἔοικέ, σου κλύειν.
ΟΡ. μέλλω κτενεῖν σου θυγατέρ᾽, εἰ βούλει μαθεῖν.
ΜΕ. Ἑλένην φονεύσας ἐπὶ φόνῳ πράσσεις φόνον;
ΟΡ. εἰ γὰρ κατέσχον μὴ θεῶν κλεφθεὶς ὕπο.
ΜΕ. ἀρνῇ κατακτὰς κἀφ᾽ ὕβρει λέγεις τάδε;
ΟΡ. λυπράν γε τὴν ἄρνησιν· εἰ γὰρ ὤφελον
ΜΕ. τί χρῆμα δρᾶσαι; παρακαλεῖς γὰρ ἐς φόβον.
ΟΡ. τὴν Ἑλλάδος μιάστορ᾽ εἰς Ἅιδου βαλεῖν.
ΜΕ. ἀπόδος δάμαρτος νέκυν, ὅπως χώσω τάφῳ.
ΟΡ. θεοὺς ἀπαίτει. παῖδα δὲ κτενῶ σέθεν.
ΜΕ. ὁ μητροφόντης ἐπὶ φόνῳ πράσσεις φόνον;

1561 δῶμα] κλεῖθρα *B* 1562 ἀλλὰ om. *L* 1563 ῥυσῶμεσθ᾽ *B* | χειρῶν *AL* 1564—66 suspecti 1564 δάμαρ *A*, δάμαρτ᾽ *A*[2] 1565 ᾗ *B*, ῆ̣ (i. e. ἢ) *b* | χειρὶ *AL*, χερὶ *A*[2] 1567 κλείθρων *BES* 1569 θριγγῷ *EG* | συνθράσω *A*, συνθλάσω *G* 1570 γεῖσσα *L* | πόνων *a*, πόνον *a*[2] 1571 κλεῖθρα *BES* | σῆς] fort. τῆς 1574 τ᾽ *B* | πυργηρουμένους, η ex υ facto, a, η in ras. scripto *B*, πυργϋρουμένους *G* 1575 ἐπιφρούρων *A*, ἐπίφρουρον *A*[2] 1577 οὐδ᾽ ἕτερον *L*, οὐδέτερον *EG* 1578 κτενεῖν] scripsi, κτανεῖν *OS* | σὴν *L* 1579 φόνω (ω ex ου facto) *B* | δράσεις *B*, fort. πράξεις 1583 πράξαι *B* 1585 ὅπως χώσω] ὡς θάψω *E* | τάφον *c* 1586 κτανῶ *ES* 1587 πράσσεις *S*, πράσσει mut. in πράσσεις *a*, πράσσει *ABE* et Polyaen. VIII 52, fort. πράξεις

ΟΡ. ὁ πατρὸς ἀμύντωρ, ὅν σὺ προύδωκας θανεῖν.
ΜΕ. οὐκ ἤρκεσέν σοι τὸ πάρος αἷμα μητέρος;
ΟΡ. οὐκ ἂν κάμοιμι τὰς κακὰς κτείνων ἀεί.
ΜΕ. ἦ καὶ σύ, Πυλάδη, τοῦδε κοινωνεῖς φόνου;
ΟΡ. φησὶν σιωπῶν· ἀρκέσω δ' ἐγὼ λέγων.
ΜΕ. ἀλλ' οὔτι χαίρων, ἤν γε μὴ φύγῃς πτεροῖς.
ΟΡ. οὐ φευξόμεσθα· πυρὶ δ' ἀνάψομεν δόμους.
ΜΕ. ἦ γὰρ πατρῷον δῶμα πορθήσεις τόδε;
ΟΡ. ὥς μή γ' ἔχῃς σύ, τήνδ' ἐπισφάξας πυρί.
ΜΕ. κτεῖν'· ὡς κτανών γε τῶνδέ μοι δώσεις δίκην.
ΟΡ. ἔσται τάδ'. ΜΕ. ἆ ἆ, μηδαμῶς δράσῃς τάδε.
ΟΡ. σίγα νυν, ἀνέχου δ' ἐνδίκως πράσσων κακῶς.
ΜΕ. ἦ γὰρ δίκαιον ζῆν σε; ΟΡ. καὶ κρατεῖν γε γῆς.
ΜΕ. ποίας; ΟΡ. ἐν Ἄργει τῷδε τῷ Πελασγικῷ.
ΜΕ. εὖ γοῦν θίγοις ἂν χερνίβων ΟΡ. τί δὴ γὰρ οὔ;
ΜΕ. καὶ σφάγια πρὸ δορὸς καταβάλοις. ΟΡ. σὺ δ' ἂν καλῶς;
ΜΕ. ἁγνὸς γάρ εἰμι χεῖρας. ΟΡ. ἀλλ' οὐ τὰς φρένας.
ΜΕ. τίς δ' ἂν προσείποι σ'; ΟΡ. ὅστις ἐστὶ φιλοπάτωρ.
ΜΕ. ὅστις δὲ τιμᾷ μητέρ'; ΟΡ. εὐδαίμων ἔφυ.
ΜΕ. οὔκουν σύ γ'. ΟΡ. οὐ γὰρ ἁνδάνουσιν αἱ κακαί.
ΜΕ. ἄπαιρε θυγατρὸς φάσγανον. ΟΡ. ψευδὴς ἔφυς.
ΜΕ. ἀλλὰ κτενεῖς μου θυγατέρ'; ΟΡ. οὐ ψευδὴς ἔτ' εἶ.
ΜΕ. οἴμοι, τί δράσω; ΟΡ. πεῖθ' ἐς Ἀργείους μολὼν
ΜΕ. πειθὼ τίν'; ΟΡ. ἡμᾶς μὴ θανεῖν αἰτοῦ πόλιν.
ΜΕ. ἦ παῖδά μου φονεύσεθ'; ΟΡ. ὧδ' ἔχει τάδε.

1588 *πατρός γ'* Naber, malim *ἀμύντωρ γ'*, sed v. 1587 sq. suspecti 1589 *ἤρκεσε* *BL* | *πάρος*] Markland, *παρὸν* libri 1590 *κτείνον* *A*, *κτείνων* A^2 1591 sq. suspecti 1592 *φησὶ* *BG*, *φησὶν* *b*, *φησὶ** eraso *ν* *a* | *σιωπᾶν* mut. in *σιωπῶν* *a* 1593 *φύγῃς* *AS*, *φύγοις* *BE*, *φύγῃ* *a* 1594 *φευξόμεθα* *BEG* 1595 *ἦ καὶ . . δῶμ' ἐκπορθήσεις* *L* 1596 *ἔχεις* *L*, *ἔχοις* *aG* | *πυρί*] *χερί* *L* 1597 *τήνδε* *L* | *δώσεις*] fort. *τίσεις* 1598 *τάδε* *aBES* | *δράσεις* *AB*, *δράσῃς* A^2 | versum delet J. Heiland 1599 *νυν* *L*, *νῦν* ceteri 1600 *γε* *EF*, *τε* ceteri | *τῆσδε γῆς* *E* 1601 *πελαγισκῷ* *E* 1602 *δὴ* om. *G* 1603 *πρὸς* *L* | *προδουρὸς* *E* | *καταβάλλοις* *A* 1604 *χέρας* *G* 1605 *δ'* om. *EL* | *σε* *aBES* 1606 *μητέρα* *aBES* 1607 *γε* *aBES* | *γάρ μ'* *G* | *ἀνδάνουσιν* *A*, *ἀνδάνουσι μ'* A^2 1608 *θυγατρὸς ἀπαρεῖς* Nauck 1609 *κτενεὶς* *E*, *κτανεῖς* ceteri | *θυγατέρα* *AaBEL* 1610 *πίθεσθ'* *A*, *πείθ' ἐς* A^2 1611 *τίνα* *aBES* | *θανεῖν* *E*, *κτανεῖν* ceteri | *αἰτοῦ πόλιν*] fort. *αἰτούμενος* 1612 *μου* om. *L* | *φονεύσετε* *aBS*, *φονεύετε* *E* | *ὧδε γὰρ ἔχει* *L*

ΜΕ. ὦ τλῆμον Ἑλένη, ΟΡ. τἀμὰ δ' οὐχὶ τλήμονα;
ΜΕ. σὲ σφάγιον ἐκόμισ' ἐκ Φρυγῶν, ΟΡ. εἰ γὰρ τόδ' ἦν.
ΜΕ. πόνους πονήσας μυρίους. ΟΡ. πλήν γ' εἰς ἐμέ.
ΜΕ. πέπονθα δεινά. ΟΡ. τότε γὰρ ἦσθ' ἀνωφελής.
ΜΕ. ἔχεις με. ΟΡ. σαυτὸν σύ γ' ἔλαβες κακὸς γεγώς.
ἀλλ' εἶ', ὕφαπτε δώματ', Ἠλέκτρα, τάδε·
σύ τ', ὦ φίλων μοι τῶν ἐμῶν σαφέστατε,
Πυλάδη, κάταιθε γεῖσα τειχέων τάδε.
ΜΕ. ὦ γαῖα Δαναῶν ἱππίου τ' Ἄργους κτίται,
οὐκ εἶ' ἐνόπλῳ ποδὶ βοηδρομήσετε;
πᾶσαν γὰρ ὑμῶν ὅδε βιάζεται πόλιν
ζῆν, αἷμα μητρὸς μυσαρὸν ἐξειργασμένος.

ΑΠΟΛΛΩΝ.

Μενέλαε, παῦσαι λῆμ' ἔχων τεθηγμένον·
Φοῖβός σ' ὁ Λητοῦς παῖς ὅδ' ἐγγὺς ὢν καλῶ·
σύ θ' ὃς ξιφήρης τῇδ' ἐφεδρεύεις κόρῃ,
Ὀρέσθ', ἵν' εἰδῇς οὓς φέρων ἥκω λόγους.
Ἑλένην μὲν ἣν σὺ διολέσαι πρόθυμος ὢν
ἥμαρτες, ὀργὴν Μενέλεῳ ποιούμενος,
ἥδ' ἐστίν, ἣν ὁρᾶτ' [ἐν αἰθέρος πτυχαῖς],
σεσωμένη τε κοὐ θανοῦσα πρὸς σέθεν.
ἐγώ νιν ἐξέσωσα κἀπὸ φασγάνου
τοῦ σοῦ κελευσθεὶς ἥρπασ' ἐκ Διὸς πατρός.
Ζηνὸς γὰρ οὖσαν ζῆν νιν ἄφθιτον χρεών,
Κάστορί τε Πολυδεύκει τ' ἐν αἰθέρος πτυχαῖς
σύνθακος ἔσται, ναυτίλοις σωτήριος.

1613 τλήμων *A*, τλήμον *A*² 1614 σὲ] Canter, σοὶ libri 1617 κακῶς *A*, κακὸς *A*², κακὸς, ο ex ω facto, *L* 1618—20 delet A. Grueninger 1618 εἶ' om. *A* 1620 κάταισθε *B*, κάταιθε *b* | γεῖσσα *S* | γεῖσα τειχέων τάδε γρ. γεῖσα τεκτόνων πόνων *A*, cfr. 1570 1621 δαναιδῶν *BG* | ἱππείου *S* | τ' om. *A* 1622 οὐκ εἶ'] Musgrave, οὐχὶ libri | versus suspectus 1623 πᾶσαν γὰρ] fort. ὡς πᾶσαν | ὑμῶν] Brunck, ἡμῶν libri 1625 λῆμμ' *E* 1626 φοῖβος σ' *Ea*³, ceteri σ' om. | παῖς σ' *aG* | καλεῖ *L* 1628 Ὀρέστ' *ABES* 1631 ἣν om. *a*, supplevit *a*², ὡς *E* | πτύχαις et in marg. πύλαις *A* | verba ἐν αἰθέρος πτυχαῖς ex v. 1636 huc relata 1632 σεσωσμένη libri | πρὸ *AB* 1633 καὶ ὑπὸ *A*, κ'ὑπὸ *a*, κ'ἀπὸ *a*³, κ'ὑπὸ, superscr. κἀπο, *E* 1636 αἶθρος *E* | πτύχαις *A* 1637 ναυτίλοισι *L*

ἄλλην δὲ νύμφην ἐς δόμους κτῆσαι λαβών,
ἐπεὶ θεοὶ τῷ τῆσδε καλλιστεύματι
Ἕλληνας εἰς ἓν καὶ Φρύγας συνήγαγον,
θανάτους τ' ἔθηκαν, ὡς ἀπαντλοῖεν χθονὸς
ὕβρισμα θνητῶν ἀφθόνου πληρώματος.
τὰ μὲν καθ' Ἑλένην ὧδ' ἔχει· σὲ δ' αὖ χρεών,
Ὀρέστα, γαίας τῆσδ' ὑπερβαλόνθ' ὅρους
Παρράσιον οἰκεῖν δάπεδον ἐνιαυτοῦ κύκλον.
τεθήσεται δὲ σῆς φυγῆς ἐπώνυμον
Ἀζᾶσιν Ἀρκάσιν τ' Ὀρέστειον καλεῖν.
ἐνθένδε δ' ἐλθὼν τὴν Ἀθηναίων πόλιν
δίκην ὑπόσχες αἵματος μητροκτόνου
Εὐμενίσι τρισσαῖς· θεοὶ δέ σοι δίκης βραβῆς
πάγοισιν ἐν Ἀρείοισιν εὐσεβεστάτην
ψῆφον διοίσουσ', ἔνθα νικῆσαί σε χρή.
ἐφ' ἧς δ' ἔχεις, Ὀρέστα, φάσγανον δέρῃ,
γῆμαι πέπρωταί σ' Ἑρμιόνην· ὃς δ' οἴεται
Νεοπτόλεμος γαμεῖν νιν, οὐ γαμεῖ ποτε.
θανεῖν γὰρ αὐτῷ μοῖρα Δελφικῷ ξίφει,
δίκας Ἀχιλλέως πατρὸς ἐξαιτοῦντά με.
Πυλάδῃ δ' ἀδελφῆς λέκτρον, ὥς ποτ' ᾔνεσας,
δός· ὁ δ' ἐπιών νιν βίοτος εὐδαίμων μένει.
Ἄργους δ' Ὀρέστην, Μενέλεως, ἔα κρατεῖν,
ἐλθὼν δ' ἄνασσε Σπαρτιάτιδος χθονός,
φερνὰς ἔχων δάμαρτος, ἥ σε μυρίοις
πόνοις διδοῦσα δεῦρ' ἀεὶ διήνυσεν.
τὰ πρὸς πόλιν δὲ τῷδ' ἐγὼ θήσω καλῶς,

1644 ὑπερβαλόντ' ὅρους *AB*, ὑπερβαλόνθ' ὅρους *b* 1645 παρράσιον *AaBEl*, παρνάσιον A^2S 1646 τεθήσεται] Porson, κεκλήσεται libri 1647 ἀζάσι τ' *L*, ἀζάσιν *G* | ἀρκάσι *BL* 1648 δ' *A*, γ' *E*, τ' ceteri 1649 ὑπόσχες *BE*, ὑπόσχης *L*, ὑφέξεις in ras. scr. A^2, ὑφέξεις *a* et *G*, sed φέξεις in ras. scr. *g* 1650 βραβεῖς libri 1653 ἧς recentiores libri, ῇ vel ἣ *OS* 1655 νεοπτόλεμος *A*, ultimum ο del. et σ superscr. A^2 | γαμεῖνιν *AE*, ἄξεσθαί νιν Elmsley 1656 αὐτῶ cum ras. supra τ (fort. ου erasum) *E*, αὐτὸν Paley 1657 ἀχιλέως *B* | ἐξαιτοῦντί με *E*, ἐξαιτοῦντά με *a*, ἐξαιτοῦντί μοι a^2, ἐξαιτοῦντί με a^3 1658 ὥς *EL*, ᾧ *Aa*, ὧ *G*, ὃ *B* | ᾔνεσσας *A*, sed σας in ras. scr. A^2 1659 μένει *Lt*, μενεῖ ceteri 1660 τ' *E* 1661 σπαρτιάδος *L* 1663 πόνοισι *L*

ὅς νιν φονεῦσαι μητέρ' ἐξηνάγκασα.
ΟΡ. ὦ Λοξία μαντεῖε, σῶν θεσπισμάτων
οὐ ψευδόμαντις ἦσθ' ἄρ', ἀλλ' ἐτήτυμος.
καίτοι μ' ἐσῄει δεῖμα, μή τινος κλύων
ἀλαστόρων δόξαιμι σὴν κλύειν ὄπα.
ἀλλ' εὖ τελεῖται, πείσομαι δὲ σοῖς λόγοις.
ἰδού, μεθίημ' Ἑρμιόνην ἀπὸ σφαγῆς,
καὶ λέκτρ' ἐπῄνεσ', ἡνίκ' ἂν διδῷ πατήρ.
ΜΕ. ὦ Ζηνὸς Ἑλένη χαῖρε παῖ· ζηλῶ δέ σε
θεῶν κατοικήσασαν ὄλβιον δόμον.
Ὀρέστα, σοὶ δὲ παῖδ' ἐγὼ κατεγγυῶ,
Φοίβου λέγοντος· εὐγενὴς δ' ἀπ' εὐγενοῦς
γήμας ὄναιο καὶ σὺ χὠ διδοὺς ἐγώ.
ΑΠ. χωρεῖτέ νυν ἕκαστος οἷ προστάσσομεν,
νείκας τε διαλύεσθε. ΜΕ. πείθεσθαι χρεών.
ΟΡ. κἀγὼ τοιοῦτος· σπένδομαι δὲ συμφοραῖς,
Μενέλαε, καὶ σοῖς, Λοξία, θεσπίσμασιν.
ΑΠ. ἴτε νυν καθ' ὁδόν, τὴν καλλίστην
θεῶν Εἰρήνην τιμῶντες· ἐγὼ δ'
Ἑλένην Δίοις μελάθροις πελάσω,
λαμπρῶν ἄστρων πόλον ἐξανύσας,
ἔνθα παρ' Ἥρᾳ τῇ θ' Ἡρακλέους
Ἥβῃ πάρεδρος θεὸς ἀνθρώποις
ἔσται σπονδαῖς ἔντιμος ἀεί,
σὺν Τυνδαρίδαις, τοῖς Διὸς υἱοῖς,
ναύταις μεδέουσα θαλάσσης.
ΧΟ. ὦ μέγα σεμνὴ Νίκη, τὸν ἐμὸν

1666 *μάντιε B* 1669 *κλύων L* 1670 *στελεῖται G* | *δὲ*] *τε* Kirchhoff | *τοῖς*, superscr. *σοῖς*, *a*, *τοῖς E* 1671 *μεθείημ' Aa* et mut. in *μεθίημ' E* 1674 *κατοικήσουσαν* Weil | *δόμον L*, *δόμων l* 1677 *καὶ ὁ AaBS* 1678 *νῦν OS* | *οἷς B* | *προτάσσομεν A* 1679 *νείκας A*, *νείκους EBL*, *νεῖκος aG*, fort. *νείκη* | *ΜΕ.* om. *A*, add. *A*[2] | *πείθεσθε A*, *πείθεσθαι A*[2], *πείθεσθε E*, *πείσεσθαι G* 1680 *δὲ* om. *A*, add. *A*[2] 1681 *θεσπίσμασι B* 1682 *νυν G*, *νῦν* ceteri | *καλλίσταν L* 1683 *θεὸν Aa*, *θεῶν a*[2] 1684 *Δίοις*] Nauck, *διὸς* libri (*ο* ex *ι* factum in *A*) | *πελάσσω a* 1685 *λαμπρὸν EBS* | *ἄστρον B*, *ἄστρων b* 1686 *τῇ δ' A* 1688 *αἰεὶ E* 1689 *υἱοῖς* *γρ. καὶ ὑγρᾶς A* 1690 *ναύταις*] *γλαυκᾶς* Herwerden | *θαλάσσης B*, superscr. *γρ. καὶ ὑγρᾶς b*

βίοτον κατέχοις
καὶ μὴ λήγοις στεφανοῦσα.

1692 *κατέχεις B*, *κατέχοις b* | in fine *τέλος εὐριπίδου ὀρέστης A a*, *τέλος τοῦ δράματος τοῦ ὀρέστου B*, *τέλος ὀρέστου εὐριπίδου E*, *τέλος εὐριπίδου ἠλέκτρας G*, subscriptio in *L* erasa. In *A* in imo paginae margine et in *a* haec leguntur: *πρὸς διάφορα ἀντίγραφα παραγέγραπται ἐκ τοῦ διονυσίου ὑπομνήματος ὁλοσχερῶς καὶ τῶν μικτῶν*, quae collata Medeae subscriptione *πρὸς διάφορα ἀντίγραφα. διονυσίου ὁλοσχερές· καί τινα τῶν διδύμου* Th. Barthold de schol. in Eur. vet. font. Bonn. 1864 p. 30 sq. sic corrigit: *πρὸς διάφορα ἀντίγραφα. παραγέγραπται Διονυσίου ὑπόμνημα ὁλοσχερὲς καί τινα ἐκ τῶν Διδύμου καὶ τῶν μικτῶν.*

APPENDIX

coniecturas minus probabiles continens.

Argum. II lin. 39 sq. *πλησιαίτερον αὐτῷ* Porson, *πλησιαίτερον τούτῳ* Nauck

1 sq. *οὐκ ἔστ' ἰδεῖν οὐ δεινὸν . . συμφορὰν θεήλατον* olim coniciebam

12 *⟨ὅτ'⟩ ἐπέκλωσεν* Hermann 18 *ἔριν*] *στυγνὸν* sive *λυπρὸν* sive *καινὸν* Gu. Hoffmann, *ἄγριον* olim Herwerden | *πόλεμον*] *ἀπόλεμον* Faust 19 *ὁ μὲν θεοῖσι τὴν στυγουμένην* Hermann

20 *Ἑλένην Μενέλεως* Hermann 21 delet Usener 26 sq. *ἔκτεινεν, ὧν δ' ἕκατί, μ' οὐ καλὸν λέγειν* (ceteris deletis) Klinkenberg 27 *ὃ σαφὲς* Arnim 28 *ἀδικίαν μὲν*] *ἁμαρτίαν* Heimsoeth 29 *πείθει γ'* Beck

30 *ἅπαντος* Matthiae 33 *θ' ἅμ' ἡμῖν* Hartung | *ἡμῖν ⟨συγγενής τ' ἐφευρεθεὶς φίλος τ' ἀληθής⟩ συγκατείργασται* Bruhn | *συγκατήρτισται* Musgrave 35 *πεσών τ'* Reiske, *πεσών γ'* Lenting, *πεσὼν δ'* Matthiae 38 *δεινοῖσιν αἳ . . φόβοις* Weil

47 *ἢ πυρὶ* A. Schmidt 48 *μητροκτονοῦντε* anonymus 49 *Ἀργεία* Beck

50 sq. delet Dindorf 51 *αὐχένας* (ut est in libro rec.) Reiske 54 *ἐκπερῶν* Sevin 56 *πολυκτόνον* Musgrave

67 *ἐς ὁδόν, εἴ ποτ'* Markland 69 *ῥοπῆς* J. M. van Gent, fort. *ἕρματος*

73 *κασίγνητός τ' ἔχει* Paley 74 *ὅδε*] *ὃς* Porson | *ἔφυ*] *ἔχει* Heath | *Ὀρέστης ἔχετε, μητρὸς ὅδε φονεύς;* Herwerden 77 *στένω 'γὼ* Weil 78 *ἐμῆς γ'* Weil 79 *ὅπως δὴ 'πλευσα* Reiske

81 (*λέγοιμ' ἃ καὶ παροῦσ'* Hartung) 82 *γόνον*] *δόμον* Kirchhoff 83 *ἐγὼ δ'* Camper 84 *γὰρ εἰ μή γ' εἵνεκα* Weil | *ψυχρᾶς πνοῆς* Musgrave 85 *τὰ τοῦδε δ'* Bothe, *τὰ τούτου γ'* Camper 86 *σὺ δ' ὦ* Jortin, *σὺ δ' ἢ* Musgrave, *σὺ δ' οὖν* Kirchhoff, *σὺ δ' αὖ* Nauck, *σὺ δὴ* Weil 87 *ἥκεις* Hartung, *ἥκεις δ'* Hermann, *ἥκοντ'* olim Nauck, *ἥκων* Paley, *ἥκετε δ'* olim coniciebam

93 *ὡς ἀσχολοῦσα* olim Nauck 98 *Ἀργείοισιν ὄμμ'* Naber 99 *τότε*] *ποτε* ed. Hervag. 99 sq. delet Herwerden

100 *ὀρθῶς γ'* Lenting | *ὀρθῶς ἐλέγξασ'* Reiske, *ὀρθῶς ἐλέγχεις* Hartung | *φίλ' ὡς ἐμοὶ* Musgrave, *φίλια δή μοι* Brunck | *λέγεις*] *τάδε* Kayser 101 *αἰδὼς δὲ τίς σ' ἤδ'* Hermann | *τίς ἐς Μυκηναίους σ'* Facius 103 *Ἄργος σ'* Hartung

111 *καὶ*] *ναί* Paley 116 *στᾶσ' ἀπ'* Schumacher 117 *ἀδελφὴ*] *δι' ἐμοῦ* Rauchenstein | *ταῖσδε . . χοαῖς*] *τῇδε . . χερί* Herwerden 118 *αὐτὴ οὐ προσῆλθε, μνῆμα σὸν φοβουμένη* Heimsoeth | *ταρβοῦσα τὸν* Reiske, *ταρβοῦσ' ἔτι* Hartung, *ταρβοῦσά γε* Herwerden, *ταρβοῦσ' ἅτε* L. Schmidt, *ταρβοῦσα δή* Rauchenstein 119 *ἄνωχθί νιν* Nauck

122 *καιρός ἐστιν ἐκπονεῖν* Weil 127 *κεχρημένοις* F. Gu. Schmidt 128 *ἴδοιτ' ἄν, ἄκρας* Hermann, *ἴδοις ἄν, ἄκρας* Hartung, *ἰδού, παρ' ἄκρας* Paley | *παρ' ἀκμὰς* Musgrave, *πανάκρας* Bothe, *παράκρους* Weil 129 *σώσουσα* F. Gu. Schmidt | *ἐστὶν ἡ* King | *ἔστι παιπάλημα δὴ* Naber, fort. *ἔστι δ' ἡ πάλαι κύων*

132 *αἱ δ' αὖ* Brunck

140 sqq. chorica coryphaeo et ducibus hemichoriorum tribuit R. Arnoldt 140 *σίγα· σῖγα* Hermann 141 *τίθετε, μὴ θροεῖτε* Reiske | *τίθετε, μὴ ψοφεῖτε μηδὲ κτυπεῖτ'* Hermann, *τίθετε, μὴ ψοφεῖτε, μὴ "στω κτύπος* Elmsley | *μηδ' ἔστω ψόφος* Brunck 142 *κοίτας*] *λέχους* ex rec. libro King 145 *ὅπως πνοιὰ* King, *ὡς πνοιὰ* Porson | *πνοᾷ* Enger 145 sq. *ἃ σύριγγος ὀπὸς, ὡς λεπτοῦ δόνακος, οὐ φίλα πνοά με φωνεῖ* Burges 146 *φωνεῖς* Tyrwhitt, *φωνεῖ* Boissonade, *ἄϋε* Hermann | *ὦ φώνει μοι φίλα* vel *φώνει ἐμοὶ φίλα* Enger 147 *ὑπόκρυφον* Reiske, *ὑπνοφόρον* olim Musgrave, *ὑπ' ὄροφον* Dindorf, *ἀπόπροθεν* Semitelos | *φέρω*] *θροῶ* F. Gu. Schmidt 148 *οὕτω* ⟨*φέρουσα βοὰν*⟩ Brunck

152 *λόγον πῶς ἔχει μετάδος, ὦ φίλα* Hermann 154 *ποίαν τύχαν εἴπω; ποίαν δὲ* Triclinius, *τίν', ὦ, τύχαν εἴπω, τίν' ἤδη συμφοράν* Musgrave, *τύχαν τίν' ἂν λέγοιμι, τίνα δὲ* Brunck | *τίνας δὲ συμφοράς* Porson 155 etiam *ἀνασφάλλει* vel *ἀνακταίνει* Musgrave 159 *φερομένῳ*] *δρεπομένῳ* Nauck, *φερβομένῳ* J. M. van Gent

160 *ἐχθίστων*] *ἐλλέρων* coniciebam cl. Hes. *ἔλλερα· ἐχθρά*, fort. *ἐχθίμων* 164 *ἄρ' ἐδίκασε*] *ἀπεδίκασε* Hermann 167 *σύ νιν τάλαινα* Porson 168 *θωύξασ' ἄγαν* Hermann, *ἐκλακοῦσ'* Paley, fort. *ἀπύουσ'*

171 *εἰλύσεις* Musgrave 173 *λέγεις εὖ* continuabat olim choro Kirchhoff

181 *ἀγάγετ'* Lautensach 183 sq. *σῖγα σῖγα*] *δίχα* Musgrave 185 *ἀποπρὸ λέχεος* Musgrave, *ἀπὸ δὲ λέχεος* Hermann 188 *θανεῖν. τί δ' ἄλλο γ' εἴπω;* Beck 189 *οὐδὲν γὰρ* Musgrave, *οὐδὲ γὰρ* ◡ – ◡ – Hermann, *οὐ δὴ γὰρ* olim Dindorf

192 *ἑλεῖν ἀπόφονον αἷμ' ἀνεὶς* F. Gu. Schmidt | *αἷμ' ᾄδων* Kvičala 193 *ἀνδροφόνου* Nauck 195 *ἔκανες ἔκανες* Reiske, *ἔθανες ἔθανες* ex libro rec. Porson

201 *ὅδε γὰρ* Weil 204 *πλέον βιότου μέρος* Porson 206 *ἄγαμος ἄτεκνος ἄφιλος ὅτι βίοτον ἁ* vel potius *ἄγαμος ἐπεὶ ἄτεκνος ἀτρέμα βίοτον ἁ* Hermann, *ἄγαμος ἐπεὶ ἄτεκνος βίοτον ἄβιον ἁ* Herwerden | *ἅτε βίον* Hartung 206 sq. *ἁ μέλεος*] *ἀμείλιος* Battier 208 *ὅρα περῶσα* Musgrave

212 *ἐν δέοντι γὰρ* Porson 213 *σοφὴ*] *σαφὴς* olim coniciebam

225 *βοστρύχῳ* vel *βόστρυχ', ὦ* Paley 227 *εὐνήν, ὡς, ὅταν μ' ἀνῇ* Matthiae, *εὐνὴν αὖθ'· ὅταν μ' ἀνῇ* Klotz

230 *ὄν τι* Kirchhoff, *ὄν τοι* F. Gu. Schmidt 231 *ἀνακίνει* Herwerden 237 *δή νυν* Barnes 239 *καινὸν κεὶς μὲν εὖ;* Bothe | *εἰ γὰρ εὖ, χάριν φέρει* Paley

240 *τοῦ δυστυχοῦς* Hartung 249 *εἴς τε ψόγον* Lenting, *αὐτῷ ψόγον* Rauchenstein, *ἐπίψογον* Paley, *εἰς γοῦν ψόγον* Semitelos

255 ’πίσιζέ μοι Nauck 256 κόρας] κύνας Porson 258—67 sic disponit: 266 sq. 260 sq. 258 sq. 264 sq. 262 sq. P. Wesener 269 οἷς εἶπ’ ’Απόλλων μ’ Hartung

272 ’ξαμείψει γ’ ὄψιν ὀμμάτων ἐμῶν (versum 271 ut interrogationem cum libris Electrae tribuens) F. Gu. Schmidt, ’ξαμείψει γ’ ὀμμάτων ἐμῶν κόρας Holzner 275 ἆᾶ Dindorf 277 χρῆμα λεύσσω Semitelos

128 *γηγενάτᾳ E* 128 sq. fort. *προσόμοιος οἶ- | ος Στερόπης γραφαῖσιν οὐ* (*οὐ* in rec. libro) *προσφερὴς* 129 *ἀστερωπὸς* scripto *ο* super *ω E*, *ἀστεροπὸς G* 131 paedagogi, 132 (133 *G*) Antigonae notam praefigunt libri, correxit Hamaker | *τόνδ' B*, *τὸν δ' r* | *ὕδωρ λοχαγόν; a* 132 *ἄλλος ἄλλως B ω* in *ο* mut. *b* 134 *ἄρη aG*, *ἄρ A ην* superscr. A^2, *ἄρην BEL* | *αἰτωλῶν AB ὸν* super *ῶν* scr. *b* 135 om. *a* add. a^2 | *τὰς A* 136 *αὐτοκασιγνήτᾳ*] Reiske, *αὐτοκασιγνήτας* libri 137 *κυρῇ B* 138 *ἀλλόχροος* a^2 et scripto *ως* super *οος E*, *ἀλλόχρους G* 139 *τέκνων A τέκνον* A^2 140 *εὐστοχότατοι A εὐστοχώτατοι* A^2 143, quo propter v. 97 offensus est Valckenaer, delet Geel (142 *τάδ'* pro *τότ'* scribens), at v. ad v. 94 | *κασιγνήτῃ E* 144 suspectus 145 *δὲ AB* | post *οὗτος* super v. add. *ὃς l* | *τὸ*] *τοῦ* in ras. *BG* 148 *λοχαγός. ὡς L*, *λοχαγός; ὡς A* (*ἀν.* ante *ὡς* inseruit A^2), *παι* (*δ* superscr.) *λοχαγός. ἀν* (*τ* superscr.) *ὡς r* 149 *ἀν* (*τ* superscr.) praefixit *A* erasit A^2 | *ἀμφέπει a οι* super *ει* scr. a^2 post 150 versum intercidisse suspicatur P. Wesener 151 *ΑΝ.* om. *E*

Ἄρτεμις ἱεμένα τόξοις δαμάσασ᾽ ὀλέσειεν,
ὃς ἐπ᾽ ἐμὰν πόλιν ἔβα πέρσων.
ΠΑΙ. εἴη τάδ᾽, ὦ παῖ. σὺν δίκῃ δ᾽ ἥκουσι γῆν·
ὃ καὶ δέδοικα μὴ σκοπῶσ᾽ ὀρθῶς θεοί.
ΑΝ. ποῦ δ᾽ ὃς ἐμοὶ μιᾶς ἐγένετ᾽ ἐκ ματρὸς
πολυπόνῳ μοίρᾳ;
ὦ φίλτατ᾽, εἰπέ, ποῦ ᾽στι Πολυνείκης, γέρον.
ΠΑΙ. ἐκεῖνος ἑπτὰ παρθένων τάφου πέλας
Νιόβης Ἀδράστῳ πλησίον παραστατεῖ.
ὁρᾷς; ΑΝ. ὁρῶ δῆτ᾽ οὐ σαφῶς, ὁρῶ δέ πως
μορφῆς τύπωμα στέρνα τ᾽ ἐξῃκασμένα.
ἀνεμώκεος εἴθε δρόμον νεφέλας
ποσὶν ἐξανύσαιμι δι᾽ αἰθέρος
πρὸς ἐμὸν ὁμογενέτορα, περὶ δ᾽ ὠλένας
δέρᾳ φιλτάτᾳ βάλοιμ᾽ ἐν χρόνῳ
φυγάδα μέλεον. ὡς
ὅπλοισι χρυσέοισιν ἐκπρεπής, γέρον,
ἑῴοις ὅμοια φλεγέθων βολαῖς ἀελίου.
ΠΑΙ. ἥξει δόμους τούσδ᾽, ὥστε σ᾽ ἐμπλῆσαι χαρᾶς,
ἔνσπονδος. ΑΝ. οὗτος δ᾽, ὦ γεραιέ, τίς κυρεῖ,
ὃς ἅρμα λευκὸν ἡνιοστροφεῖ βεβώς;
ΠΑΙ. ὁ μάντις Ἀμφιάραος, ὦ δέσποιν᾽, ὅδε·
σφάγια δ᾽ ἅμ᾽ αὐτῷ, γῆς φιλαίματοι ῥοαί.
ΑΝ. ὦ λιπαροζώνου θύγατερ ἁ Λατοῦς
Σελαναία, χρυσεόκυκλον φέγγος,

---

152 ἱεμένα *aE*, ἱεμένη *B*, ἱεμένη *L* | δαμάσασα *AaEL* 153 ἐπ᾽ om. *B* | ἔβαν *B* 155 μὴ] καὶ μὴ *A*, sed καὶ del. *A* vel A^2 156 ποῖ ποῖ δ᾽ ὃς *E* | ματρὸς] Hermann, ματέρος libri (μητέρος *G*) 158 πούστίν *A*, ποῦ μοι *B* γρ. ἐστί superscr. *b* 159 τάφου supra v. add. *A* 161 ὁρᾷς om. *G* add. *g* 162 μορφᾶς *L* | ἐξῃκασμένα *Aa*, ἐξεικασμένα a^2r 163 ἀνεμώκεος *G*, ος in ως mut. *g* 165 ὠλένας *B* ναις suprascr. *b* 166 δέρα *B* γρ. ην super α scr. *b*, δειρᾶ *L*, δέρη *G*, sed η in ras. scr. *g* | βάλοιμ᾽ ἐν] Hermann, βάλοιμι libri 168 εὐπρεπής *G* 169 ἑώοις *AB* | ἀελίου *AaE*, ἀελίου *B*, ἡλίου *L*, ἀελίοιο *G*, ἁλίου Hermann, sed delendum videtur 171 τίς] Valckenaer, τίς πόθεν libri ex v. 123 173 ἀμφιάρεως *B* 174 fort. γῇ | φιλαιμάτου *S*, cfr. schol. οἱ δὲ γράφουσι γῆς φιλαιμάτου, οἱ δὲ τὸ τέλειον φιλαιμάτοιο λέγουσιν 175 ἁ Λατοῦς] Nauck (Λατοῦς Badham), ἀελίου libri (ἁελίου *AB* ἀελίου *b*) 176 χρυσόκυκλον *B*

ὡς ἀτρεμαῖα κέντρα καὶ σώφρονα
πώλοις μεταφέρων ἰθύνει.
ποῦ δ' ὃς τὰ δεινὰ τῇδ' ἐφυβρίζει πόλει
Καπανεύς; ΠΑΙ. ἐκεῖνος προσβάσεις τεκμαίρεται
πύργων ἄνω τε καὶ κάτω τείχη μετρῶν.
ΑΝ. ἰώ,
Νέμεσι καὶ Διὸς βαρύβρομοι βρονταί,
κεραύνιόν τε φῶς αἰθαλόεν, σύ τοι
μεγαλαγορίαν ὑπεράνορα κοιμίζεις·
ὅδ' ἐστίν, αἰχμαλώτιδας
ὃς δορὶ Θηβαίας Μυκηνηίσιν
Λερναίᾳ τε δώσειν τριαίνᾳ,
Ποσειδανίοις Ἀμυμωνίοις
ὕδασι, δουλείαν περιβαλών;
μήποτε μήποτε τάνδ', ὦ πότνια,
χρυσεοβόστρυχον ὦ Διὸς ἔρνος
Ἄρτεμι, δουλοσύναν τλαίην.
ΠΑΙ. ὦ τέκνον, ἔσβα δῶμα καὶ κατὰ στέγας
ἐν παρθενῶσι μίμνε σοῖς, ἐπεὶ πόθου
ἐς τέρψιν ἦλθες ὧν ἔχρῃζες εἰσιδεῖν.
ὄχλος γάρ, ὡς ταραγμὸς εἰσῆλθεν πόλιν,
χωρεῖ γυναικῶν πρὸς δόμους τυραννικούς.
φιλόψογον δὲ χρῆμα θηλειῶν ἔφυ,

---

177 *ἀτρεμέα G*   177 sq. fort. *σώφρον' ἐν μεταφρένοις φέρων πώλους εὐθύνει*, cfr. Eustath. in Il. p. 557, 35 *τὸ δὲ τραγικὸν περιφραστικώτερον ἐν τῷ κέντρα μετάφρενον ἰθύνει*   180 *ἐκεῖνος*] Valckenaer, *ἐκεῖνος ἑπτὰ* libri   182 *νέμεσις ES*   183 *κεραύνειον* scripto *ι* super *ει a*, *κεραυνοῦ* Hermann, *κεραυνῶν* Nauck   184 *μεγαληγορίαν*] ex schol. *ἢ μεγαλορρημοσύνην οἱονεὶ μεγαληγορίαν* Valckenaer, *μεγαλανορίαν* libri | *κοιμίζεις aB ει* in *οι* mut. a^3 *οις* superscr. *b*   185 *αἰχμαλώτιδας EL*, *αἰχμαλωτίδας r*   186 om. *G*, in marg. add. *g* | *μυκηνηίσι A*, *μυκήνεσι B*, *μυκήναισιν L*, *μυκήναισι aEg*, fort. *Μυκήναις φησὶν*, cfr. schol. *λείπει τὸ ἐπαγγέλλεται*   187 *τριαίνη G*   187 sq. fort. *δώσειν⟨λίμνᾳ⟩, τριαίνας Ποσειδανίας*   188 *ποσειδανίοις B*, *ποσειδωνείοις Aa*, *ποσειδωνίοις EL* | *ἀμυμωνίοις EG*, *ἀμυμωνείοις Aa*, *ἀμυμονίοις B*, *ἀμυμωνίοισιν L*   189 fort. *περιβαλὼν* ◡ –   191 *χρυσεοβόστρυχον aFL*, *χρυσεοβόστρυχε ABEG*   194 *πόθου* in ras. vel spatio vacuo scr. m. 2 in *L*   195 *ἔχρηζες AL*   196 *ὡς ταραγμὸς*] *ὃς θυραῖος* Heimsoeth | *εἰσῆλθε aBS, ν* add. *l*   197 *χώρεῖ B*, cfr. schol. *ἔνιοι δὲ στίζουσιν εἰς τὸ πόλιν καὶ τὸ χώρει παροξύνουσι*   198 *φιλόψυχον G* | *δὲ A* et Stob. fl. 73, 36, *γὰρ r*

σμικράς τ᾽ ἀφορμὰς ἣν λάβωσι τῶν λόγων,
πλείους ἐπεσφέρουσιν· ἡδονὴ δέ τις
γυναιξὶ μηδὲν ὑγιὲς ἀλλήλας λέγειν.

ΧΟΡΟΣ.

Τύριον οἶδμα λιποῦσ᾽ ἔβαν stroph.
ἀκροθίνια Λοξίᾳ
Φοινίσσας ἀπὸ νάσου
Φοίβῳ δούλα μελάθρων,
ἵν᾽ ὑπὸ δειράσι νιφοβόλοις
Παρνασοῦ κατενάσθη,
Ἰόνιον κατὰ πόντον ἐλά-
τᾳ πλεύσασα περιρρύτων
ὑπὲρ ἀκαρπίστων πεδίων
Σικελίας Ζεφύρου πνοαῖς
ἱππεύσαντος, ἐν ἁρμένῳ
κάλλιστον κελάδημα.

πόλεος ἐκπροκριθεῖσ᾽ ἐμᾶς antistr.
καλλιστεύματα Λοξίᾳ
Καδμείων ἔμολον γᾶν,
κλεινῶν Ἀγηνοριδᾶν
ὁμογενεῖς ἐπὶ Λαΐου
πεμφθεῖσ᾽ ἐνθάδε πύργους.
ἴσα δ᾽ ἀγάλμασι χρυσοτεύ-

---

199 *σμικρᾶς A*, *μικρὰς E* | *τ᾽ Aa*, *δ᾽ r* cum Stobaeo | *λάβωσιν A* | *τῶν ψόγων* Stobaeus 200 *ἐπισφέρουσιν A* 201 *γυναικὶ B ξὶ* super *κὶ* scr. *b* | *ἀλλήλας aBL* cum Stobaeo, *ἀλλήλαις AEG* et Etym. M. p. 420 202 *ΧΟ.* om. *B* add. *b* 204 *φοινίσας B* 205 *μελάθρω E* 206 *δειρᾶσι AaL*, *δείρασι B* corr. *b* 207 *παρνασοῦ* mut. in *παρνασσοῦ A*, *παρνασσοῦ aL* | *κατενάσθη*] amicus Kingii, *κατενάσθην* libri 209 *περιρρύτωι A περιρρύτων A²*, *περιρρύτων ὑδάτων L*, *πολυρρύτων* Herwerden 210 *ὕπερ B*, *ὑπὲρ* om. *L* add. *l* 211 *Σικελικαῖς* F. Polle, *ἐναλίαις* Earle (malim *ἐναλίοις*) cl. Hel. 1460 212 fort. *ἱππεύοντος* | *ἁρμένῳ*] scripsi, *οὐρανῷ* libri 214 *πόλεος*] Musgrave, *πόλεως* libri | *ἐμὰς B ἐμᾶς b* 215 *καλίστευμα B* 216 *καδμείων aEF*, *καδμείων δ᾽ ABS*, *καδμείαν* in cod. Thessalonic. (cfr. *Ἀθην.* 1881. I p. 286 sqq.) 217 *ἀγηνοριδᾶν a ἀγηνοριδῶν a²*, *ἀρηνωριδῶν L* 218 *ὁμογενεῖς*] *γρ. καὶ συγγενεῖς* in *A* 219 *πεμφθεῖσα aBES* 220 *ἶσα b* | *δὲ aBEL* | *χρυσοτεύκτοις BG*, *χρυσεοτεύκτοις AaEL*

κτοις Φοίβῳ λάτρις ἐγενόμαν·
ἔτι δὲ Κασταλίας ὕδωρ
περιμένει με κόμας ἐμᾶς
δεῦσαι παρθένιον χλιδὰν
Φοιβείαισι λατρείαις.

ὢ λάμπουσα πέτρα πυρὸς
δικόρυφον σέλας ὑπὲρ ἄκρων
βακχειῶν Διονύσου
οἴνα θ', ἃ καθαμέριον
στάζεις τὸν πολύκαρπον
οἰνάνθας ἱεῖσα βότρυν,
ζάθεά τ' ἄντρα δράκοντος οὔ-
ρειαί τε σκοπιαὶ θεῶν
νιφόβολόν τ' ὄρος ἱερόν, εἰ-
λίσσων ἀθανάτους θεοῦ
χορὸς γενοίμαν ἄφοβος
παρὰ μεσόμφαλα γύαλα Φοί-
βου Δίρκαν προλιποῦσα.

νῦν δέ μοι πρὸ τειχέων stroph.
θούριος μολὼν Ἄρης
αἷμα δάιον φλέγει
τᾷδ', ὃ μὴ τύχοι, πόλει·
κοινὰ γὰρ φίλων ἄχη,
κοινὰ δ', εἴ τι πείσεται

---

221 *ἐγενόμαν B* post *ο* inseruit *ι b*, *ἐγενόμην S*, *γενόμαν* in rec. libris | *γενόμαν λάτρις* Nauck, fort. *λάτρις ἀγόμαν* 223 *περιμένει Aa*[3], *ἐπιμένει aBES* | *ἐμᾶς ABE*, *ἐμὰς abS* 224 *δεύσαι A* | *χλιδᾶν EB* corr. *b* 225 fort. *Φοιβείοισι* 226—38 fort. post 260 transponendi 226 *ὦ* rec. libri, *ἰὼ OS* 227 *ὑπεράκρων A*, fort. *ὑπέρακρον* 228 *βακχειῶν AaBE*, *βακχείων bS*, *βακχεῖον* Kirchhoff 230 *στάζεις τὸν*] *περκάζεις* Nauck 231 *οἰνάθας A*, *οἰνάνθους B καὶ ας* super *ους* scr. *b* | *ἱεῖσα Aa* 232 sq. *οὐρεῖαί Aa*, fort. *οὔρειοί* 234 *νιφοβόλον ABL* | *εἰλίσσων BEL*, *εἰλίσσων a*, *ἑλίσσων AG* 235 *ἀθανάτους*] scripsi, *ἀθανάτου* (non *ἀθανάτους*) *L*, *ἀθανάτας r* 236 *γένοιμ' ἂν A* 237 *παρ A* | *γύαλα*] *γυῖα E* 239 *τειχέων A*, sed *τ* ex *σ* vel *στ* corr. *A*[2] 240 *μολῶν AB* 242 *τάδ' A τᾶδ' A*[2], *τᾷδε aE*, *τάδε B τᾶδε bL* | *τύχηι A*, *τύχοι ποτὲ L* 244 *πείσεται F*, *πείσεθ' AabS*, *πείσετ' B* et scripto *θ'* super *τ' E*

ἑπτάπυργος ἅδε γᾶ,
Φοινίσσᾳ χώρᾳ. φεῦ φεῦ.
κοινὸν αἷμα, κοινὰ τέκεα
τᾶς κερασφόρου πέφυκεν Ἰοῦς·
ὧν μέτεστί μοι πόνων.

ἀμφὶ δὲ πτόλιν νέφος antistr.
ἀσπίδων πυκνὸν φλέγει
σχῆμα φοινίου μάχης,
ἂν Ἄρης τάχ' εἴσεται
παισὶν Οἰδίπου φέρων
πημονὰν Ἐρινύων.
Ἄργος ὦ Πελασγικόν,
δειμαίνω τὰν σὰν ἀλκὰν
καὶ τὸ θεόθεν· οὐ γὰρ ἄδικον
εἰς ἀγῶνα τόνδ' ἔνοπλος ὁρμᾷ,
ὃς μετέρχεται δόμους.

ΠΟΛΥΝΕΙΚΗΣ.

τὰ μὲν πυλωρῶν κλῇθρά μ' εἰσεδέξατο
δι' εὐπετείας τειχέων ἔσω μολεῖν.
ὃ καὶ δέδοικα μή με δικτύων ἔσω
λαβόντες οὐκ ἐκφρῶσ' ἀναίμακτον χρόα.
ὧν εἵνεκ' ὄμμα πανταχῇ διοιστέον
κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ.
ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ

---

245 ἅδε *A*, ἥδε *L* 246 φοίνισσα χώρα *EL* et mut. in φοινίσσα χώρα *G*, cfr. schol. γράφεται καὶ φοίνισσα χώρα ἀπὸ εὐθείας 247 τέκνα *L* ν in ε m. 2 corrigere voluisse videtur 248 τὰς *A* 250 πτόλιν *Aa*, πόλιν *r* 251 πΰκνὸν ϋ ex ο correcto *B* 252 σχῆμα] σῆμα Heimsoeth, cfr. schol. σύμβολον μάχης | φονίου *A* 253 ἂν *A* | οἴσεται in rec. libris, cfr. schol. ἄμεινον δὲ τὸ εἴσεται (l. οἴσεται) ἀντὶ τοῦ ὁρμήσει 255 ἐριννύων *BS* 257 τὰν σὰν] γρ. τὰ σᾶν *A* 259 τόνδε *BS* | ἔνοπλος *Aa* γρ. καὶ ἔνοπλον superscr. a^2, ἔνοπλον *BES* 259 sq. ὁρμᾷ ὃς] King, ὁρμᾷ παῖς ὃς libri, ὁρμῶν παῖς, deleto ὃς, Hartung (ὁρμᾷ παῖς μετέρχεται Battier) 261 κλῇθρα *A*, κλεῖθρα *r* 262 εἴσω libri 263 μή με] μήτε, superscr. γρ. μή με *A* 264 οὐκ ἐκφρῶσ' ex schol. ἡ μὲν γραφὴ οὐκ ἐκφρῶσιν . . καὶ Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων, ὅτε διαλαμβάνει περὶ τοῦ φρῶ, ταύτην τὴν χρῆσιν φέρει Bergk, οὐ μεθῶσ' *A*, οὐ μεθῶσιν *r* 265 οὕνεκ' libri (οὕνεκ' *B*) 267 τῷδε τῷ *B*

τὰ πίστ᾽ ἐμαυτῷ τοῦ θράσους παρέξομαι.
ὠή, τίς οὗτος; ἢ κτύπον φοβούμεθα;
ἅπαντα γὰρ τολμῶσι δεινὰ φαίνεται,
ὅταν δι᾽ ἐχθρᾶς ποὺς ἀμείβηται χθονός.
πέποιθα μέντοι μητρὶ κοὐ πέποιθ᾽ ἅμα,
ἥτις μ᾽ ἔπεισε δεῦρ᾽ ὑπόσπονδον μολεῖν.
ἀλλ᾽ ἐγγὺς ἀλκή· βώμιοι γὰρ ἐσχάραι
πέλας πάρεισι, κοὐκ ἔρημα δώματα,
φέρ᾽ ἐς σκοτεινὰς περιβολὰς μεθῶ ξίφος
καὶ τάσδ᾽ ἔρωμαι, τίνες ἐφεστᾶσιν δόμοις.
ξέναι γυναῖκες, εἴπατ᾽, ἐκ ποίας πάτρας
Ἑλληνικοῖσι δώμασιν πελάζετε;

ΧΟ. Φοίνισσα μὲν γῆ πατρὶς ἡ θρέψασά με,
Ἀγήνορος δὲ παῖδες ἐκ παίδων δορὸς
Φοίβῳ μ᾽ ἔπεμψαν ἐνθάδ᾽ ἀκροθίνιον.
μέλλων δὲ πέμψειν μ᾽ Οἰδίπου κλεινὸς γόνος
μαντεῖα σεμνὰ Λοξίου τ᾽ ἐπ᾽ ἐσχάρας,
ἐν τῷδ᾽ ἐπεστράτευσαν Ἀργεῖοι πόλιν.
σὺ δ᾽ ἀντάμειψαί μ᾽, ὅστις ὢν ἐλήλυθας
ἑπτάστομον πύργωμα Θηβαίας χθονός.

ΠΟ. πατὴρ μὲν ἡμῖν Οἰδίπους ὁ Λαΐου,
ἔτικτε δ᾽ Ἰοκάστη με, παῖς Μενοικέως·
καλεῖ δὲ Πολυνείκη με Θηβαῖος λεώς.

ΧΟ. ὦ συγγένεια τῶν Ἀγήνορος τέκνων,
ἐμῶν τυράννων, ὧν ἀπεστάλην ὕπο,
γονυπετεῖς ἕδρας προσπίτνω σ᾽, ἄναξ,
τὸν οἴκοθεν νόμον σέβουσα.

---

269 ἣ *BS*, ἤ *Aa*, om. *E* 271 ἐχθρᾶς *abL*, ἔχθρᾶς *E*, ἐχθρὰς *A*, ἔχθρας *BG* | ἀμείβητε *A* | versum delet Nauck 274 fort. ἀλκὴ βωμίοις παρ᾽ ἐσχάραις, deleto versu proximo 276 hic ἐς σκοτεινὰς *a*, ἐσκοτεινὰς *EB* σ add. *b* 277 τίνες ἐφεστᾶσι δόμοις *B*, τὰς super τίνες et ωσας super ᾶσι scr. *b*, τὰς ἐφεστάσας δόμους *L*, τὰς ἐφεστώσας δόμοις *G* 278 γυναίκες *A* 279 ἑλληνικοῖσιν *A*, ἑλληνικοῖς *E* | δώμασι *ABES* | προσπελάζετε *L* 280 γῆ om. *B* add. *b* 281 παῖδες] παῖς *L* 282 ἔπεμψεν *B* 283 πέμψειν] scripsi, πέμπειν libri | γόνος in ras. scr. *l* 284 λοξίου ι ex ει correcto *A* 285 ἀργείων *A* ἀργεῖοι A^2 286 ἀντίμειψαι *A* ἀντάμειψαι A^2, ἀντάμειψον *G* | ἐλήλουθας *A* 287 χθονός] πόλεως Nauck 290 πολυνείκην libri | θηβαίος *A* 291 ξυγγένεια *G* 292 ὧν *A* 293 προσπιτνῶ libri

ἔβας ὢ χρόνῳ γαῖαν πατρῴαν.
ἰὼ ἰὼ πότνια, μόλε πρόδομος,
ἀμπέτασον πύλας.
κλύεις, ὦ τεκοῦσα τόνδε μᾶτερ;
τί μέλλεις ὑπώροφα μέλαθρα περᾶν,
θιγεῖν τ' ὠλέναις τέκνου;

ΙΟΚΑΣΤΗ.

Φοίνισσαν βοὰν
κλύουσ', ὦ νεάνιδες, γηραιῷ
ποδὶ τρομερὰν ἕλκω ποδὸς βάσιν.
ἰὼ τέκνον,
χρόνῳ σὸν ὄμμα μυρίαις τ' ἐν ἁμέραις
προσεῖδον· ἀμφίβαλλε μα-
στὸν ὠλέναισι ματέρος,
παρηίδων τ' ὄρεγμα βο-
στρύχων τε κυανόχρωτα χαί-
τας πλόκαμον, σκιάζων δέραν ἁμάν.
ἰὼ ἰώ, μόλις φανεὶς
ἄελπτα κἀδόκητα ματρὸς ὠλέναις.
τί φῶ σε; πῶς ἅπαντα
καὶ χερσὶ καὶ λόγοισι
πολυέλικτον ἁδονὰν
ἐκεῖσε καὶ τὸ δεῦρο

---

295 ἔβας *L* et *a*, sed in marg. γρ. ἔβας ἔβας ὦ a^2, ἔβας ἔβας *r* | ὢ om. *E*, ὦ *B*, ὦ *b r* ὦ πολυνείκη *L* | γαῖαν *L*, γᾶν *r* | πατρίαν Dindorf 296 ἰὼ semel *aEL* | πρόδρομος *AG*, πρόδομος A^2gr, cfr. Andr. 495 297 ἀμπέτασον *B*, ἀναπέτασον *r* 298 τῶνδε *B*, τόνδ' ὦ Seidler, fort. τοῦτον | μάτερ *A*, μῆρ *G* 299 ὑπάροφα *B* ὑπώροφα *b* 300 θίγειν libri, θιγγάνειν Elmsley, unde θιγγάνειν τ' ὠλέναισιν τέκνου Paley | ὠλέναισι τέκνου σέθεν Dindorf, fort. ὠλέναις τέκνου φιλτάτου 301 sqq. φοίνισσαν βοᾶν κλύουσα | ὦ νεάνιδες γηρεῶι (αι super ε scr. A^2) ποδὶ τρομερὰν | ἕλκω ποδὸς βάσιν *A*, φοίνισσαν ὦ νεάνιδες βοᾶν (βοὰν *abES*) ἔσω | δόμων κλύουσα τῶνδε γηραιῷ ποδὶ τρομερὰν (γήρα τρομερὰν *G*, γρ. γηρεῶ ποδὶ τρομερὰν superscr. *g*) | ἕλκω ποδὸς βάσιν *aBES* 302 sq. γηραιῷ ποδὶ] fort. γηραιοῦ σκίπωνι, cfr. Hec. 65 304 ὦ *BEL* 305 μυρίαις τ' *AG*, τ' om. *aBEL* 306 ἀμφίβαλε *BS* 307 ὄρεγμα ⟨δὸς⟩ Camper 308 κυανοχρῶτα *bS* 309 ἁμάν] ἀμάν *Aa*, ἐμάν *BES* | ἀμὰν δέραν Kirchhoff 310 ἰὼ (semel) μόγις *G* 311 ἄελπα *L* 313 λόγοισι *L* κόμησι *l*, cfr. Hec. 837 314 ἡδονὰν *ES* | fort. ἁδονάν τ'

περιχορεύουσα τέρψιν παλαιᾶν λάβω
χαρμονᾶν; ἰὼ τέκος,
ἔρημον πατρῷον ἔλιπες δόμον
φυγὰς ἀποσταλεὶς ὁμαίμου λώβᾳ,
ἦ ποθεινὸς φίλοις,
ἦ ποθεινὸς Θήβαις.
ὅθεν ἐμάν τε λευκόχροα κείρομαι
δακρυόεσσ' ἀνεῖσα πένθει κόμαν,
ἄπεπλος φαρέων λευκῶν, ὦ τέκνον,
δυσόρφναια δ' ἀμφὶ τρύχη τάδε
σκότι' ἀμείβομαι.
ὁ δ' ἐν δόμοισι πρέσβυς ὀμματοστερὴς
ἀπήνας ὁμοπτέρου τᾶς ἀπο-
ζυγείσας δόμων
πόθον ἀμφιδάκρυτον ἀεὶ κατέχων
ἀνῇξε μὲν ξίφους
ἐπ' αὐτόχειρά τε σφαγάν,
ὑπὲρ τέραμνά τ' ἀγχόνας,
στενάζων ἀρὰς τέκνοις·
σὺν ἀλαλαῖσι δ' αἰὲν αἰαγμάτων
σκότια κρύπτεται.
σὲ δ', ὦ τέκνον, καὶ γάμοισι δὴ
κλύω ζυγέντα παιδοποιὸν ἁδονὰν
ξένοισιν ἐν δόμοις ἔχειν
ξένον τε κῆδος ἀμφέπειν,

---

316 sq. *παλαιᾶν..χαρμονᾶν* $A^2 a^3 b$, *παλαιὰν..χαρμονὰν* *AaBES* 319 *ὁμαίμου λώβᾳ* om. *E* 320 sq. *ἣ..ἣ* *B* 321 *Θήβαις*] *πόλει* Geel 322 *λευκρόχροα* *L* 323 *δακρυόεσσ' ἀνεῖσα πένθει*] Hermann, *δακρυόεσσαν* (*δακρυόεσσα* *G*) *ἰεῖσα* (vel *ἱεῖσα*) *πενθήρη* libri, cfr. schol. *ἀπενθέα, ἀντὶ τοῦ πολυπενθῆ κόμην· ἢ οὕτως· τὴν λευκόχροα κόμην ἐκειράμην εἰς τὰ σὰ πένθη· ..ἵνα τὸ πληρὲς ᾖ εἰς σά* | *κόμην* *B* 324 *ὦ* om. libri, add. Dindorf | *τέκνων* *G* 325 *δυσορφναία* *B*, *δυσόρφνεα* *G* | *ἀμφιτρύχη* *AG* | *τὰ δὲ* mut. in *τάδε* *A* 326 *σκότια* *ABL*, fort. *δάκρυα* | *ἀμείβομαι*] fort. *λείβομαι* 327 *ὀμματοστερεῖς* *G* 328 *τὰς* *AB* *τᾶς* *b* 329 *ἀποζυγείσης* *G* 330 *αἰεὶ* *AaBS* 331 *ἀνήϊξε μὰν ξίφος* *G* 332 *σφαγήν* *L*, *φάσγαν* *G* *φασγὰν* *g* 333 *τέρεμνα* *BE* 334 fort. *τέκνοις* ⟨*ἀγρίας*⟩ 335 *ἀλαλαγαῖσι* a^3*BELg*, *ἀλαλαῖσι* *AalG* | *δ' αἰαγμάτων* (omisso *αἰέν*) *BE*, *δ' αἰ***αγμάτων* *L* 336 *σκοτίαι̅* *Aa*, *σκοτίᾳ* *B*, *σκοτία αἰὲν* *L* 337 *σὺ* *G* | *γάμησι* *B* corr. *b* 338 *ἡδονὰν* *EG* 340 *ξένων* *E*

ἄλαστα ματρὶ τᾷδε Λα-
ίῳ τε τῷ παλαιγενεῖ,
γάμων ἐπακτὸν ἄταν.
ἐγὼ δ' οὔτε σοι πυρὸς ἀνῆψα φῶς
νόμιμον ἐν γάμοις
[ὡς πρέπει] ματέρι μακαρίᾳ·
ἀνυμέναια δ' Ἰσμηνὸς ἐκηδεύθη
λουτροφόρου χλιδᾶς, ἀνὰ δὲ Θηβαίαν
πόλιν ἐσιγάθη σᾶς ἔσοδος νύμφας.
ὄλοιτο, τάδ' εἴτε σίδαρος
εἴτ' ἔρις εἴτε πατὴρ ὁ σὸς αἴτιος,
εἴτε τὸ δαιμόνιον κατεκώμασε
δώμασιν Οἰδιπόδα·
πρὸς ἐμὲ γὰρ κακῶν ἔμολε τῶνδ' ἄχη.
ΧΟ. δεινὸν γυναιξὶν αἱ δι' ὠδίνων γοναί,
καὶ φιλότεκνόν πως πᾶν γυναικεῖον γένος.
ΠΟ. μῆτερ, φρονῶν εὖ κοὐ φρονῶν ἀφικόμην
ἐχθροὺς ἐς ἄνδρας· ἀλλ' ἀναγκαίως ἔχει
πατρίδος ἐρᾶν ἅπαντας· ὃς δ' ἄλλως λέγει,
λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.
οὕτω δ' ἐτάρβουν ἐς φόβον τ' ἀφικόμην,
μή τις δόλος με πρὸς κασιγνήτου κτάνῃ,
ὥστε ξιφήρη χεῖρ' ἔχων δι' ἄστεος
κυκλῶν πρόσωπον ἦλθον. ἓν δέ μ' ὠφελεῖ,
σπονδαί τε καὶ σὴ πίστις, ἥ μ' ἐσήγαγε
τείχη πατρῷα· πολύδακρυς δ' ἀφικόμην,
χρόνιος ἰδὼν μέλαθρα καὶ βωμοὺς θεῶν

---

341 μητρὶ *OS* | τᾷδε] Valckenaer, τάδε libri 342 τε om. *G* 343 γάμον *Aa*, γάμων *a*³ | ἐπακτὸν *Aa*, ἐπακτῶν *a*³, ἐπακτὰν *r* 344 δὲ *L* 345 νόμιμον] γόνιμον Plut. de exilio p. 606^F | ἐγγάμοις *A* 346 ὡς πρέπει delevit Nauck | ματέρι] Seidler, μρὶ (vel ματρὶ) libri 347 ἐκηδεύθη *G*, sed κη ex κϋ corr. *g* 348 χλϊδῆς *L* | θηβαῖαν *G* et mut. in θηβαίαν *A* 349 ἐσιγάσθη *L*, schol. γράφεται δὲ καὶ ἐσιγάθησαν (factum scilicet ex ἐσιγάθη σᾶς) | ἔσοδος] Seidler, εἴσοδος *abEG*, εἶδος *L*, εἴσοδοι *AB* 350 sq. εἴτ' ἔρις εἴτε σίδαρος *G* 352 κατεκώμασεν *G* 353 οἰδιπόδαο *G* 358 εἰς *S* 359 ὃς (post ο, quod ex alia litera correctum, rasura) *A*, ὃς δ' ex ὅδ' fecit *l* 361 δ' ἐτάρβουν] Porson, δὲ (τὲ *E*) τάρβους libri 362 ἄστεως Dindorf 365 σῆι *A* | εἰσήγαγεν *AE*

γυμνάσιά θ' οἷσιν ἐνετράφην Δίρκης θ' ὕδωρ·
ὧν οὐ δικαίως ἀπελαθεὶς ξένην πόλιν
ναίω, δι' ὄσσων νᾶμ' ἔχων δακρυρροοῦν.
ἀλλ' ἐκ γὰρ ἄλγους ἄλγος αὖ σὲ δέρκομαι
κάρα ξυρῆκες καὶ πέπλους μελαγχίμους
ἔχουσαν, οἴμοι τῶν ἐμῶν ἐγὼ κακῶν.
ὡς δεινὸν ἔχθρα, μῆτερ, οἰκείων φίλων
[καὶ δυσλύτους ἔχουσα τὰς διαλλαγάς].
τί γὰρ πατήρ μοι πρέσβυς ἐν δόμοισι δρᾷ,
σκότον δεδορκώς; τί δὲ κασίγνηται δύο;
ἦ που στένουσι τλήμονες φυγὰς ἐμάς;
ΙΟ. *κακῶς θεῶν τις Οἰδίπου φθείρει γένος·*
οὕτω γὰρ ἦρξατ', ἄνομα μὲν τεκεῖν ἐμέ,
κακῶς δὲ γῆμαι πατέρα σὸν φῦναί τε σέ.
ἀτὰρ τί ταῦτα; δεῖ φέρειν τὰ τῶν θεῶν.
ὅταν δ' ἔρωμαι, μή τι σὴν δάκω φρένα
δέδοιχ', ἃ χρῄζω· διὰ πόθου δ' ἐλήλυθα.
ΠΟ. *ἀλλ' ἐξερώτα, μηδὲν ἐνδεὲς λίπῃς·*
ἃ γὰρ σὺ βούλει, ταὔτ' ἐμοί, μῆτερ, φίλα.
ΙΟ. *καὶ δή σ' ἐρωτῶ πρῶτον ὧν χρῄζω τυχεῖν,*
τί τὸ στέρεσθαι πατρίδος; ἦ κακὸν μέγα;
ΠΟ. *μέγιστον· ἔργῳ δ' ἐστὶ μεῖζον ἢ λόγῳ.*
ΙΟ. *τίς ὁ τρόπος αὐτοῦ; τί φυγάσιν τὸ δυσχερές;*
ΠΟ. *ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν.*
ΙΟ. *δούλου τόδ' εἶπας, μὴ λέγειν ἅ τις φρονεῖ.*

---

368 *ἐτράφην* *L* | *θ'*] *δ'* *B* 370 *νᾶμ'*] Musgrave, *αἷμ'* *L*, *ὄμμ'* *r* | *δακρυροοῦν* *AB*, *δακρύρροον* Blaydes 371 *ἄλγους* supra lineam add. *A* 372 fort. *κουρὰν ξυρήκη*, cfr. Alc. 427 | *ξυρηκες* ut vid. *A* *ξύρηκες* *A*², *ξυρηκὲς* *BS*, cfr. schol. *τὸ ξυρηκές ὡς ἀπηνές τῷ τόνῳ* 375 *ὁ στίχος οὗτος ἔν τισιν οὐ φέρεται* schol. *Aa*, 375—378 delet Usener 376 *δώμασι* *BE* 377 *κασίγνητοι* *B*, fort. *κασιγνήτα* 378 *ἤ* *A* | *τλήμονας* Brunck | *φυγᾶς ἐμᾶς* *BEL* corr. *bl* 380 *οὕτως* mut. in *οὗτος* *A*, *ω* super *ος* scr. *A*² 382 *ἀτὰρ τί τάδε; δεῖ γὰρ φέρειν τὰ τοῦ θεοῦ* *S* 383 *ὅταν*] Heimsoeth, *ὅπως* libri 384 *πόνου* *a*, *θ* super *ν* scr. *a*³ quae manus in marg. inferiore add. *γρ. διὰ πόθου* 386 *ταὔτ'*] Bothe, *τ' αὔτ'* *E*, *ταῦτ'* *r* 387 *τὸ πρῶτον* *S* | *τυχεῖν*] *μαθεῖν* *F* 388 *ἣ* *AG* 390 *τίς δ'* Stob. fl. 39, 17 | *φυγάσι* *S*, *φυγᾶσι* *B* | *δυσχερές*] *γρ. καὶ δυστυχές* *A*, *δυστυχὲς* habet etiam Plut. de exil. p. 605E

ΠΟ. *τὰς τῶν κρατούντων δ' ἀμαθίας φέρειν χρεών.*
ΙΟ. *καὶ τοῦτο λυπρόν, συνασοφεῖν τοῖς μὴ σοφοῖς.*
ΠΟ. *ἀλλ' ἐς τὸ κέρδος παρὰ φύσιν δουλευτέον.*
ΙΟ. *αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος.*
ΠΟ. *καλοῖς βλέπουσαί γ' ὄμμασιν, μέλλουσι δέ.*
ΙΟ. *οὐδ' ὁ χρόνος αὐτὰς διεσάφησ' οὔσας κενάς;*
ΠΟ. *ἔχουσιν Ἀφροδίτην τιν' ἡδεῖαν κακῶν.*
ΙΟ. *πόθεν δ' ἐβόσκου, πρὶν γάμοις εὑρεῖν βίον;*
ΠΟ. *ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον ἄν.*
ΙΟ. *φίλοι δὲ πατρὸς καὶ ξένοι σ' οὐκ ὠφέλουν;*
ΠΟ. *εὖ πρᾶσσε· τὰ φίλων δ' οὐδέν, ἤν τι δυστυχῇς.*
ΙΟ. *οὐδ' ηὑγένειά σ' ἦρεν εἰς ὕψος μέγαν;*
ΠΟ. *κακὸν τὸ μὴ ἔχειν· τὸ γένος οὐκ ἔβοσκέ με.*
ΙΟ. *ἡ πατρίς, ὡς ἔοικε, φίλτατον βροτοῖς.*
ΠΟ. *οὐδ' ὀνομάσαι δύναι' ἂν ὡς ἐστὶν φίλον.*
ΙΟ. *πῶς δ' ἦλθες Ἄργος; τίν' ἐπίνοιαν ἔσχεθες;* 408
ΠΟ. *οὐκ οἶδ'· ὁ δαίμων μ' ἐκάλεσεν πρὸς τὴν τύχην.* 413
ΙΟ. *σοφὸς γὰρ ὁ θεός· τίνι τρόπῳ δ' ἔσχες λέχος;* 414
ΠΟ. *ἔχρησ' Ἀδράστῳ Λοξίας χρησμόν τινα.* 409
ΙΟ. *ποῖον; τί τοῦτ' ἔλεξας; οὐκ ἔχω μαθεῖν.* 410
ΠΟ. *κάπρῳ λέοντί θ' ἁρμόσαι παίδων γάμους.*
ΙΟ. *καὶ σοὶ τί θηρῶν ὀνόματος μετῆν, τέκνον;* 412
ΠΟ. *νὺξ ἦν, Ἀδράστου δ' ἦλθον ἐς παραστάδας.* 415
ΙΟ. *κοίτας ματεύων, ἢ φυγὰς πλανώμενος;*

---

393 *τὴν τῶν κρατούντων ἀμαθίαν* Plut., schol. *γράφουσί τινες τὰς τῶν πολιτῶν* | *δ'* om. libri, add. Paley 395 *ὅπου τὸ κέρδος* Plut. Demetr. 14 et Lucian. apol. 3 | *παρὰ*] *περὶ* *L* 396 *βόσκουσιν ὡς λόγος ἔχει* *G* 397 *βλέπουσαί γ'* ex schol. *καλοῖς βλέπουσαι· καλὰ πρὸ ὀφθαλμῶν τιθέμεναι*] *βλέπουσί γ'* libri (*βλέπουσιν* *G*) | *ὄμμασι* *BS* 399 *τινὰ* *A* | *κακῶν*] *νόσον* Musgrave 401 *εἶτ'* *A* | *ἄν*] *αὖ* Valckenaer, cfr. ad Androm. 240 402 *ξένοισ* *AB* *ξένοι σ'* A^2b 403 *πράσσε* *ABS* | *ἤν τι δυστυχῇς*] Elmsley, *ἤν τις δυστυχῇ* libri (*ἤν* et *τυχῇ* in ras. scr. *l*) 404 *ἡὑγένεια* *S*, *ηὑγένεια* *E*, *εὐγένεια* *AaB* | *μέγαν*] scripsi, *μέγα* libri 405 *γένος δ'* *L* 407 *ὀνομᾶσαι* *A* | *δύναι'*] Markland, *δύναιμ'* libri (post *ι* erasum aliquid in *E*) | *ἔστι* *BES* 408 *δ'* om. *a* 413 sq. ante 409 collocavit Jacobs 413 *οἶδ'* (supra *δ* aliquid erasum) *E* | *μ'* *AaEG*, *δ'* *L* et in ras. *B* | *ἐκάλεσε* *AaBEL* 410 *ποῖόν τι τοῦτ'* *a* 412 *μεστὴν* *B* *μετῆν* *b* 415 *παραστάδος* *B* corr. *b* 416 *ματεύων* a^2S, *μαστεύων* *AaBE* | *ἢ*] Aldina, *ἣ* libri | *φυγὰς* *L*, sed *υγ* ex *οιβ* ut vid. corr. *l* 416 sq. *ιοκ* ex *πολ* et *πολ* ex *ιοκ* fecit *E*

ΠΟ. ἦν ταῦτα· κᾆτά γ' ἦλθεν ἄλλος αὖ φυγάς.
ΙΟ. τίς οὗτος; ὡς ἄρ' ἄθλιος κἀκεῖνος ἦν.
ΠΟ. Τυδεύς, ὃν Οἰνέως φασὶν ἐκφῦναι πατρός.
ΙΟ. τί θηρσὶν ὑμᾶς δῆτ' Ἄδραστος ᾔκασεν;
ΠΟ. στρωμνῆς ἐς ἀλκὴν οὕνεκ' ἤλθομεν πέρι.
ΙΟ. ἐνταῦθα Ταλαοῦ παῖς συνῆκε θέσφατα;
ΠΟ. κἄδωκέ γ' ἡμῖν δύο δυοῖν νεάνιδας.
ΙΟ. ἆρ' εὐτυχεῖς οὖν τοῖς γάμοις ἢ δυστυχεῖς;
ΠΟ. οὐ μεμπτὸς ἡμῖν ὁ γάμος ἐς τόδ' ἡμέρας.
ΙΟ. πῶς δ' ἐξέπεισας δεῦρό σοι σπέσθαι στρατόν;
ΠΟ. διςσοῖς Ἄδραστος ὤμοσεν γαμβροῖς τόδε,
[Τυδεῖ τε κἀμοί· σύγγαμος γάρ ἐστ' ἐμός]
ἄμφω κατάξειν ἐς πάτραν, πρόσθεν δ' ἐμέ.
πολλοὶ δὲ Δαναῶν καὶ Μυκηναίων ἄκροι
πάρεισι, λυπρὰν χάριν, ἀναγκαίαν δ', ἐμοὶ
διδόντες· ἐπὶ γὰρ τὴν ἐμὴν στρατεύομαι
πόλιν. θεοὺς δ' ἐπώμοσ' ὡς ἀκουσίως
τοῖς φιλτάτοις ἑκοῦσιν ᾐράμην δόρυ.
ἀλλ' ἐς σὲ τείνει τῶνδε διάλυσις κακῶν,
μῆτερ, διαλλάξασαν ὁμογενεῖς φίλους
παῦσαι πόνων με καὶ σὲ καὶ πᾶσαν πόλιν.
πάλαι μὲν οὖν ὑμνηθέν, ἀλλ' ὅμως ἐρῶ·
τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα
δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει.
ἁγὼ μεθήκω δεῦρο μυρίαν ἄγων
λόγχην· πένης γὰρ οὐδὲν εὐγενὴς ἀνήρ.

---

417 κἀτά *A*, κατά *L* κᾆτά *l* | κᾆτ' ἐπῆλθεν Nauck | αὖ ex ἂν corr. *B* 418 ἄθλιος *L*, sed ος rescr. vel corr. *l* | κακεῖνος *A* 419 οἰνέως *L*, sed ως in ras. scr. *l* 420 θηρσὶν *E*, θηρσὶ δ' *r* (δ' ὑμᾶς δῆτ' in ras. scr. *l*) | ἡμᾶς *G* | εἴκασε, scr. γρ. ἤ super εἴ, *a*, εἴκασεν *r* 421 οὕνεκ' *AB* 422 ταλαοῦ *A* post λα inseruit ι *A*[2] 423 κἄδωκέ γ'] Kirchhoff, κἄδωκεν libri | δυοῖν δύο *E* 426 σπέσθαι *AaEG*, ἕπεσθαι *BL* γρ. καὶ σπέσθαι suprascr. *b* 427 ὤμοσε *BES* (ν add. *l*) 428 delevit Jortin, cfr. schol. τοῦτο γὰρ περισσόν· προεμηνύθη γὰρ ἄνωθεν ἤδη 430 δαναοὶ et ἄκρων *G* 431 πάρεισιν *B* | ἀναγκαῖα *A* ἀναγκαίαν *A*[2] | fort. δέ, μοι 432—434 suspecti 433 ὡς] οὓς *G* 434 ἑκοῦσιν] τοκεῦσιν libri, schol. τοῖς φιλτάτοις τοκεῦσι· γράφεται καὶ ἑκοῦσιν | ἠράμην *B*, ᾐράμην *E* 438 οὖν om. *BG* 439 ἀνθρώποισιν εὑρίσκει φίλους Plut. de am. prol. p. 497[B] (ex Soph. frg. 85) 440 τῶν ἐνοῖς ἔχῃ *B* 441 ἃ 'γὼ *AES*, ἁγὼ *B* | ἄγω *E*

ΧΟ. καὶ μὴν Ἐτεοκλῆς ἐς διαλλαγὰς ὅδε
χωρεῖ· σὸν ἔργον, μῆτερ Ἰοκάστη, λέγειν
τοιούσδε μύθους οἷς διαλλάξεις τέκνα.

ΕΤΕΟΚΛΗΣ.

μῆτερ, πάρειμι· τὴν χάριν δὲ σοὶ διδοὺς
ἦλθον. τί χρὴ δρᾶν; ἀρχέτω δέ τις λόγου·
ὡς ἀμφὶ τείχη καὶ ξυνωρίδας λόχων
τάσσων ἐπέσχον πόλιν, ὅπως κλύοιμί σου
κοινὰς βραβείας, αἷς ὑπόσπονδον μολεῖν
τόνδ᾽ εἰσεδέξω τειχέων πείσασά με.

ΙΟ. ἐπίσχες· οὔτοι τὸ ταχὺ τὴν δίκην ἔχει,
βραδεῖς δὲ μῦθοι πλεῖστον ἀνύουσιν σοφόν.
σχάσον δὲ δεινὸν ὄμμα καὶ θυμοῦ πνοάς·
οὐ γὰρ τὸ λαιμότμητον εἰσορᾷς κάρα
Γοργόνος, ἀδελφὸν δ᾽ εἰσορᾷς ἥκοντα σόν.
σύ τ᾽ αὖ πρόσωπον πρὸς κασίγνητον στρέφε,
Πολύνεικες· ἐς γὰρ ταὐτὸν ὄμμασιν βλέπων
λέξεις τ᾽ ἄμεινον τοῦδέ τ᾽ ἐνδέξῃ λόγους.
παραινέσαι δὲ σφῷν τι βούλομαι σοφόν·
ὅταν φίλος τις ἀνδρὶ θυμωθεὶς φίλῳ
ἐς ἓν συνελθὼν ὄμματ᾽ ὄμμασιν διδῷ,
ἐφ᾽ οἷσιν ἥκει, ταῦτα χρὴ μόνον σκοπεῖν,
κακῶν δὲ τῶν πρὶν μηδενὸς μνείαν ἔχειν.
λόγος μὲν οὖν σὸς πρόσθε, Πολύνεικες τέκνον·
σὺ γὰρ στράτευμα Δαναϊδῶν ἥκεις ἄγων,
ἄδικα πεπονθώς, ὡς σὺ φής· κριτὴς δέ τις
θεῶν γένοιτο καὶ διαλλακτὴς κακῶν.

---

444 χωρεῖ γρ. ἥκει *A*, ἥκει *G*, χωρεῖ *r* | μῆτερ ἔργον *B* | ἰοκάστη *B* 447 χρῇ *A* | δὴ τίς *E* | τὶ *A* σ superscr. A^2 448 sq. καὶ ξυνωρίδας λόχων (λοχῶν *B* corr. *b*) τάσσων ἐπέσχον πόλιν (πόλιν om. *L*) ὅπως] fort. καὶ πύλας ξυνωρίδας τάσσων λόχων ἐπέσχον ὡς 450 sq. suspecti 451 τὸν δ᾽ *B* τόνδ᾽ *b* | σπείσασα *G* 452 ἐπέσχες scripto ῐ super έ *A* | οὔτι *G* 453 μύθοι *A* | ἀνύουσι *aBS*, ἀνύτουσιν Matthiae 456 Γοργοῦς Valckenaer | δ᾽ om. *aE* 457 στρέφε γρ. καὶ τρέπε *Aa* 458 ὄμμασιν *a*, ὄμμασι *r* 459 λόγοις *B*, λόγον *G* 460 σφῶϊν *ABEL*, σφῶν *G* et superscr. ῐ *a* 462 συνελθόντ᾽ *A* συνελθὼν A^2, ξυνελθὼν *G* | ὄμμασι *E* 463 ἥκειν *B* corr. *b* 464 μηδαμῶς *S* ενὸς super αμῶς scr. *l* 465 πρόσθεν *S* 467 φῆς *A* 468 κακῶν] τέκνων F. Polle

ΠΟ. ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
κοὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων·
ἔχει γὰρ αὐτὰ καιρόν· ὁ δ' ἄδικος λόγος
νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν.
ἐγὼ δὲ πατρὸς δωμάτων προυσκεψάμην·
τοὐμόν τε καὶ τοῦδ' ἐκφυγεῖν χρῄζων ἀράς,
ἃς Οἰδίπους ἐφθέγξατ' εἰς ἡμᾶς ποτε,
ἐξῆλθον ἔξω τῆσδ' ἑκὼν αὐτὸς χθονός,
δοὺς τῷδ' ἀνάσσειν πατρίδος ἐνιαυτοῦ κύκλον,
ὥστ' αὐτὸς ἄρχειν αὖθις ἀνὰ μέρος λαβὼν
καὶ μὴ δι' ἔχθρας τῷδε καὶ φόνου μολὼν
κακόν τι δρᾶσαι καὶ παθεῖν, ἃ γίγνεται.
ὃ δ' αἰνέσας ταῦθ' ὁρκίους τε δοὺς θεούς,
ἔδρασεν οὐδὲν ὧν ὑπέσχετ', ἀλλ' ἔχει
τυραννίδ' αὐτὸς καὶ δόμων ἐμὸν μέρος.
καὶ νῦν ἕτοιμός εἰμι τἀμαυτοῦ λαβὼν
στρατὸν μὲν ἔξω τῆσδ' ἀποστεῖλαι χθονός,
οἰκεῖν δὲ τὸν ἐμὸν οἶκον ἀνὰ μέρος λαβὼν
καὶ τῷδ' ἀφεῖναι τὸν ἴσον αὖθις αὖ χρόνον,
καὶ μήτε πορθεῖν πατρίδα μήτε προσφέρειν
πύργοισι πηκτῶν κλιμάκων προσαμβάσεις,
ἃ μὴ κυρήσας τῆς δίκης πειράσομαι
δρᾶν. μάρτυρας δὲ τῶνδε δαίμονας καλῶ,
ὡς πάντα πράσσων σὺν δίκῃ, δίκης ἄτερ
ἀποστεροῦμαι πατρίδος ἀνοσιώτατα.
ταῦτ' αὔθ' ἕκαστα, μῆτερ, οὐχὶ περιπλοκὰς

---

469 ἁπλοὺς *A* 470 ποικίλλων *B* | δεῖ τ' ἄνδιχ' *AB* 472 αὐτῷ *ABS* 474—476 suspecti (475 damnat Nauck, 476 delebat olim Hartung, delet Paley) 478 fort. ἀρχὴν . . λαβεῖν 479 sq. suspecti (480 delet Nauck) 479 φόνου γρ. καὶ φθόνου *A*, φόνων *E* | μολεῖν deleto versu proximo Dindorf 480 γίνεται *ABS* 481 ταῦθ'] τάδ' *G* 483 ἐμὸν quod est in rec. libro legebat scholiasta qui adnotat: γράφεται καὶ δόμων ἐμῶν μέρος] ἐμῶν *OS* 484 ἕτοιμός et τὰμάντοῦ *A* 487 ἐφεῖναι J. Heiland | ἶσον *AaB* | αὖτις *B* | αὖ om. libri, add. corrector codicis Kingiani (Triclinius) 488 μήτε *S* (τϊ super τε scr. *l*), μηκέτι *A*, μήτε τι A^2*aBE* 489 προσάμβάσεις *A*, πρὸς ἀμβάσεις *aE*, προσβάσεις *B* γρ. ἀναβάσεις superscr. *b* πρὸς ἐμβάσεις m. rec. 490 ἃ *A* οὗ A^2 492 ὡς A^2*aES*, καὶ (compendio scr.) *AB* | πράττων *G* 494 αὔθ' ἕκαστα *E*, αὐθ' ἕκαστα *A*, αὖθ' ἕκαστα *a*, αὐθέκαστα *S*, οὖν θ' ἕκαστα *B*

λόγων ἀθροίσας εἶπον, ἀλλὰ καὶ σοφοῖς
καὶ τοῖσι φαύλοις ἔνδιχ᾽, ὡς ἐμοὶ δοκεῖ.
ΧΟ. ἐμοὶ μέν, εἰ καὶ μὴ καθ᾽ Ἑλλήνων χθόνα
τεθράμμεθ᾽, ἀλλ᾽ οὖν ξυνετά μοι δοκεῖς λέγειν.
ΕΤ. εἰ πᾶσι ταὐτὸν καλὸν ἔφυ σοφόν θ᾽ ἅμα,
οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις·
νῦν δ᾽ οὔθ᾽ ὅμοιον οὐδὲν οὔτ᾽ ἴσον βροτοῖς,
πλὴν ὀνόμασιν, τὸ δ᾽ ἔργον οὐκ ἔστιν τόδε.
ἐγὼ γὰρ οὐδέν, μῆτερ, ἀποκρύψας ἐρῶ·
ἄστρων ἂν ἔλθοιμ᾽ ἡλίου πρὸς ἀντολὰς
καὶ γῆς ἔνερθεν δυνατὸς ὢν δρᾶσαι τάδε,
τὴν θεῶν μεγίστην ὥστ᾽ ἔχειν τυραννίδα.
τοῦτ᾽ οὖν τὸ χρηστόν, μῆτερ, οὐχὶ βούλομαι
ἄλλῳ παρεῖναι μᾶλλον ἢ σῴζειν ἐμοί·
ἀνανδρία γάρ, τὸ πλέον ὅστις ἀπολέσας
τοὔλασσον ἔλαβε. πρὸς δὲ τοῖσδ᾽ αἰσχύνομαι,
ἐλθόντα σὺν ὅπλοις τόνδε καὶ πορθοῦντα γῆν
τυχεῖν ἃ χρῄζει· ταῖς γὰρ ἂν Θήβαις τόδε
γένοιτ᾽ ὄνειδος, εἰ Μυκηναίου δορὸς
φόβῳ παρείην σκῆπτρα τἀμὰ τῷδ᾽ ἔχειν.
χρῆν δ᾽ αὐτὸν οὐχ ὅπλοισι τὰς διαλλαγάς,
μῆτερ, ποιεῖσθαι· πᾶν γὰρ ἐξαιρεῖ λόγος
ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.
ἀλλ᾽, εἰ μὲν ἄλλως τήνδε γῆν οἰκεῖν θέλει,
ἔξεστ᾽· ἐκεῖνο δ᾽ οὐχ ἑκὼν μεθήσομαι.
[ἄρχειν παρόν μοι, τῷδε δουλεύσω ποτέ,]

496 καὶ ex ἐν corr. *l* | δόκει *B* δοκεῖ *b* 497 καὶ om. *L* 498 τεθράμεθ᾽ *AB* 499 ταὐτὸν in rec. libris, ταὐτὸ *OS* 500 ἀναμφίλεκτος *A*, ἀναφίλεκτος *B*, ἀμφίλεκτος (om. ἂν) *G* 501 νῦν θ᾽ ὅμοιον *E* | ἶσον *AB* 502 ὀνόμασιν] Porson, ὀνομάσαι libri | ἔστι *BG* 503 οὐδὲ γὰρ οὐδὲν *E* 504 ἄστρων ἀνέλθοιμ᾽ *AaB* | ἡλίου etiam Plut. de frat. am. p. 481A, αἰθέρος Stob. 47, 3 | ἀντολὰς *aL*, ἀνατολὰς *r* | ἡλίου τ᾽ ἀναπτυχὰς Schoene, fort. οὐρανοῦ πρὸς ἀντολὰς 505 ἔνερθεν *S*, ἔνερθε *O* | δρᾶσαι *AB* 506 τὴν] τὴν τῶν *B*, τῶν *L* | ὥστ᾽] ὥτ᾽ *A* σ superscr. *A*², ὡς *E* 507 τὸ om. *B* 509 ἀνανδρίᾳ *B* | τὸ πλεῖστον *E* | ὅστις τὸ πλέον *L* | ἀπωλέσας *AL* 512 ταῖς] καὶ Hermann 513 δουρὸς *a* 514 σκήπτρα *A* 516 ἐξαιρεῖ *B*, ἐξαίρει *AES*, ἐξαίρεῖ *a*, ἐξαρκεῖ Geel 518 θέλη *B* 519 ἐκείνου Valckenaer 520 δουλεῦσαι *E* | versum delevit Kirchhoff

πρὸς ταῦτ' ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανα,
ζεύγνυσθε δ' ἵππους, πεδία πίμπλαθ' ἁρμάτων,
ὡς οὐ παρήσω τῷδ' ἐμὴν τυραννίδα.
εἴπερ γὰρ ἀδικεῖν χρή, τυραννίδος πέρι
κάλλιστον ἀδικεῖν, τἄλλα δ' εὐσεβεῖν χρεών.
ΧΟ. οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς·
οὐ γὰρ καλὸν τοῦτ', ἀλλὰ τῇ δίκῃ πικρόν.
ΙΟ. ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακά,
Ἐτεόκλεες, πρόσεστιν· ἀλλ' ἡμπειρία
ἔχει τι λέξαι τῶν νέων σοφώτερον.
τί τῆς κακίστης δαιμόνων ἐφίεσαι
φιλοτιμίας, παῖ; μὴ σύ γ'· ἄδικος ἡ θεός·
πολλοὺς δ' ἐς οἴκους καὶ πόλεις εὐδαίμονας
ἐσῆλθε κἀξῆλθ' ἐπ' ὀλέθρῳ τῶν χρωμένων·
ἐφ' ᾗ σὺ μαίνῃ. κεῖνο κάλλιον, τέκνον,
ἰσότητα τιμᾶν, ἣ φίλους ἀεὶ φίλοις
πόλεις τε πόλεσι συμμάχους τε συμμάχοις
συνδεῖ· τὸ γὰρ ἴσον νόμιμον ἀνθρώποις ἔφυ,
τῷ πλέονι δ' αἰεὶ πολέμιον καθίσταται
τοὔλασσον ἐχθρᾶς θ' ἡμέρας κατάρχεται.
καὶ γὰρ μέτρ' ἀνθρώποισι καὶ μέρη σταθμῶν
ἰσότης ἔταξε κἀριθμὸν διώρισε,
νυκτός τ' ἀφεγγὲς βλέφαρον ἡλίου τε φῶς
ἴσον βαδίζει τὸν ἐνιαύσιον κύκλον,

---

521 τοῦτ' *B* αὖ super οὖ scr. *b* | δὲ om. *E* | φάσγανον *S* 522 ζεύγνυσθ' ἵππους *AE* | πίμπλασθ' *E* 523 μεθήσω *G* 525 τὰ δ' ἄλλ' *E*, τἆλλα δ' *L* 526 μήπι *A* μὴπι *A*² | μὴ καλοῖς ἔργοις ἔπι Herwerden 527 τοῦτ'] τόδ' *E* et Ioannes Damasc. post Stob. Ecl. Gaisf. p. 717, 29 | πικρόν] βαρύ Io. Damasc. 529 ἐτέοκλες *G* ε ante ες inseruit *g* | ἡ 'μπειρία *AES*, γράφεται καὶ πρὸς δοτικήν, ἵν' ᾖ· τῇ γὰρ ἐμπειρίᾳ τὸ γῆρας ἔχει τι λέξαι σοφώτερον schol. 531 λέξαι] δεῖξαι Stob. fl. 115, 1 532 σὺ γ' *A* σύ γ'· *A*² 532—534 clausulae versuum -ός -ας -ων iam non extant in *B* 532 φιλοτιμίας] πλεονεξίας Dio Chrys. 17 p. 249ᴮ 533 fort. πολλῶν 535 κεῖνο . . τέκνον] τοῦτο κάλλιστον βροτοῖς Dio Chrys. 536 ἢ mut. in ἣ *AB* 537 ξυμμάχους τε ξυμμάχοις *AB* 538 ἶσον *B* | νόμιμον] μόνιμον ex Plut. de frat. am. p. 484ᴮ καλὴν κρηπῖδα καὶ μόνιμον ὁμονοίας, qui locus referatur ad hos v. versus Euripidis ib. p. 481ᴬ allatos, elicit Valckenaer, cfr. schol. βέβαιον vel ἀσφαλὲς καὶ βέβαιον 539 πλείονι *S* | ἀεὶ *G*, αἰεὶ *r* 540 θ'] δ' *G* | κατέρχεται *E* 541 γὰρ om. *L* 542 καὶ ἀριθμὸν *L* | διώρισεν *AaG* 543 ἀφεγγὴς *E* 544 ἶσον *B*

κοὐδέτερον αὐτῶν φθόνον ἔχει νικώμενον.
εἶθ' ἥλιος μὲν νύξ τε δουλεύει βροτοῖς,
σὺ δ' οὐκ ἀνέξῃ δωμάτων ἔχων ἴσον
καὶ τῷδ' ἀπονέμειν; κᾆτα ποῦ 'στιν ἡ δίκη;
τί τὴν τυραννίδ', ἀδικίαν εὐδαίμονα,
τιμᾷς ὑπέρφευ καὶ μέγ' ἥγησαι τόδε,
περιβλέπεσθαι τίμιον; κενὸν μὲν οὖν.
ἢ πολλὰ μοχθεῖν πόλλ' ἔχων ἐν δώμασι
βούλει; τί δ' ἔστι τὸ πλέον; ὄνομ' ἔχει μόνον·
ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖς γε σώφροσιν.
οὔτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί,
τὰ τῶν θεῶν δ' ἔχοντες ἐπιμελούμεθα·
ὅταν δὲ χρῄζωσ', αὔτ' ἀφαιροῦνται πάλιν.
[ὁ δ' ὄλβος οὐ βέβαιος, ἀλλ' ἐφήμερος.]
ἄγ', ἤν σ' ἔρωμαι δύο λόγω προθεῖσ' ἅμα,
πότερα τυραννεῖν ἢ πόλιν σῴζειν θέλεις,
ἐρεῖς τυραννεῖν; ἢν δὲ νικήσῃ σ' ὅδε
'Αργεῖά τ' ἔγχη δόρυ τὸ Καδμείων ἕλῃ,
ὄψει δαμασθὲν ἄστυ Θηβαῖον τόδε,
ὄψει δὲ πολλὰς αἰχμαλωτίδας κόρας

---

545 *κοὐ δι' ἕτερον B, κοὐδ' ἕτερον G* | *αὐτοῖν G* | *ἔχει φθόνον E* 546 *βροτοῖς*] *μέτροις* Weil, cfr. schol. *εἶτα ὁ ἥλιος μὲν καὶ ἡ νὺξ τῷ ἴσῳ δουλεύουσι κτέ.*, sed Strattidis comici ioco in frag. 46 Ko. *εἶθ' ἥλιος μὲν πείθεται τοῖς παιδίοις, ὅταν λέγωσιν· ἔξεχ', ὦ φίλ' ἥλιε* verba *δουλεύει βροτοῖς* occasionem dedisse monuit Valckenaer 547 *ἶσον AaB* 547 sq. *ἔχων ἴσον: ἐὰν γράφηται ἔχειν, καὶ ἀπονέμειν, ἐὰν δὲ ἔχων, καὶ ἀπονέμων* schol. 548 *ἀπονέμειν G, ἀπονέμων E, ἀπονεῖμαι r* | *πούστιν A* | versum delet Schoene (546 sq. afferunt Euseb. praep. ev. VI p. 259 et Theodoretus IV p. 804 omisso hoc versu) 549 fort. *ἀδικίας γε μητέρα*, cfr. Dionys. frg. 4 p. 794 *N.* *ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ*, qui versus fortasse ex hoc loco fictus est 550 *μέγα AaB* 552 *μοχθῶν G* | *ἐν δώμασι* (*δώμασιν A*)] *εὐδαίμονα* Nauck 553 *ἐστὶ AG* | *ἔχει* eraso *ν* post *ει A* 554 *γε* om. *S* (*τοῖσι σώφροσιν* in rec. libris) 555 *χρήμαθ' ἴδια AL* (*χρ* in ras. scr. *l*) 556 *δ'* om. *L* 557 *ἀυτ' AaB* *αὔτ'* A^2 *αὖτ'* a^2*bEG* 558 quem habent Plut. cons. ad Apoll. p. 104A et Sext. Emp. adv. math. p. 557, ablegavit Valckenaer 559 *δύω* a^3 | *λόγους*, scripto *ω* super *ους*, *E* | *προσθεῖσ' BEL* 560 *σῴζειν*] Kirchhoff, *σώσειν A, σῶσαι r*, cfr. ad 783 562 *ἀργεία A* | *ἔγχει A* | *δόρυ τὸ*] *τόδε δόρυ L* 563 *θηβαίων BE, θηβαίων a* superscr. a^2, *θηβαίων G* 564 *αἰχμαλώτιδας S*

βίᾳ πρὸς ἀνδρῶν πολεμίων πορθουμένας.
ὀδυνηρὸς ἆρ' ὁ πλοῦτος, ὃν ζητεῖς ἔχειν,
γενήσεται Θήβαισι, φιλότιμος δὲ σύ.
σοὶ μὲν τάδ' αὐδῶ. σοὶ δέ, Πολύνεικες, λέγω·
ἀμαθεῖς Ἄδραστος χάριτας ἐς σ' ἀνήψατο,
ἀσύνετα δ' ἦλθες καὶ σὺ πορθήσων πόλιν.
φέρ', ἢν ἕλῃς γῆν τήνδ', ὃ μὴ τύχοι ποτέ,
πρὸς θεῶν, τρόπαια πῶς ἀναστήσεις Διί;
πῶς δ' αὖ κατάρξῃ θυμάτων, ἑλὼν πάτραν,
καὶ σκῦλα γράψεις πῶς ἐπ' Ἰνάχου ῥοαῖς;
Θήβας πυρώσας τάσδε Πολυνείκης θεοῖς
ἀσπίδας ἔθηκε; μήποτ', ὦ τέκνον, κλέος
τοιόνδε σοι γένοιθ' ὑφ' Ἑλλήνων λαβεῖν.
ἢν δ' αὖ κρατηθῇς καὶ τὰ τοῦδ' ὑπερδράμῃ,
πῶς Ἄργος ἥξεις μυρίους λιπὼν νεκρούς;
ἐρεῖ δὲ δή τις· ὦ κακὰ μνηστεύματα
Ἄδραστε προσθείς, διὰ μιᾶς νύμφης γάμον
ἀπωλόμεσθα. δύο κακὼ σπεύδεις, τέκνον,
κείνων στέρεσθαι τῶνδέ τ' ἐν μέσῳ πεσεῖν.
μέθετον τὸ λίαν, μέθετον· ἀμαθία δυοῖν,
ἐς ταὔθ' ὅταν μόλητον, ἔχθιστον κακόν.
ΧΟ. ὦ θεοί, γένοισθε τῶνδ' ἀπότροποι κακῶν
καὶ ξύμβασίν τιν' Οἰδίπου τέκνοις δότε.

---

565 *πορθουμένας*] superscr. *γρ. καὶ λεληϊσμένας A, γρ. λεληϊσμένας a* 566 *ὀδυνηρὸς*, superscr. *γρ. καὶ πονηρός A*, schol. *γράφεται καὶ δαπανηρός, ὅ ἐστιν ἐπιζήμιος* | *ἆρ' L, ἄρ' r* 567 *θήβασι A* 569 *εἶσ A, εἰς σ'* A^2 | *ἀμείψατο E, ἀνήψατο r* 571 *ἦν B ἢν b* | *τῆνδ' A* | *μὴ τύχοι*, superscr. *γρ. μὴ τύχηι A* 572 *τροπαῖα AGb* | *ἀναστήσεις*] *ἄρα στήσεις* Porson | *Διί*] Kirchhoff, *δή AB γρ. δορὸς* superscr. *b*, *δορός aES* 573 *κατάρξεις EG* | *ἑλῶν A* | *πάτραν*] *πόλιν EG* | versum delet Herwerden 574 *καὶ*] *κἀς* Valckenaer, fort. *κἀς σκῦλα γράψεις ποῖ'* | *σκύλα AB* 575 *πυρσώσας AB* | *τᾶσδε A* | *θεοὶς* om. *L* adscripto in marg. *λείπ(ει)*, add. *l* 577 *σοι* om. *L* | *γένοιθ' G, γένοιτ' ἂν r*, unde *γένοιτ' ἀν' Ἕλληνας* Valckenaer 578 *κρατηθὴς A* | *ὑπερδράμη G* (cfr. schol.), *ὑπεκδράμῃ r* (*ὑπεκδράμοι B οι* in *η* corr. et *οι* superscr. *b*) 580 *δή* om. *A* 581 *προσθείς A σθ* in *θ* mut. A^2 | *μιὰς A* corr. A^2 582 *ἀπολλόμεσθα B* | *δύω* a^3EG | *κακὰ Bl ὼ* super *ὰ* scr. *b* 583 *τῶνδ' ἐν B τῶνδέ τ' ἐν b* | versum delet Conradt 584 *τὸ* om. *E* | *ἀμαθία ABS, ἀμαθίαι* A^2baE 585 bis scriptus in *B* (in duobus foliis), priore loco erasus | *ταῦθ' a* (accentum rescr. a^2), *ταῦθ' r* | *ἔχθιστον*] *αἴσχιστον E* 587 *τέκνοις τόδε E*

ΕΤ. *μῆτερ, οὐ λόγων ἔθ᾽ ἀγών, ἀλλ᾽ ἀναλοῦται χρόνος*
οὑν μέσῳ μάτην, περαίνει δ᾽ οὐδὲν ἡ προθυμία·
οὐ γὰρ ἂν ξυμβαῖμεν ἄλλως ἢ ᾽πὶ τοῖς εἰρημένοις,
ὥστ᾽ ἐμὲ σκήπτρων κρατοῦντα τῆσδ᾽ ἄνακτ᾽ εἶναι χθονός·
τῶν μακρῶν δ᾽ ἀπαλλαγεῖσα νουθετημάτων μ᾽ ἔα.
καὶ σὺ τῶνδ᾽ ἔξω κομίζου τειχέων ἢ κατθανῇ.
ΠΟ. *πρὸς τίνος; τίς ὧδ᾽ ἄτρωτος, ὅστις εἰς ἡμᾶς ξίφος*
φόνιον ἐμβαλὼν τὸν αὐτὸν οὐκ ἀποίσεται μόρον;
ΕΤ. *ἐγγύς, οὐ πρόσω βέβηκεν· ἐς χέρας λεύσσεις ἐμάς;*
ΠΟ. *εἰσορῶ· δειλὸν δ᾽ ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.*
ΕΤ. *κᾆτα σὺν πολλοῖσιν ἦλθες πρὸς τὸν οὐδὲν ἐς μάχην;*
ΠΟ. *ἀσφαλὴς γάρ ἐστ᾽ ἀμείνων ἢ θρασὺς στρατηλάτης.*
ΕΤ. *κομπὸς εἶ σπονδαῖς πεποιθώς, αἵ σε σῴζουσιν θανεῖν.*
ΠΟ. *καὶ σὲ δεύτερόν γ᾽ ἀπαιτῶ σκῆπτρα καὶ μέρος χθονός.*
ΕΤ. *οὐκ ἀπαιτούμεσθ᾽· ἐγὼ γὰρ τὸν ἐμὸν οἰκήσω δόμον.*
ΠΟ. *τοῦ μέρους ἔχων τὸ πλεῖον;* ΕΤ. *φήμ᾽· ἀπαλλάσσου δὲ γῆς.*
ΠΟ. *ὦ θεῶν βωμοὶ πατρῴων,* ΕΤ. *οὓς σὺ πορθήσων πάρει.*
ΠΟ. *κλύετέ μου,* ΕΤ. *τίς δ᾽ ἂν κλύοι σου πατρίδ᾽ ἐπεστρατευμένου;*
ΠΟ. *καὶ θεῶν τῶν λευκοπώλων δώμαθ᾽,* ΕΤ. *οἳ στυγοῦσί σε.*
ΠΟ. *ἐξελαυνόμεσθα πατρίδος.* ΕΤ. *καὶ γὰρ ἦλθες ἐξελῶν.*

---

588 *ἔθ᾽ ἀγών*] Canter *ἔστ᾽* (*ἐστ᾽ A*) *ἀγών* libri | *ἀναλοῦται*] Valckenaer, *ἀνάλωται* libri   589 *ὀὑμμέσω A, ὀὑμμέσωι a, οὑμ μέσω B οὗμ μέσω b, οὑν μέσω E*   590 *ξυμβαίημεν B, ξυμβῶμεν EG*   591 *ὥστέ με aBES* | *σκῆπτρα E*   592 *μ᾽ ἔα* om. *G*   593 *ἢ̃ B* | *κατθανεῖν G*   594 *τίς ̦δ᾽ A* | *ὅδ᾽ BG, ὧδ᾽ L*, sed *ὧ* rescr. *l* et ante *ω* ras., fuit *δ᾽ ὧδ᾽* vel *δ᾽ ὅδ᾽*   596 *οὗ AaBS οὔ b* | *βέβηκεν*] Heath (*βεβηκώς* Musgrave), *βέβηκας* libri | *χέρας* in rec. libris, *χεῖρας OS* | *λεύσεις ABS*   597 *δεινὸν Aa δειλὸν* A^2a^3 598 *σὺν πολλοῖσιν*] *γρ. σὺν ὅπλοις* superscr. *b* | *ἐς* hic libri excepto *E*   599 *γὰρ ἔστ᾽ ABS*   600 *κόμπος BEL κομπὸς b*, schol. *γράφεται δὲ καὶ κομψός* | *πεπονθὼς* mut. in *πεποιθῶς A* | *αἶ A* | *σώζουσι aBG*   601 *καί σε a* | *μέρος*] scripsi, *μέρη* libri   602 *ἀπαιτούμεσθ᾽ BG* | *γὰρ* om. *B*   603 *μέρος E* corr. E^2 | *πλεῖον*] fort. *μᾶσσον* | *φημί AaBG* | *δὲ τῆσδε γῆς L*   604 *ὦ θεοὶ πατρῶοι E* | *πατρῴων* in rec. libris, *πατρῷοι OS*   605 *ἂν*] *αὖ B* | *ἐπεστραμένου A* corr. A^2 606 *δώματα AS, δωμάτων B* (*δώματα* m. recentissima)   607 *ἐξελαυνόμεθα E, ἐξελαύνομαι G* | *πατρίδος ἐξελαυνόμεσθα* Blomfield | *ἐξελών ABES*

ΠΟ. *ἀδικίᾳ γ', ὦ θεοί.* *ΕΤ.* *Μυκήναις, μὴ 'νθάδ' ἀνακάλει θεούς.*
ΠΟ. *ἀνόσιος πέφυκας,* *ΕΤ.* *ἀλλ' οὐ πατρίδος, ὡς σύ, πολέμιος.*
ΠΟ. *ὅς μ' ἄμοιρον ἐξελαύνεις.* *ΕΤ.* *καὶ κατακτενῶ γε πρός.*
ΠΟ. *ὦ πάτερ, κλύεις ἃ πάσχω;* *ΕΤ.* *καὶ γὰρ οἷα δρᾷς κλύει.*
ΠΟ. *καὶ σύ, μῆτερ;* *ΕΤ.* *οὐ θεμιτόν σοι μητρὸς ὀνομάζειν κάρα.*
ΠΟ. *ὦ πόλις.* *ΕΤ.* *μολὼν ἐς Ἄργος ἀνακάλει Λέρνης ὕδωρ.*
ΠΟ. *εἶμι, μὴ πόνει· σὲ δ' αἰνῶ, μῆτερ.* *ΕΤ.* *ἔξιθι χθονός.*
ΠΟ. *ἔξιμεν· πατέρα δέ μοι δὸς εἰσιδεῖν.* *ΕΤ.* *οὐκ ἂν τύχοις.*
ΠΟ. *ἀλλὰ παρθένους ἀδελφάς.* *ΕΤ.* *οὐδὲ τάσδ' ὄψει ποτέ.*
ΠΟ. *ὦ κασίγνηται.* *ΕΤ.* *τί ταύτας ἀνακαλεῖς ἔχθιστος ὤν;*
ΠΟ. *μῆτερ, ἀλλά μοι σὺ χαῖρε.* *ΙΟ.* *χαρτὰ γοῦν πάσχω, τέκνον.*
ΠΟ. *οὐκέτ' εἰμὶ παῖς σός.* *ΙΟ.* *ἐς πόλλ' ἀθλία πέφυκ' ἐγώ.*
ΠΟ. *ὅδε γὰρ εἰς ἡμᾶς ὑβρίζει.* *ΕΤ.* *καὶ γὰρ ἀνθυβρίζομαι.*
ΠΟ. *ποῦ ποτε στήσῃ πρὸ πύργων;* *ΕΤ.* *ὡς τί μ' ἱστορεῖς τόδε;*
ΠΟ. *ἀντιτάξομαι κτενῶν σε.* *ΕΤ.* *κἀμὲ τοῦδ' ἔρως ἔχει.*
ΙΟ. *ὦ τάλαιν' ἐγώ· τί δράσετ', ὦ τέκν';* *ΠΟ.* *αὐτὸ σημανεῖ.*
ΙΟ. *πατρὸς οὐ φεύξεσθ' Ἐρινῦς;* *ΕΤ.* *ἐρρέτω πρόπας δόμος.*
ΠΟ. *ὡς τάχ' οὐκέθ' αἱματηρὸν τοὐμὸν ἀργήσει ξίφος.*
τὴν δὲ θρέψασάν με γαῖαν καὶ θεοὺς μαρτύρομαι,

---

608 *γ'* in libris rec., *γε σῇ OS*, fort. *ἀδικίᾳ σῇ, θεοί* 610 *κατακτανῶ aS* | *γε*] *σε E* 611 *οἷα A* 612 *ἀθέμιτόν σοι* Bothe (*οὐ θέμις σοι* Grotius, *οὔ σε θεμιτὸν* Musgrave) 613 *μολῶν AB* 615 *ἔξιμεν*] Musgrave, *ἔξειμι* libri | *δὸς ἰδεῖν a* | *τύχηις* sic ut *ο* ex *η* corrigere voluisse videatur *A*, *τύχης G* 616 *παρθένους γ'* Valckenaer 617 post 612 transponit Schoene 618 *ἀλλά μοι σὺ χαῖρε, μῆτερ B* | *γ' οὖν A* 619 *πόλλ'* in libris rec., *πολά γ' A*, *πολλά γ' r* 620 *εἰς* om. *L*, unde fort. *γὰρ ἡμᾶς ἐξυβρίζει* scribendum | *ὑμᾶς A* et mut. in *ἡμᾶς E* 621 *ποϱ B προ b*, *πρὸ* om. *L*, *προ* supra lineam add. *l* 622 *κτενῶ A*, *κτενών B* corr. *b* | *κτανών τε L κτενών σε l* 623 *τέκν'* E*, *τέκνα r* | *αὐτὸ B*, sed post *ὸ* erasum *σ* ut vid. et *γρ. αὐτὸ* suprascriptum 624 *ἐρινύς AaB*, *ἐριννῦς ES* | *ΕΤ.*] *πολ BES*, notam om. *A*, *πολ* add. A^2, quae manus *ἐτεὸ* post *δόμος* scripsit 625 *πολ* om. *ABEL*, praefixit A^2b | *οὐκέτ' Aa* | *οὐκέθ' αἱ* in ras. scr. *b* 626 *πολ* praefixit *b* | *γαῖαν*] *γρ. πάτραν* suprascr. *Aa*

ὡς ἄτιμος οἰκτρὰ πάσχων ἐξελαύνομαι χθονός,
δοῦλος ὥς, ἀλλ' οὐχὶ ταὐτοῦ πατρὸς Οἰδίπου γεγώς·
κἄν τί σοι, πόλις, γένηται, μὴ 'μέ, τόνδε δ' αἰτιῶ·
οὐχ ἑκὼν γὰρ ἦλθον, ἄκων δ' ἐξελαύνομαι χθονός.
καὶ σύ, Φοῖβ' ἄναξ Ἀγυιεῦ, καὶ μέλαθρα χαίρετε,
ἥλικές θ' οὑμοὶ θεῶν τε δεξίμηλ' ἀγάλματα.
οὐ γὰρ οἶδ' εἴ μοι προσειπεῖν αὖθις ἔσθ' ὑμᾶς ποτε·
ἐλπίδες δ' οὔπω καθεύδουσ', αἷς πέποιθα σὺν θεοῖς
τόνδ' ἀποκτείνας κρατήσειν τῆσδε Θηβαίας χθονός.
ΕΤ. *ἔξιθ' ἐκ χώρας· ἀληθῶς δ' ὄνομα Πολυνείκη πατὴρ*
ἔθετό σοι θείᾳ προνοίᾳ νεικέων ἐπώνυμον.

ΧΟ. *Κάδμος ἔμολε τάνδε γᾶν* stroph.
Τύριος, ᾧ τετρασκελὲς
μόσχος ἀδάματος πέσημα
δίκε τελεσφόρον διδοῦσα
χρησμόν, οὗ κατοικίσαι
πεδία νιν τὸ θέσφατον
πυροφόρ' Ἀόνων ἔχρη,
καλλιπόταμος ὕδατος ἵνα τε
νοτὶς ἐπέρχεται γυίας
Δίρκας χλοηφόρους
καὶ βαθυσπόρους γύας,
Βρόμιον ἔνθα τέκετο μάτηρ

---

628 *Οἰδίπου* om. *G* | *γεγώς BES μολὼν γρ.* suprascr. *b*, *μολών Aa γεγώς* suprascr. *a*[2] 629 *μή με aBS* | *τόνδε δ' αἰτιῶ aE*, *τόνδ' αἰτιῶ ABS* 630 *ἄκον A* corr. *A*[2] | versum delet Valckenaer 631 *ἀγυεῦ A* 632 *τ' οὑμοὶ* ex *θ' οὑμοὶ* corr. *a*[2] | *τε* om. *G* 633 *αὖθις* om. *G* 634 *αἶ* corr. in *αἷς A* 636 *ἔξιθ' ἐκ* in rec. libris, *ἔξιθι OS* | *ἀλληθῶς A* | *πολυνείκην* libri (ex *πολυνείκης* corr. *A*) 637 schol. *a ὄνομα νεικέων φερώνυμον τουτέστιν ἀπὸ τῶν νεικέων τὴν ἐπωνυμίαν λαβόν*, unde *φερώνυμον* Kirchhoff 638 *κᾶδμος A* 639 sq. *τετρασκελὲς .. ἀδάματος*] Bergk, *τετρασκελὴς .. ἀδάμαστον* libri et schol. 641 *δῖκε L* 642 *χρηισμόν οὗ A* | *κατοικίσαι*] ex schol. *ἐν ἐνίοις τῶν ὑπομνημάτων ἀντὶ τοῦ οὗ κατῴκισε κατοικίσαι* Valckenaer, *κατῴκισεν Aa*, *κατώκισεν B*, *κατώκισε ES ἀντὶ κτῆσαι* (i. e. *κτίσαι*) superscr. *E* 643 *νιν*] *μιν* Musgrave, *μὲν* libri et schol. 644 *πυροφόρ' Ἀόνων*] Valckenaer, *πυροφόρα δόμων* libri et schol. | *ἔχρη*] Hermann, *ἔχρησεν* vel *ἔχρησε* libri 645 *ἵνα τε*] fort. *ἔνθα* 646 *γυίας*] *γαίας S*, *γᾶς E*, *γύας* Valckenaer, *ῥυτᾶς* Hermann 648 *βαθυσπόρου L* | *γύας*] *γυίας* libri 649 *τέτοκε L* | *μάτηρ* scripto *η* super *ά A*

Διὸς γάμοισι,
κισσὸς ὃν περιστεφὴς
ἕλικος εὐθὺς ἔτι βρέφος
χλοηφόροισιν ἔρνεσιν
κατασκίοισιν ὀλβίσας ἐνώτισεν,
Βάκχιον χόρευμα παρθένοισι Θηβαίαισι
καὶ γυναιξὶν εὐίοις.

ἔνθα φόνιος ἦν δράκων antistr.
Ἄρεος ὠμόφρων φύλαξ
νάματ' ἔνυδρα καὶ ῥέεθρα
χλοερὰ δεργμάτων κόραισι
πολυπλάνοις ἐπισκοπῶν·
ὃν ἐπὶ χέρνιβας μολὼν
Κάδμος ὄλεσε μαρμάρῳ,
κρᾶτα φόνιον ὀλεσίθηρος
ὠλένας δικὼν βολαῖς,
δίας ἀμάτορος
Παλλάδος φραδαῖσι
γαπετεῖς δικὼν ὀδόντας
ἐς βαθυσπόρους γύας·
ἔνθεν ἐξανῆκε γᾶ
πάνοπλον ὄψιν ὑπὲρ ἄκρων
ὅρων χθονός· σιδαρόφρων
δέ νιν φόνος πάλιν ξυνῆψε γᾷ φίλᾳ.

---

650 fort. ⟨*ἀστραπᾷ*⟩ *Διὸς γάμοις* (*γάμοις* Brunck) 652 *ἕλικος*] Hermann, *ἑλικτὸς* vel *ἑλικτὸς* libri | *ἔτι βρέφος εὐθὺς G* 653 *χλοηφόροις E* | *ἔρνεσι ABL*, *ἕρνεσι a* 654 *ἐνώτισε AaBEL* 655 *Βάκχιον*] Valckenaer, *βακχεῖον* libri (*βαχεῖον L βακχεῖον l*) | *θηβαίοισι E* 656 *εὐίαις* in rec. libris recte ut videtur 657 *φόνιος* mut. in *φοίνιος A* | *ἦν* om. *E* 658 *ἄρεως Aa*, *ἄρεος r* | *ὁμόφρων B* corr. *b*, *ὠμόφρον L* 662 *χερνίβας μολῶν B* (*μολὼν b*) 663 *ὄλεσε*] Hermann, *ὤλεσεν* vel *ὤλεσε* libri 664 *κράτα BG* 665 *ὠλένας G*, *ὠλένης L*, *ὠλέναις AaBE* 666 *δίας δ'* Brunck (*δίας τ'* Rauchenstein) | *ἀμήτορος L* 667 *φραδαῖσιν AaL* | fort. ⟨*θεᾶς*⟩ *φραδαῖσι Παλλάδος* (*φραδαῖσι Παλλάδος* Hermann) vel *Παλλάδος* ⟨*θεᾶς*⟩ *φραδαῖς* (*φραδαῖς* cod. Kingii) 668 *ἔδικεν* Rauchenstein, *ἔκρυψ'* EGebhardt, fort. *ἐνῆκ'* 669 *γύας*] Valckenaer, *γυίας* libri 670 *ἔνθεν δ' AE* 672 *ὅρων aBlG ὀρῶν b*, *'ὅρων E*, *ορῶν A*, *ὀρων L* 673 *φόνος φίλα ξυνῆψε γᾶ* (om. *πάλιν*) *G* | *πᾶλιν A* | *γᾷ φίλᾳ*] corrector cod. Kingiani (Triclinius), *φίλα γᾷ* libri, *γᾷ τροφῷ* Schwerdt

αἵματος δ' ἔδευσε γαῖαν, ἅ νιν εὐηλίοισι
δεῖξεν αἰθέρος πνοαῖς.

καὶ σέ, τὸν προμάτορος
Ἰοῦς ποτ' ἔκγονον
Ἔπαφον, ὦ Διὸς γένεθλον,
ἐκάλεσ' ἐκάλεσα βαρβάρῳ βοᾷ,
ἰώ, βαρβάροις λιταῖς,
βᾶθι βᾶθι τάνδε γᾶν·
σοί νιν ἔκγονοι κτίσαν
καὶ διώνυμοι θεαί,
Περσέφασσα καὶ φίλα
Δαμάτηρ θεά,
πάντων ἄνασσα, πάντων δὲ Γᾶ τροφός,
ἐκτήσαντο· πέμπε πυρφόρους
θεάς, ἄμυνε τᾷδε γᾷ·
πάντα δ' εὐπετῆ θεοῖς.

ΕΤΕΟΚΛΗΣ.

χώρει σὺ καὶ κόμιζε τὸν Μενοικέως
Κρέοντ', ἀδελφὸν μητρὸς Ἰοκάστης ἐμῆς,
λέγων τάδ', ὡς οἰκεῖα καὶ κοινὰ χθονὸς
θέλω πρὸς αὐτὸν συμβαλεῖν βουλεύματα,
πρὶν ἐς μάχην τε καὶ δορὸς τάξιν μολεῖν.

---

674 δ'] τ' *G* | εὐείλοισι Musgrave 675 πνοιαῖς *G* 676 καί σε *E* 677 πότ' *AB* | ἔγγονον *Ga*[3] (ἔκγονον *a*) 678 γενέθλιον *L* γένεθλον *l* 680 λιταῖς et in marg. γρ. βοαῖς *A* 681 τᾶνδε *A*, τήνδε scripto α super ή *E* 682 schol. γρ. καὶ σῷ νιν ἐκγόνῳ κτίσαν 683 καὶ] scripsi ut olim Hartung, ἅι *Aa*, ἅ eraso ι post α *B* γρ. καὶ ὧ superscr. *b*, ἅ *EG*, ὧ ex ἅ ut vid. corr. *l*, cfr. schol. ἀντὶ τοῦ ὅπου. ἢ ἄρθρον πληθυντικὸν καὶ λείπει ὁ καί σύνδεσμος et ἄλλως: τὸ ᾇ Δωρικόν ἐστιν ἀντὶ τοῦ ᾗ κτέ. 684 περσέφασα *ABES* 685 δαμάτηρ *aES*, δαμήτηρ *AB* 686 πάντων ἄνασσα Γᾶ τροφός Paley | γᾶι *A* 687 ἐκτήσαντο *E*, ἐκτίσαντο *r* | πυρφόρους *aES*, πυροφόρους *l* et superscriptis verbis γρ. καὶ πυροφόρους (debebat πυρφόρους) *A*, πυρροφόρους *B* 688 ἄμυνε τᾷδε γᾷ] Hermann, ἄμυναι (ἀμύναι *G*) τᾷδε (τῇδε *E*) γᾷ (γαίᾳ *AG*) libri, γρ. καὶ ἀμύνεται δὲ γᾶ schol. 689 θεοῖς *aB*, θεοῖσιν *AL*, θεοῖσι *G* 690 σὺ *L*, sed ὺ in ras. scr. *l* 691 ἰοκάστης corr. ης ex αν vel ον *E* 692 λέγον *E* 693 βούλευμα *B* corr. *b*

καίτοι ποδῶν σῶν μόχθον ἐκλύει παρών.
ὁρῶ γὰρ αὐτὸν πρὸς δόμους στείχοντ᾽ ἐμούς.
ΚΡ. ἦ πόλλ᾽ ἐπῆλθον εἰσιδεῖν χρῄζων σ᾽, ἄναξ
Ἐτεόκλεες, πέριξ δὲ Καδμείων πύλας
φυλακάς τ᾽ ἐπῆλθον σὸν δέμας θηρώμενος.
ΕΤ. καὶ μὴν ἐγὼ σ᾽ ἔχρῃζον εἰσιδεῖν, Κρέον·
πολλῷ γὰρ ηὗρον ἐνδεεῖς διαλλαγάς,
ὡς ἐς λόγους συνῆψα Πολυνείκει μολών.
ΚΡ. ἤκουσα μεῖζον αὐτὸν ἢ Θήβας φρονεῖν,
κήδει τ᾽ Ἀδράστου καὶ στρατῷ πεποιθότα.
ἀλλ᾽ ἐς θεοὺς χρὴ ταῦτ᾽ ἀναρτήσαντ᾽ ἔχειν·
ἃ δ᾽ ἐμποδὼν μάλιστα, ταῦθ᾽ ἥκω φράσων.
ΕΤ. τὰ ποῖα ταῦτα; τὸν λόγον γὰρ ἀγνοῶ.
ΚΡ. ἥκει τις αἰχμάλωτος Ἀργείων πάρα.
ΕΤ. λέγει δὲ δὴ τί τῶν ἐκεῖ νεώτερον;
ΚΡ. μέλλειν πέριξ πύργοισι Καδμείων πόλιν
ὅπλοις ἑλίξειν αὐτίκ᾽ Ἀργείων στρατόν.
ΕΤ. ἐξοιστέον τἄρ᾽ ὅπλα Καδμείων πόλει.
ΚΡ. ποῖ; μῶν νεάζων οὐχ ὁρᾷς ἃ χρή σ᾽ ὁρᾶν;
ΕΤ. ἐκτὸς τάφρων τῶνδ᾽, ὡς μαχουμένους τάχα.
ΚΡ. σμικρὸν τὸ πλῆθος τῆσδε γῆς, οἳ δ᾽ ἄφθονοι.
ΕΤ. ἐγᾦδα κείνους τοῖς λόγοις ὄντας θρασεῖς.
ΚΡ. ἔχει τιν᾽ ὄγκον Ἄργος Ἑλλήνων πάρα.
ΕΤ. θάρσει· τάχ᾽ αὐτῶν πεδίον ἐμπλήσω φόνου.
ΚΡ. θέλοιμ᾽ ἄν· ἀλλὰ τοῦθ᾽ ὁρῶ πολλοῦ πόνου.
ΕΤ. ὡς οὐ καθέξω τειχέων ἔσω στρατόν.
ΚΡ. καὶ μὴν τὸ νικᾶν ἐστι πᾶν εὐβουλία.

---

695 σὸν *G* 696 προς *A*, πρὸ *E* 697 ἢ *A* | ἐπῆλθον] ἐμόχθουν Valckenaer | σ᾽ om. *E* 698 ἐτεοκλέες *B*, ἐτέοκλες *S* 699 φυλακάς *aBG*, φύλακας *AE*, φύλακάς *L* 700 κρέων *A* κρέον *A*² 701 πολλῶν in libro rec. | εὗρον libri 702 ὡς] fort. ὧν | post ὡς inseruit τ *b* 703 εἰς ἡμᾶς Earle cl. Hipp. 6 706 ἅμ᾽ ἐμποδὼν scr. ἐν μέσω super ἅμ᾽ *E* | ἐμποδῶν *A* | ταῦτ᾽ *B* | φράσον *G* 708 τίς *aE* 709 δὴ τί *ES*, δή τι *AaB* 710 πύργοισι προσβαλεῖν λόχους, deleto v. proximo, Kirchhoff | πόλει (ει in ras.) *G* 711 lineolam praef. *L* 712 τ᾽ ἆρ *ABE* 713 πῆ *L* 715 οἵ δ᾽ *S*, οἶδ᾽ *A*, οἶδ᾽ *B* corr. *b* 716 ἐγ᾽ ὦδα *G*, ἐγᾦδα *L*, ἐγὼδα *AB* | ὄντα *E* 717 τ᾽ ἄργος *AG* | πάρρα *A* 720 ὡ corr. in ὡσ *A*, ante ὡς erasum π ut vid. in *E* | ἔσω *L*, εἴσω *r* 721 νικὰν *A* νικᾶν *A*², νικᾶν γ᾽ Lenting | εὐβουλίαι *a*

ΕΤ. βούλει τράπωμαι δῆθ' ὁδοὺς ἄλλας τινάς;
ΚΡ. πάσας γε, πρὶν κίνδυνον εἰς ἅπαξ μολεῖν.
ΕΤ. εἰ νυκτὸς αὐτοῖς προσβάλοιμεν ἐκ λόχου;
ΚΡ. εἴπερ σφαλείς γε δεῦρο σωθήσῃ πάλιν.
ΕΤ. ἴσον φέρει νύξ, τοῖς δὲ τολμῶσιν πλέον.
ΚΡ. ἐνδυστυχῆσαι δεινὸν εὐφρόνης κνέφας.
ΕΤ. ἀλλ' ἀμφὶ δεῖπνον οὖσι προσβάλω δόρυ;
ΚΡ. ἔκπληξις ἂν γένοιτο· νικῆσαι δὲ δεῖ.
ΕΤ. βαθύς γέ τοι Διρκαῖος ἀναχωρεῖν πόρος.
ΚΡ. ἅπαν κάκιον τοῦ φυλάσσεσθαι καλῶς.
ΕΤ. τί δ', εἰ καθιππεύσαιμεν Ἀργείων στρατόν;
ΚΡ. κἀκεῖ πέφρακται λαὸς ἅρμασιν πέριξ.
ΕΤ. τί δῆτα δράσω; πολεμίοισι δῶ πόλιν;
ΚΡ. μὴ δῆτα· βουλεύου δ', ἐπείπερ εἶ σοφός.
ΕΤ. τίς οὖν πρόνοια γίγνεται σοφωτέρα;
ΚΡ. ἕπτ' ἄνδρας αὐτοῖς φασιν, ὡς ἤκουσ' ἐγώ,
ΕΤ. τί προστετάχθαι δρᾶν; τὸ γὰρ σθένος βραχύ.
ΚΡ. λόχων ἀνάσσειν ἑπτὰ προσκεῖσθαι πύλαις.
ΕΤ. τί δῆτα δρῶμεν; ἀπορίαν γὰρ οὐ μενῶ.
ΚΡ. ἕπτ' ἄνδρας αὐτοῖς καὶ σὺ πρὸς πύλαις ἑλοῦ.
ΕΤ. λόχων ἀνάσσειν ἢ μονοστόλου δορός;
ΚΡ. λόχων, προκρίνας οἵπερ ἀλκιμώτατοι.
ΕΤ. ξυνῆκ'· ἀμύνειν τειχέων προσαμβάσεις.
ΚΡ. καὶ ξυστρατήγους γ'· εἷς δ' ἀνὴρ οὐ πάνθ' ὁρᾷ.
ΕΤ. θάρσει προκρίνας ἢ φρενῶν εὐβουλίᾳ;

---

723 εἰσάπαξ *BES* 724 εἰ] ἦ *L* | προβάλοιμεν *A*, προσβάλοιμ' ἂν *b*, προσβάλλοιμεν *aL* 725—731 sic disponendi videntur: 727. 726. 725. 730. 731. 728. 729. 725 εἴπερ γε *B* | σφαλῆις *A*, σφαλῆς *b* | δεύρω *A* | σωθείσῃ *G* | πόλιν *A* πάλιν *A*² 726 ἶσον *A* | τολμῶσι libri 727 ἐφρόνης *B* | 728 προσβάλλω *a* 732 καθ' ἱππεύσαιμεν *AL*, καθ' ἱπεύσαιμεν *B* | ἀργεῖον *E* 733 πέφαρκται Dindorf | ἅρμασι *BS* 734 πολεμίοισι δῶ *B* et ut vid. *a*, πολεμίοισιν δῶ *L*, πολεμίοις δώσω *AEG* 735 μὴ] οὐ *G* | δεῖτα *A* δῆτα *A*² 736 γίνεται *ABG* fort. προφερτέρα 737 αὐτοῖς om. *L* | ἤκουσ' *A* 738 προστέτακται *L* et ex προστετάχθαι fecit m. recentissima in *B* 739 λόχων ἀνάσσειν] λόχων ἄνακτας Matthiae, fort. λοχαγετοῦντας 740 μένω *B* corr. *b* 741 πύλας *B* 742 δουρὸς *a* 743 λόγχων *E* 744 ξυνὴκ' *A* | προσάμβάσεις *AL*, πρὸς ἀμβάσεις *a*² *E*, πρ̀ο ἀμβάσεις *B* | versum post 745 collocat *E* 745 ξυνστρατήγους *ABEG* | γ' om. libri, add. Kirchhoff | δ' delet F.Polle 746 θάρσει] γρ. καὶ θράσει superscr. *A*

ΚΡ. ἀμφότερον· ἀπολειφθὲν γὰρ οὐδὲν θάτερον.
ΕΤ. ἔσται τάδ'· ἐλθὼν ἑπτάπυργον ἐς πόλιν
τάξω λοχαγοὺς πρὸς πύλαισιν, ὡς λέγεις,
ἴσους ἴσοισι πολεμίοισιν ἀντιθείς.
ὄνομα δ' ἑκάστου διατριβὴν πολλὴν ἔχει,
ἐχθρῶν ὑπ' αὐτοῖς τείχεσιν καθημένων.
ἀλλ' εἶμ', ὅπως ἂν μὴ καταργῶμεν χέρα.
καί μοι γένοιτ' ἀδελφὸν ἀντήρη λαβεῖν
καὶ ξυσταθέντα διὰ μάχης ἑλεῖν δορὶ
[κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν].
γάμους δ' ἀδελφῆς Ἀντιγόνης παιδός τε σοῦ
Αἵμονος, ἐάν τι τῆς τύχης ἐγὼ σφαλῶ,
σοὶ χρὴ μέλεσθαι· τὴν δόσιν δ' ἐχέγγυον
τὴν πρόσθε ποιῶ νῦν ἐπ' ἐξόδοις ἐμαῖς.
μητρὸς δ' ἀδελφὸς εἶ· τί δεῖ μακρηγορεῖν;
τρέφ' ἀξίως νιν σοῦ τε τήν τ' ἐμὴν χάριν.
πατὴρ δ' ἐς αὑτὸν ἀμαθίαν ὀφλισκάνει,
ὄψιν τυφλώσας· οὐκ ἄγαν σφ' ἐπήνεσα·
ἡμᾶς τ' ἀραῖσιν, ἢν τύχῃ, κατακτενεῖ.
ἓν δ' ἐστὶν ἡμῖν ἀργόν, εἴ τι θέσφατον
οἰωνόμαντις Τειρεσίας ἔχει φράσαι,
τοῦδ' ἐκπυθέσθαι ταῦτ'· ἐγὼ δὲ παῖδα σὸν
Μενοικέα, σοῦ πατρὸς αὐτεπώνυμον,

---

747 fort. ἀμφότερ'· ἓν οὐδὲν θατέρου (θατέρου Reiske) λελειμμένον, cfr. Cram. Anecd. Par. IV p. 344, 1 θάρσει προκρίνας τῶν φρενῶν εὐβουλίαν; ἐν γὰρ οὐδὲν θάτερον λελειμμένον 748 ἐλθὼν (δ' addit *B*) ἑπτάπυργον (ἐπτάπυργον *A*) ἐς (εἰς *G*) πόλιν *AaBS*, ἑπτάπυλον δ' ἐς πόλιν μολὼν *E* | ἐς πόλιν] fort. ἔξοδον, cfr. Aesch. Sept. 271 ἑπτατειχεῖς ἐξόδους 750 ἀντιτιθείς *A* 751—753 delet Trendelenburg 751 ὄνομα] μνεία Stadtmueller | διατριβὴν πολλὴν ἔχει *A* διατριβὴν πολλὴ λέγειν *A*², διατριβὴ πολλὴ λέγειν *r* 752 τείχεσι *ABES* 755 ξυνσταθέντα *G* | ἑλεῖν] γρ. καὶ ἐλθεῖν superscr. *A*, ἐλθεῖν cui superscr. γρ. μάχης ἔχειν δόρυ *a* 756 θ'] δ' *E* | ἐμήν] ἐμοί et in marg. γρ. φίλην *a* | versum delevit Valckenaer 757 δ'] τ' *AE* 759 μελέσθαι *L* | δ'] τ' *Aa*, om. *E* 760 πρόσθεν *L* | νῦν om. *L* | ἐπ' om. *A*. add. *A*² 761 δ'] τ' *E* | εἶ σύ. τί *E* | δεῖ *L*, sed εῖ ex η corr. *L* vel *l* 762 τ'] δ' *AB* 763 αυτὸν *A*, αὑτὸν *BE* corr. *b* | fort. αὑτόν τ' | ἀμαθίαν] ἁμαρτίαν, superscr. γρ. ἀμαθίαν *A* 765 τ' *E*, δ' *r* | κατακτενεῖ *B* et ut vid. *a*, κατακτανεῖ *r* 766 ἓν δ' ἡμῖν ἀργόν ἐστιν *AE* 767 ἔχει (ει in ras.) *A* 768 δὲ] δὴ *G* 769 αυτεπώνυμον *A* ἀντεπώνυμον *A*², αὖτ' ἐπώνυμον *aB*

λαβόντα πέμψω δεῦρο Τειρεσίαν, Κρέον·
σοὶ μὲν γὰρ ἡδὺς ἐς λόγους ἀφίξεται,
ἐγὼ δὲ τέχνην μαντικὴν ἐμεμψάμην
ἤδη πρὸς αὐτόν, ὥστε μοι μομφὰς ἔχειν.
πόλει δὲ καὶ σοὶ ταῦτ' ἐπισκήπτω, Κρέον·
ἤνπερ κρατήσῃ τἀμά, Πολυνείκους νέκυν
μήποτε ταφῆναι τῇδε Θηβαίᾳ χθονί,
θνῄσκειν δὲ τὸν θάψαντα, κἂν φίλων τις ᾖ.
σοὶ μὲν τάδ' εἶπον· προσπόλοις δ' ἐμοῖς λέγω·
ἐκφέρετε τεύχη πάνοπλά τ' ἀμφιβλήματα,
ὡς εἰς ἀγῶνα τὸν προκείμενον δορὸς
ὁρμώμεθ' ἤδη ξὺν δίκῃ νικηφόρῳ.
τῇ δ' εὐλαβείᾳ, χρησιμωτάτῃ θεῶν,
προσευχόμεσθα τήνδε διασῴζειν πόλιν.

ΧΟ. ὦ πολύμοχθος Ἄρης, τί ποθ' αἵματι stroph.
καὶ θανάτῳ κατέχῃ Βρομίου παράμουσος ἑορταῖς;
οὐκ ἐπὶ καλλιχόροις στεφάνοισι νεάνιδος ὥρας
βόστρυχον ἀμπετάσας λωτοῦ κατὰ πνεύματα μέλπῃ
μοῦσαν, ἐν ᾇ χάριτες χοροποιοί,
ἀλλὰ σὺν ὁπλοφόροις στρατὸν Ἀργείων ἐπιπνεύσας
αἵματι Θήβαις
κῶμον ἀναυλότατον προχορεύεις.
οὐδ' ὑπὸ θυρσομανεῖ νεβρίδων μέτα δινεύεις
ἅρμασι καὶ ψαλίοις τετραβάμονα μώνυχα πῶλον,

---

771 ἐς hic *AE* 774—777 suspecti 774 σὺ *A* 775 πολυνείκης *B* η in ου mut. *b* 776 fort. ταφῆναι 'ν | θηβαία scripto ων super α *E* 777 κἂν ᾖ τις φίλων *L* 778 μὲν om. *L* | εἶπον] αὐδῶ *A* | προσπόλεις *B* ει in οι corr. *b* 781 ὁρμώμεθ' *L* | σὺν *AL* 783 προσευχόμεθα *A*, προσευξόμεσθα *aEL*, προσευξόμεθα *BG* | διασώζειν *AG*, διασῶσαι *aBEL* 784 αἵματι *A* 786 καλλιχωρίοις *E*, καλλιχώροις *L* | ὥρας ex schol. ἔνιοι δὲ νεάνιδος ὥρας] ὥραις libri (ὤιραις *A*), ἥβας Schwerdt, cfr. Ion. 477 787 λωτοῦ *B* ο super ω scr. *b*, λοτοῦ *G* | μέλπῃ] πέμπηι, superscr. γρ. μέλπη *A* 788 χοροποιοί primo ο ex α correcto et superscr. γρ. μελοποιοί *A*, χαροποιοί *ES* et superscr. γρ. καὶ μελοποιοί *a*, μελοποιοί *B* 789 sq. fort. ὁπλοφόρῳ . . σάγματι vel potius ὁπλοφόροις . . σάγμασι 790 θήβαις *b*, θήβας *Br*, cfr. schol. ἀλλὰ σὺν ὁπλοφόροις Θήβαις κτἑ. 791 προχορεύεις *L* σ post προ add. *l* 792 νευρίδων *BEG* | δινεῖς Geel 793 super ἅρμασι scr. λείπει τὸ ἀλλά *A*, ἀλλ' ἅρματι *G*, fort. ἅρματα | ψαλίοις *b*, ψαλίων

Ἰσμηνοῦ τ' ἐπὶ χεύμασι βαίνων
ἱππείαισι θοάζεις, Ἀργείοις ἐπιπνεύσας
Σπαρτῶν γένναν,
ἀσπιδοφέρμονα θίασον ἔνοπλον,
ἀντίπαλον κατὰ λάινα τείχεα
χαλκῷ κοσμήσας.
ἦ δεινά τις Ἔρις θεός, ἃ τάδε
μήσατο πήματα γᾶς βασιλεῦσιν,
Λαβδακίδαις πολυμόχθοις.

ὦ ζαθέων πετάλων πολυθηρότα- antistr.
τον νάπος, Ἀρτέμιδος χιονοτρόφον ὄμμα Κιθαιρών,
μήποτε τὸν θανάτῳ προτεθέντα, λόχευμ' Ἰοκάστας,
ὤφελες Οἰδιπόδαν θρέψαι, βρέφος ἔκβολον οἴκων,
χρυσοδέτοις περόναις ἐπίσαμον·
μηδὲ τὸ παρθένιον πτερόν, οὔρειον τέρας, ἐλθεῖν
πένθεα γαίας
Σφιγγὸς ἀμουσοτάταισι σὺν ᾠδαῖς,
ἅ ποτε Καδμογενῆ τετραβάμοσι χαλαῖσι
τείχεσι χριμπτομένα φέρεν αἰθέρος εἰς ἄβατον φῶς
γένναν, ὃν ὁ κατὰ χθονὸς Ἅιδας
Καδμείοις ἐπιπέμπει· δυσδαίμων δ' ἔρις ἄλλα
θάλλει παίδων
Οἰδιπόδα κατὰ δώματα καὶ πόλιν.

Br (ψαλλίων *E*) | τετραβάμονα] Hartung, τετραβάμοσι libri | μώνυχα πῶλον *bG*, μώνυχα πώλων *AaL*, μωνύχων πώλων *BE* 794 sq. ἱππείαις *aBEL* | ἀργεῖοις *A* ι ante σ in υ mut. A^2 dein alia m. ι rescr. et ˜ in ´ mut., ἀργείοις etiam schol., ἀργείους *r* | γένναν *A* et schol., γέννᾳ A^2*abE*, γέννα *BS* 796 ἀσπιδοφέρμον' ἄθυρσον ἐνόπλιον Eichler 797 λαίνεα *G* 799 πήματα om. *A* | γᾶς α ex η corr. *G* | βασιλεῦσι *ABES* 800 λαμβδακίδεσ *A* 801 πολυδενδρότατον Th. Kock 802 χιονότροφον *ES* 803 μήποτε μήποτε *AG* | ἰοκάστας *A*, ἰοκάστης *BL* 804 οἰδιπόδαν (οἰδίπόδαν *a*) θρέψαι *aE*, οἰδιπόδ' ἀνθρέψαι *B*, οἰδιπόδα θρέψαι *AS* 805 χρυσοδέταις *G* | ἐπίσημον *bG*
806 sq. παρθένειον *L* | οὐρεια γρ. οὔρειον *A* | γαίᾳ Nauck 807 Σφίγγ' ἀπομουσοτάταισι Nauck | ἀμουσοτάταις *A* | ἀμουσοτάταισιν ὠδαῖς *E*
808 τετραβάμοσι *L*, sed ο ex α ut vid. corr. *l* | χαλαῖσι γρ. χηλαῖσι *A*, χαλαῖσι scripto η super prius α *B*, χηλαῖσι *ES*, χηλαῖς Aldina, χαλαῖς Hermann 810 ὃν] τὰν Triclinius (cod. Kingianus) | ἀΐδας libri
811 καδμίοις *B*, καδμεῖος *E*, καδμείοισιν *L* | δ' om. *G* | ἄλλῳ *B*, α super ῳ scr. *b*

οὐ γὰρ ὃ μὴ καλὸν οὔποτ' ἔφυ καλόν,
οὐδ' οἱ μὴ νόμιμοι
παῖδες ματρὶ λόχευμα, μίασμα πατρός·
ἢ δὲ συναίμονος ἐς λέχος ἦλθεν.

ἔτεκες, ὦ γᾶ, ἔτεκές ποτε,
βάρβαρον ὡς ἀκοὰν ἐδάην ἐδάην ποτ' ἐν οἴκοις,
τὰν ἀπὸ θηροτρόφου φοινικολόφοιο δράκοντος
γένναν ὀδοντοφυῆ, Θήβαις κάλλιστον ὄνειδος·
Ἁρμονίας δέ ποτ' εἰς ὑμεναίους
ἤλυθον οὐρανίδαι, φόρμιγγί τε τείχεα Θήβας
τᾶς Ἀμφιονίας τε λύρας ὕπο πύργος ἀνέστα
διδύμων ποταμῶν πόρον ἀμφὶ μέσον
Δίρκας, χλοεροτρόφον ἃ πεδίον
πρόπαρ Ἰσμηνοῦ καταδεύει·
Ἰώ θ', ἁ κερόεσσα προμάτωρ,
Καδμείων βασιλῆας ἐγείνατο,
μυριάδας δ' ἀγαθῶν ἑτέροις ἑτέ-
ρας μεταμειβομένα πόλις ἅδ' ἐπ' ἄ-
κροις ἕστακεν Ἀρη-
οις στεφάνοισιν.

ΤΕΙΡΕΣΙΑΣ.

ἡγοῦ πάροιθε, θύγατερ· ὡς τυφλῷ ποδὶ
ὀφθαλμὸς εἶ σύ, ναυβάταισιν ἄστρον ὥς·

---

815 *μὴ* om. *L* add. *l* | *νόμιμον* Markland 815 sq. fort. *οὐδ' οἶμαι νόμιμον παιδὸς ματρὶ λόχευμα μιαιφόνον* 816 *παίδες A* 817 *συναίμονος AaB*, *γρ. σύναιμον* in marg. *A*, *σύναιμον ES* | post 817 aliquid excidit (= 800), nisi stropha interpolatione laborat 818 *γᾶι A* 820 *θηροτρόφον B ου* super *ον* scr. *b* 822 *ἐς L* 824 fort. *Ἀμφιονίου* | *πύργος ἀνέστα L* et ut vid. *a*, *πῦργος ἀνέστα* ∗ *A*, *πύργος ἀνέσταν BG*, *πύργοι ἀνέσταν E* 825 *πόρον B ος* super *ον* scr. *b* 826 *Δίρκα χλοεροτρόφον ἁ̃* Schenkl | *χλοερότροφον AG* | *ἃ πεδίον AG*, *ἀμπεδίον* A^2*BL*, sed *ἀμπε* in ras. scr. *l* 827 *ἃ πρόπαρ B* | *καταρδεύει* (*ταρ* in ras.) *a* 828 *ἰώ L*, sed *ώ* rescr. *l* | *θ'*] fort. *δ'* | *ἀ AL ἁ* A^2 | *προμάτων G* 830 *δ'* om. *L*, fort. *τ'* | *ἑτέρας ἑτέροις AG*, *ἑτέρας ἑτέραις F* 831 *μεταμειβονένα L*, sed *μετ'* super versum add. *l* 832 sq. *ἕστακεν*] Hermann, *ἑστὰκ A*, *ἑστὰκ'* A^2, *ἕστακ' B* et mut. in *ἕστακ' E*, *ἕστηκ'* a^2*G ἕστ' aL* | *Ἀρῄοις*] Brunck, *ἀρηΐοις* (*ἀρηίοις*) libri | *στεφάνοις B*, *στεφάναισι* Musgrave (quod antea requirit *ἄκραις*) 834 *προπάροιθε B* 835 *ναυβάταισιν aE*, *ναβάταισιν B*, *ναύταισιν AG*, *ναυτίλοισιν L*, sed *τίλοισιν* in ras. scr. *l*

δεῦρ' ἐς τὸ λευρὸν πέδον ἴχνος τιθεῖσ' ἐμόν,
πρόβαινε, μὴ σφαλῶμεν· ἀσθενὴς πατήρ·
κλήρους τέ μοι φύλασσε παρθένῳ χερί,
οὓς ἔλαβον οἰωνίσματ' ὀρνίθων μαθὼν
θάκοισιν ἐν ἱεροῖσιν, οὗ μαντεύομαι.
τέκνον Μενοικεῦ, παῖ Κρέοντος, εἰπέ μοι
πόση τις ἡ 'πίλοιπος ἄστεως ὁδὸς
πρὸς πατέρα τὸν σόν· ὡς ἐμὸν κάμνει γόνυ,
πυκνὴν δὲ βαίνων ἤλυσιν μόλις περῶ.
ΚΡ. θάρσει· πέλας γάρ, Τειρεσία, φίλοισι σοῖς
ἐξορμίσαι σὸν πόδα· λαβοῦ δ' αὐτοῦ, τέκνον·
ὡς πᾶσ' ἀπήνη πούς τε πρεσβύτου φιλεῖ
χειρὸς θυραίας ἀναμένειν κουφίσματα.
ΤΕΙ. εἶεν, πάρεσμεν· τί με καλεῖς σπουδῇ, Κρέον;
ΚΡ. οὔπω λελήσμεθ'· ἀλλὰ σύλλεξαι σθένος
καὶ πνεῦμ' ἄθροισον, αἶπος ἐκβαλὼν ὁδοῦ.
ΤΕΙ. κόπῳ παρεῖμαι γοῦν Ἐρεχθειδῶν ἄπο
δεῦρ' ἐκκομισθεὶς τῆς πάροιθεν ἡμέρας·
κἀκεῖ γὰρ ἦν τις πόλεμος Εὐμόλπου δορός,
οὗ καλλινίκους Κεκροπίδας ἔθηκ' ἐγώ·
καὶ τόνδε χρυσοῦν στέφανον, ὡς ὁρᾷς, ἔχω
λαβὼν ἀπαρχὰς πολεμίων σκυλευμάτων.
ΚΡ. οἰωνὸν ἐθέμην καλλίνικα σὰ στέφη·
ἐν γὰρ κλύδωνι κείμεθ', ὥσπερ οἶσθα σύ,
δορὸς Δαναϊδῶν, καὶ μέγας Θήβαις ἀγών.

---

836 κευρὸν G | πέδον] Barnes, πεδίον libri | ἴχν^ος τιθεῖσ' L, sed ος superscr. et τι in ras. scr. l 837 πατήρ om. L add. l 838 τ' ἐμοὶ aBES 839 μαθών] λαβών B γρ. μαθών superscr. b 842 πόση] πρόσω L | ἠπίλοιπος AB ἡ'πίλοιπος b | ἄστεος a ω super o scr. a[3], ἄστεος r, sed o ex ω fecit G 843 τὸν om. L | κάμνοι A et mut. in κάμνει G 844 ἤλυσιν B ἤλυσιν b 846 ἐξορμίσαι AabG (ί in ή mut. A[2]), ἐξόρμισαι BE, ἐξώρμισαι L (cfr. schol. ἀντὶ τοῦ ἐξώρμισαι. τὸ ō ἀντὶ τοῦ ω̄), ἔσθ' ὁρμίσαι Kvičala 847 πᾶσ' (πάσ' A) ἀπήνη (ἀπήνη L)] παῖς ἔτ' ἀπτὴν Hermann 849 Tiresiae notam om. E | ἐν σπουδῇ h, σπουδῇ om. EL 850 σύλλεξον G 851 αἶπος B (ἄ super αἶ scr. b), ἆπος a et mut. in αἶπος A, κάπος E, κἄπος L, κᾶπος G, cfr. schol. ἄλλοι δὲ ἆπος (αἶπος Kirchhoff) τὸ ὕψος 852 πάρείμι et in marg. γρ. πάρειμαι A, πάρειμι et in marg. γρ. κόπω παρεῖμαι a, πάρειμι r | γ' οὖν γρ. υ A, γυῖ' Valckenaer | ἐρεχθιδῶν AB et mut. in ἐρεχθειδῶν G 859 ἐν κλύδωνι γὰρ G

βασιλεὺς μὲν οὖν βέβηκε κοσμηθεὶς ὅπλοις
ἤδη πρὸς ἀλκὴν Ἐτεοκλῆς Μυκηνίδα·
ἐμοὶ δ' ἐπέσταλκ' ἐκμαθεῖν σέθεν πάρα,
τί δρῶντες ἂν μάλιστα σώσαιμεν πόλιν.

ΤΕΙ. Ἐτεοκλέους μὲν εἵνεκ' ἂν κλῄσας στόμα
χρησμοὺς ἐπέσχον, σοὶ δ', ἐπεὶ χρῄζεις μαθεῖν,
λέξω. νοσεῖ γὰρ ἥδε γῆ πάλαι, Κρέον,
ἐξ οὗ 'τεκνώθη Λάιος βίᾳ θεῶν
πόσιν τ' ἔφυσε μητρὶ μέλεον Οἰδίπουν·
αἵ θ' αἱματωποὶ δεργμάτων διαφθορὰι
θεῶν σόφισμα κἀπίδειξις Ἑλλάδι.
ἃ συγκαλύψαι παῖδες Οἰδίπου χρόνῳ
χρῄζοντες, ὡς δὴ θεοὺς ὑπεκδραμούμενοι,
ἥμαρτον ἀμαθῶς· οὔτε γὰρ γέρα πατρὶ
οὔτ' ἔξοδον διδόντες ἄνδρα δυστυχῆ
ἐξηγρίωσαν· ἐκ δ' ἔπνευσ' αὐτοῖς ἀρὰς
δεινὰς νοσῶν τε καὶ πρὸς ἠτιμασμένος.
ἁγὼ τί οὐ δρῶν, ποῖα δ' οὐ λέγων ἔπη
ἐς ἔχθος ἦλθον παισὶ τοῖσιν Οἰδίπου.
ἐγγὺς δὲ θάνατος αὐτόχειρ αὐτοῖς, Κρέον·
πολλοὶ δὲ νεκροὶ περὶ νεκροῖς πεπτωκότες
Ἀργεῖα καὶ Καδμεῖα μίξαντες βέλη
πικροὺς γόους δώσουσι Θηβαίᾳ χθονί.
σύ τ' ὦ τάλαινα συγκατασκάψῃ πόλι,

---

862 ἐτεοκλὴς *A* 864 κάλιστα scripto μ super κ et λ infra λ *B*, κάλλιστα *E*, μάλιστα *L* in κάλλιστα mut. *l* 865 οὕνεκ' (vel οὕνεκ') libri (οὕνεκα, omisso ἂν, *a*) | κλείσας *G*, κληΐσας *r* 866 σοὶ] σὺ *BES* 867 πάλαι γῆ *L* 868 τεκνώθη libri 869 τ'] δ' *L* 870 ἔνθ' *B* αἵ super ἔν scr. *b*, αἵδ' *G*, fort. αἱ δ', nisi recte ante hunc v. lacunam statuit Valckenaer | αἱματοποιοὶ *B* γρ. αἱματωποὶ superscr. *b*, post αἱματωποὶ quinque fere literae erasae in *A* 871 θεῶν σωφρόνισμα Herwerden | κἀπόδειξις *AaG* 872 συγκαλῦψαι *AB* | χρόνῳ] σκότῳ Wakefield 874 γέρας *AaG* 875 ἄνδρα, scripto ϊ super *a*, *A* 877 προσητιμασμένος *aB* (᾿ super ρο scr. *b*) 878 τί οὐ δρῶν, ποῖα (vel τί δρῶν οὐ, ποῖα) in rec. libris, τί δρῶν, ὁποῖα *O* (μὴ δρῶν super τί δρῶν scr. *b*) *L*, τί δρῶν, ποῖα *G*, cfr. schol. τί οὐ δρῶν: γράφεται δὲ κἀγὼ τί μὴ δρῶν, ποῖα δ' οὐ λέγων ἔπη | post hunc v. lacunam unius versus statuit Kirchhoff 879 schol. γράφεται καὶ εἰς ὄχλον 881 περὶ *a* παρὰ a^3 | νεκροὺς *G* 882 ἀργεῖα mut. in ἀργεία et καδμεία *A* | βέλη] μέλη Earle 884 τ'] δ' *B* | συγκατα-

εἰ μὴ λόγοις τις τοῖς ἐμοῖσι πείσεται.
ἐκεῖνο μὲν γὰρ πρῶτον ἦν, τῶν Οἰδίπου
μηδένα πολίτην μηδ' ἄνακτ' εἶναι χθονός,
ὡς δαιμονῶντας κἀνατρέψοντας πόλιν.
ἐπεὶ δὲ κρεῖσσον τὸ κακόν ἐστι τἀγαθοῦ,
μί' ἔστιν ἄλλη μηχανὴ σωτηρίας.
ἀλλ' οὐ γὰρ εἰπεῖν οὔτ' ἐμοὶ τόδ' ἀσφαλὲς
πικρόν τε τοῖσι τὴν τύχην κεκτημένοις
πόλει παρασχεῖν φάρμακον σωτηρίας.
ἄπειμι, χαίρεθ'· εἷς γὰρ ὢν πολλῶν μέτα
τὸ μέλλον, εἰ χρή, πείσομαι· τί γὰρ πάθω;
ΚΡ. ἐπίσχες αὐτοῦ, πρέσβυ. ΤΕΙ. μὴ 'πιλαμβάνου.
ΚΡ. μεῖνον, τί φεύγεις; ΤΕΙ. ἡ τύχη σ', ἀλλ' οὐκ ἐγώ.
ΚΡ. φράσον πολίταις καὶ πόλει σωτηρίαν.
ΤΕΙ. βούλει σὺ μέντοι κοὐχὶ βουλήσῃ τάχα.
ΚΡ. καὶ πῶς πατρῴαν γαῖαν οὐ σῶσαι θέλω;
ΤΕΙ. θέλεις ἀκοῦσαι δῆτα καὶ σπουδὴν ἔχεις;
ΚΡ. ἐς γὰρ τί μᾶλλον δεῖ προθυμίαν ἔχειν;
ΤΕΙ. κλύοις ἂν ἤδη τῶν ἐμῶν θεσπισμάτων.
πρῶτον δ' ἐκεῖνο βούλομαι σαφῶς μαθεῖν,
ποῦ 'στιν Μενοικεύς, ὅς με δεῦρ' ἐπήγαγεν;
ΚΡ. ὅδ' οὐ μακρὰν ἄπεστι, πλησίον δὲ σοῦ.
ΤΕΙ. ἀπελθέτω νυν θεσφάτων ἐμῶν ἑκάς.
ΚΡ. ἐμὸς πεφυκὼς παῖς ἃ δεῖ σιγήσεται.
ΤΕΙ. βούλει παρόντος δῆτά σοι τούτου φράσω;

σκάψῃ] Herwerden, συγκατασκάπτῃ libri | πόλι, superscr. ις, *E*, πόλις *L*, πόλι *r* (πόλϊ *A*) 885 λόγοις τις τοῖς ἐμοῖσι] Porson, λόγοις τοῖς ἐμοῖς τίς *A*, λόγοισι τοῖς ἐμοῖς τίς (τις *B*) *r* 888 κἀνατρέψοντας *G*, κἀνατρέψαντας *a*, κἀναστρέψοντας *AL*, κἀναστρέψαντας *B*, κἀναστρεψάντας *E* 889 ἐστὶ τὸ κακὸν *G* | ἐστιν *A* ἐστι A^2 892 τε] δὲ *L* 893 delet J.J.Hartman 894 χαῖρεθ' *A* | γὰρ om. *E* 895 πεί**σομαι *L*

896 αὐτοῦ *h* | πρεσβύτα *E* 897 κρ. ex τει corr. (ρ superscr.) *E* | φεύγεις μ' in rec. libris | σ'] δ' *B* 899 τάδε *EL* τάχα *l* 900 θέλων *E*, fort. ποθῶ 902 μ' ἄλλο *EB* ν super ο scr. *b*, cfr. schol. εἰς ποῖον γὰρ ἄλλο 903 sq. delet Gu.Zipperer 904 σάφα *L* 905 ποὔστι vel ποῦ'στι *BEG* | με om. *E* | ἀπήγαγεν *BL* ἐ super ἀ scr. *b*, ἤγαγεν *EG* 906 ὧδ' οὐ *a* | ἄπεστιν *L* | δέ που *B* (σου superscr. *b*) et corr. in δέ σου *a* 907 νυν] Porson, δὴ *BE* (νῦν superscr. *b*), νῦν *r* 909 δῆτα τοῦτό σοι *a* | τοῦτο *B* (mut. in τούτου *b*) *EG* | φράσσω *A*

ΚΡ. κλύων γὰρ ἂν τέρποιτο τῆς σωτηρίας.
ΤΕΙ. ἄκουε δή νυν θεσφάτων ἐμῶν ὁδόν
[ἃ δρῶντες ἂν μάλιστα σώσαιμεν πόλιν].
σφάξαι Μενοικέα τόνδε δεῖ σ᾽ ὑπὲρ πάτρας,
σὸν παῖδ᾽, ἐπειδὴ τὴν τύχην αὐτὸς καλεῖς.
ΚΡ. τί φής; τίν᾽ εἶπας τόνδε μῦθον, ὦ γέρον;
ΤΕΙ. ἅπερ πέφηνε, ταῦτα κἀνάγκη σ᾽ ὁρᾶν.
ΚΡ. ὦ πολλὰ λέξας ἐν βραχεῖ λόγῳ κακά.
ΤΕΙ. σοί γ᾽, ἀλλὰ πατρίδι μεγάλα καὶ σωτήρια.
ΚΡ. οὐκ ἔκλυον, οὐκ ἤκουσα· χαιρέτω πόλις.
ΤΕΙ. ἀνὴρ ὅδ᾽ οὐκέθ᾽ αὑτός· ἐκνεύει πάλιν.
ΚΡ. χαίρων ἴθ᾽· οὐ γὰρ σῶν με δεῖ μαντευμάτων.
ΤΕΙ. ἀπόλωλεν ἡ ἀλήθει᾽, ἐπεὶ σὺ δυστυχεῖς;
ΚΡ. ὦ πρός σε γονάτων καὶ γερασμίου τριχός,
ΤΕΙ. τί προσπίτνεις με; δυσφύλακτ᾽ αἴνει κακά.
ΚΡ. σίγα· πόλει δὲ τούσδε μὴ λέξῃς λόγους.
ΤΕΙ. ἀδικεῖν κελεύεις μ᾽· οὐ σιωπήσαιμεν ἄν.
ΚΡ. τί δή με δράσεις; παῖδά μου κατακτενεῖς;
ΤΕΙ. ἄλλοις μελήσει ταῦτ᾽, ἐμοὶ δ᾽ εἰρήσεται.
ΚΡ. ἐκ τοῦ δ᾽ ἐμοὶ τόδ᾽ ἦλθε καὶ τέκνῳ κακόν;
ΤΕΙ. ὀρθῶς μ᾽ ἐρωτᾷς κεἰς ἀγῶν᾽ ἔρχῃ λόγων.
δεῖ τόνδε θαλάμαις, οὗ δράκων ὁ γηγενὴς
ἐγένετο Δίρκης ναμάτων ἐπίσκοπος,
σφαγέντα φόνιον αἷμα γῇ δοῦναι χοὰς
Κάδμου, παλαιῶν Ἄρεος ἐκ μηνιμάτων,

---

910 *κλοίων A* | fort. *τῇ σωτηρίᾳ* 911 et 914 delet Nauck 911 *δή νυν*] Barnes, *δὴ νῦν* libri | *ὁδούς G* 912 *μάλιστα σώσαιμεν πόλιν καδμείων A, σώσαιτε καδμείων πόλιν r* | versum delevit Kirchhoff, cfr. 864 913 *τόν δε*] *τόνB δε* super versum add. *b* 915 *φῆις A* | schol. *γράφεται τί φής; ἐμὸν παῖδ᾽ ἕνεκα γῆς σφάξαι θέλεις;* 916 *πέφηνε*] Camper, *πέφυκε* libri | *ταῦτ᾽ ἀνάγκη L, ταῦτα κ᾽ ἀνάγκη l* | *σ᾽ ὁρᾶν*] scripsi, *σε δρᾶν* libri 917 *λόγῳ*] Nauck, *χρόνῳ* libri 918 *γ᾽*] *τ᾽ E* | *μεγάλα*] *κεδνὰ* Nauck | *σωτήρια*] *σρία AB* 920 *ἀνὴρ*] Hermann, *ἀνὴρ* libri | *οὐκέθ᾽ αὑτός*] Valckenaer, *οὐκέτ᾽ αὐτός* libri 921 *ἴθι G* | *μαντευμάτων*] *θεσπισμάτων G* | 922 *ἀπώλωλεν A* et mut. in *ἀπόλωλεν E* | *ἀλήθεια B* (*ἀλήθει᾽ b*), *᾽λήθει᾽ L, ἀληθί᾽ A* 924 *προσπιτνεῖς* libri | *αἴνει*] Elmsley, *αἰτῇ OS* 925 *πολίταις τοῖσδε G* 926 *σιωπῆσαιμεν A* 927 fort. *τί δῆτα δράσεις;* | *παίδα A* | *κατακτανεῖς L, κατακτενοῖς B οἶ* in *εἶ* mut. *b* 931 *θαλάμοις L* 934 *Κάδμῳ παλαιῶν* Valckenaer | *ἄρεως A*

ὃς γηγενεῖ δράκοντι τιμωρεῖ φόνον.
καὶ ταῦτα δρῶντες σύμμαχον κτήσεσθ' Ἄρη.
χθὼν δ' ἀντὶ καρποῦ καρπὸν ἀντί θ' αἵματος
αἷμ' ἢν λάβῃ βρότειον, ἕξετ' εὐμενῆ
γῆν, ἥ ποθ' ἡμῖν χρυσοπήληκα στάχυν
σπαρτῶν ἀνῆκεν· ἐκ γένους δὲ δεῖ θανεῖν
τοῦδ' ὃς δράκοντος γέννος ἐκπέφυκε παῖς.
σὺ δ' ἐνθάδ' ἡμῖν λοιπὸς εἶ σπαρτῶν γένους
ἀκέραιος, ἔκ τε μητρὸς ἀρσένων τ' ἄπο,
οἵ σοί τε παῖδες. Αἵμονος μὲν οὖν γάμοι
σφαγὰς ἀπείργουσ'. οὐ γάρ ἐστιν ἤθεος·
[κεἰ μὴ γὰρ εὐνῆς ἥψατ', ἀλλ' ἔχει λέχος·]
οὗτος δὲ πῶλος τῆδ' ἀνειμένος πόλει
θανὼν πατρῴαν γαῖαν ἐκσώσειεν ἄν.
πικρὸν δ' Ἀδράστῳ νόστον Ἀργείοισί τε
θήσει, μέλαιναν κῆρ' ἐπ' ὄμμασιν βαλών,
κλεινάς τε Θήβας. τοῖνδ' ἑλοῦ δυοῖν πότμοιν
τὸν ἕτερον· ἢ γὰρ παῖδα σῶσον ἢ πόλιν.
τὰ μὲν παρ' ἡμῶν πάντ' ἔχεις· ἡγοῦ, τέκνον,
πρὸς οἶκον. ὅστις δ' ἐμπύρῳ χρῆται τέχνῃ,
μάταιος· ἢν μὲν ἐχθρὰ σημήνας τύχῃ,
πικρὸς καθέστηχ' οἷς ἂν οἰωνοσκοπῇ·
ψευδῆ δ' ὑπ' οἴκτου τοῖσι χρωμένοις λέγων
ἀδικεῖ τὰ τῶν θεῶν. Φοῖβον ἀνθρώποις μόνον
χρῆν θεσπιῳδεῖν, ὃς δέδοικεν οὐδένα.

ΧΟ. Κρέον, τί σιγᾷς γῆρυν ἄφθογγον σχάσας;
κἀμοὶ γὰρ οὐδὲν ἧσσον ἔκπληξις πάρα.

ΚΡ. τί δ' ἄν τις εἴποι; δῆλον οἵ γ' ἐμοὶ λόγοι.
ἐγὼ γὰρ οὔποτ' ἐς τόδ' εἶμι συμφορᾶς,

---

935 τιμωρεῖν *E* 936 κτήσασθ' *BE* | ἄρην *BS* 937 χθῶν *A* 938 ἕξετ' *A* et corr. in ἕξετ' *E* 939 ὑμῖν *G* | χρυσοπήλικα *A* 940 sq. ἀνῆκε *A* | ἐκ λόγου δὲ C.Busche, fort. ἐκ δὲ τοῦδε δεῖ θανεῖν ἄνδρ' ὃς 945 ἐστιν ἠΐθεος *OL*, ἔστ' ἠΐθεος *G* 946 εὐνὴς *A* | versum delevit Valckenaer 948 θανῶν πατρῴαν *A* | πρῷαν *E* 950 ὄμμασι *ABG* 951 τῶνδ' *G* | δοιοῖν *A* 953 ἡμῖν *G* | ὢν πάντ' in ras. scr. *l* 955 sq. ἐχθρὰ .. πικρὸς (ἐχθρὸς in libro rec.)] πικρὰ .. ἐχθρὸς Valckenaer 958 φοῖβον δ' *E* 959 χρὴ Plut. de Pyth. orac. p. 407[E] 961 ἧσσον] Brunck, ἧττον libri 963 ειμι *A*, εἰμι *B*

ὥστε σφαγέντα παῖδα προσθεῖναι πόλει.
πᾶσιν γὰρ ἀνθρώποισι φιλότεκνος βίος,
οὐδ' ἂν τὸν αὑτοῦ παῖδά τις δοίη κτανεῖν.
μή μ' εὐλογείτω τἀμά τις κτείνων τέκνα.
αὐτὸς δ'· ἐν ὡραίῳ γὰρ ἕσταμεν βίου·
θνῄσκειν ἕτοιμος πατρίδος ἐκλυτήριον.
ἀλλ' εἶα, τέκνον, πρὶν μαθεῖν πᾶσαν πόλιν
ἀκόλαστ' ἐάσας μάντεων θεσπίσματα,
φεῦγ' ὡς τάχιστα τῆσδ' ἀπαλλαχθεὶς χθονός·
λέξει γὰρ ἀρχαῖς καὶ στρατηλάταις τάδε,
[πύλας ἐφ' ἑπτὰ καὶ λοχαγέτας μολών·]
κἂν μὲν φθάσωμεν, ἔστι σοι σωτηρία·
ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανῇ.
ΜΕ. ποῖ δῆτα φεύγω; τίνα πόλιν; τίνα ξένων;
ΚΡ. ὅπου χθονὸς τῆσδ' ἐκποδὼν μάλιστ' ἔσῃ.
ΜΕ. οὐκοῦν σὲ φράζειν εἰκός, ἐκπονεῖν δ' ἐμέ.
ΚΡ. Δελφοὺς περάσας ΜΕ. ποῖ με χρή, πάτερ, μολεῖν;
ΚΡ. Αἰτωλίδ' ἐς γῆν. ΜΕ. ἐκ δὲ τῆσδε ποῖ περῶ;
ΚΡ. Θεσπρωτὸν οὖδας. ΜΕ. σεμνὰ Δωδώνης βάθρα;
ΚΡ. ἔγνως. ΜΕ. τί δὴ τόδ' ἔρυμά μοι γενήσεται;
ΚΡ. πόμπιμος ὁ δαίμων. ΜΕ. χρημάτων δὲ τίς πόρος;
ΚΡ. ἐγὼ πορεύσω χρυσόν. ΜΕ. εὖ λέγεις, πάτερ.
χώρει νυν· ὡς σὴν πρὸς κασιγνήτην μολών,

---

964 προσθεῖναι *A*, sed σ evanuit, προσθεῖναι *a*, sed οσ in ras. scr. a^3, προθεῖναι *G* 965 πᾶσι *BEL* | ἀνθρώποισ *L* corr. *l* 966 αὐτοῦ libri | τίς *E* | δοίη τις *L* 968 sq. delet Hermann 968 ἕσταμεν *aBL*, ἕσταμεν in ἵσταμαι mut. A^2 γρ. ἵσταμαι in marg. *a* | βίου] Reiske, βίῳ libri, fort. μόρου 969 ἕτοιμος *A*, ἑτοιμός εἰμι *L* 970 εἴα *AaBG* | πᾶσαν om. *A* supra v. add. A^2 972 ἀπαλλαγεὶς *EL* et *a*, sed αγεὶς in ras. scr. a^2, ἀπαλλαχθῇς *b* 974 πύλαις *B* | μολῶν *AB* | versum quem suspectum habuit Valckenaer delevi, cfr. schol. ad v. 973 ἤρκει οὗτος· ὁ γὰρ ἐπιφερόμενος πύλας . . μολών περιττός ἐστιν 976 ὑστερήσεις *B* corr. *b* | οἰχόμεσθακτθανῆ *E* 977 πῆ *L* | ξένον *EL* | ποῖον ξένον; Paley 978 in textu omissum add. in marg. *a* | ἐκποδῶν *AB* (ἐκποδὼν *b*) 980 post περάσας addunt φεῦγε *BS*, φεύγειν *E*, om. *Aa*, ut glossam suprascr. a^2 | πῆ *L* | με om. *EG* | πάτερ om. *L* et in *B* ut delendum punctis notavit *b* 981 ἐς hic *EG* | πῆ *L* 982 θεσπρωτῶν *BE* corr. *b*, θεσπρωτὸν scripto ω super ὸ *a* 983 ἔγνωις *a* | δὴ τόδ' ἔρυμα] Musgrave, δῆτ' ἔρυμα (ἔρυγμα *B*) libri 984 πόμπημος *A* 985 πορεύσω] παρέξω *G*
986—989 delet C.Conradt 986 verba χώρει νῦν (νϋν *L*) et 990

ἧς πρῶτα μαστὸν εἵλκυσ', Ἰοκάστην λέγω,
μητρὸς στερηθεὶς ὀρφανός τ' ἀποζυγείς,
προσηγορήσων εἶμι καὶ σώσων βίον.
ἀλλ' εἶα, χώρει· μὴ τὸ σὸν κωλυέτω.
γυναῖκες, ὡς εὖ πατρὸς ἐξεῖλον φόβον
κλέψας λόγοισιν, ὥσθ' ἃ βούλομαι τυχεῖν·
ὅς μ' ἐκκομίζει, πόλιν ἀποστερῶν τύχης,
καὶ δειλίᾳ δίδωσι. καὶ συγγνωστὰ μὲν
γέροντι, τοὐμὸν δ' οὐχὶ συγγνώμην ἔχει,
προδότην γενέσθαι πατρίδος ἥ μ' ἐγείνατο.
ὡς οὖν ἂν εἰδῆτ', εἶμι καὶ σώσω πόλιν
ψυχήν τε δώσω τῆσδ' ὑπερθανεῖν χθονός.
αἰσχρὸν γάρ· οἱ μὲν θεσφάτων ἐλεύθεροι
κοὐκ εἰς ἀνάγκην δαιμόνων ἀφιγμένοι
στάντες παρ' ἀσπίδ' οὐκ ὀκνήσουσιν θανεῖν,
πύργων πάροιθε μαχόμενοι πάτρας ὕπερ,
ἐγὼ δὲ πατέρα καὶ κασίγνητον προδοὺς
πόλιν τ' ἐμαυτοῦ δειλὸς ὣς ἔξω χθονὸς
ἄπειμ'· ὅπου δ' ἂν ζῶ, κακὸς φανήσομαι.
μὰ τὸν μετ' ἄστρων Ζῆν' Ἄρη τε φοίνιον,
ὃς τοὺς ὑπερτείλαντας ἐκ γαίας ποτὲ
σπαρτοὺς ἄνακτας τῆσδε γῆς ἱδρύσατο.
ἀλλ' εἶμι καὶ στὰς ἐξ ἐπάλξεων ἄκρων
σφάξας ἐμαυτὸν σηκὸν ἐς μελαμβαθῆ
δράκοντος, ἔνθ' ὁ μάντις ἐξηγήσατο,
ἐλευθερώσω γαῖαν· εἴρηται λόγος.
στείχω δέ, θανάτου δῶρον οὐκ αἰσχρὸν πόλει
δώσων, νόσου δὲ τήνδ' ἀπαλλάξω χθόνα.

Creonti tribuunt libri, etiam *G*, quamquam hic nota Menoecei ante ὡς 986 et ante 991 caret, correxit Musgrave 986 κασιγνῆτιν *B* 987 πρῶτον *L* | μαστὸν omissum supra lin. add. *A* | εἵλκυσ' *A* 989 προσηγορήσων *L*, sed γο in ras. scr. *l* | σώζων mut. in σώσων *E* 990 εἴα a^3*BEG* 991 ἐξεῖλον] ἐξῆλθον *B* 993 ἐκκομίζειν *E* 997 σώσων *G* 999 αἰσχρῶς γὰρ οἱ μὲν Heimsoeth 1001 ὀκνήσουσι *ABEG* 1002 πάροιθεν *E* | πάτρης *L* 1004 ὡς *ABE* ὣς *b* 1005 κακῶς *G* 1006 οὔ in marg. ante μὰ *B* | fort. κατ' ἄστρα | ἄρη *Aa*, ἄρην a^2r 1007 γαίης *E* 1008 ἱδρύσατο *A* 1009 ἐξ ἐπάλξε in ras. scr. *l* 1010 μελανβαθῆ *aL*, μελανβαφῆ *AE*, μελαμβαφῆ *G* 1013—1018 delet Scheurleer 1014 ἀπαλλάξαι *E*

εἰ γὰρ λαβὼν ἕκαστος ὅ τι δύναιτό τις
χρηστὸν διέλθοι τοῦτο κἀς κοινὸν φέροι
πατρίδι, κακῶν ἂν αἱ πόλεις ἐλασσόνων
πειρώμεναι τὸ λοιπὸν εὐτυχοῖεν ἄν.

ΧΟ. ἔβας ἔβας, stroph.
ὦ πτεροῦσσα, γᾶς λόχευμα
νερτέρου τ' Ἐχίδνας,
Καδμείων ἁρπαγά,
πολύφθορος πολύστονος,
μιξοπάρθενος,
δάιον τέρας,
φοιτάσιν πτεροῖς
χαλαῖσί τ' ὠμοσίτοις·
Διρκαίων ἅ ποτ' ἐκ
τόπων νέους πεδαίρουσ'
ἄλυρον ἀμφὶ μοῦσαν
ὀλομέναν τ' Ἐρινὺν
ἔφερες ἔφερες ἄχεα πατρίδι
φόνια· φόνιος ἐκ θεῶν
ὃς τάδ' ἦν ὁ πράξας.
ἰάλεμοι δὲ ματέρων,
ἰάλεμοι δὲ παρθένων
ἐστέναζον οἴκοις·
ἰηιήιον βοάν,
ἰηιήιον μέλος
ἄλλος ἄλλ' ἐπωτότυζε

1016 κεἰς libri | φέρει *L* 1018 καὶ τὸ *E* | τολοιπὸν *BS* | εὐτυχοῖεν mut. in εὐτυχεῖεν *G* 1019 πτεροῦσσα *a* et Pap, πτεροῦσα *r* 1021 ἁρπαγὰ *E* (et Pap), ἁρπαγᾷ (vel ἁρπαγᾶ) *r* 1022 πολυφορος πολυστονος Pap, πολύστονος πολύμοχθος *G* 1024 φοιτασιν Pap, φοιτάσι *l*, φοιτᾶσι *r* | περοῖς *E* 1026 ἅ *AE* ἃ *A*[2] 1027 νέους om. *G* | πόδ' αἴρουσ' *L* 1028 sq. μούσας ὀλομέναν τ' Geel, μοῦσαν, ὀλομέναν (omisso τ') Hartung (cum libris consentit papyrus) 1029 ἐρινῦν *Aa*, ἐριννῦν *ES* 1033 ματέρων] πατέρων *G* 1033 sq. ιαλεδεμοι δε Pap 1035 ἐστεναξαν Pap | ἐν οἴκοις *L* ἐν ut delendum punctis notavit *l* 1036 sq. ιηιηι . ηι . ον .. ιηιηι . ηι . ον i. e. ἰηιήιον .. ἰηιήιον Pap, ἰήιον .. ἰήιον libri (ἰήιον βοὰν βοάν, ἰήιον μέλος μέλος Grotius) | βοᾶν *A* 1038 ἄλλ' ἐπωτότυζε] Battier, ἄλλον ἐπωτότυζε scripto ε super ω *a*, ἄλλον ἐπετότυζε *AB* (ω super ετό scr. *b*) *EG*, ἄλλον ἐπεττότυζεν *L*,

διαδοχαῖς ἀνὰ πτόλιν.
βροντᾷ δὲ στεναγμὸς
ἀχά τ' ἦν ὅμοιος,
ὁπότε πόλεος ἀφανίσειεν
ἁ πτεροῦσσα παρθένος τιν' ἀνδρῶν.

χρόνῳ δ' ἔβα antistr.
Πυθίαις ἀποστολαῖσιν
Οἰδίπους ὁ τλάμων
Θηβαίαν τάνδε γᾶν
τότ' ἀσμένοις, πάλιν δ' ἄχη·
ματρὶ γὰρ γάμους
δυσγάμους τάλας
καλλίνικος ὢν
αἰνιγμάτων συνάπτει,
μιαίνει δὲ πτόλιν·
δι' αἱμάτων δ' ἀμείβει
μυσαρὸν εἰς ἀγῶνα
καταβαλὼν ἀραῖσι
τέκεα μέλεος. ἀγάμεθ' ἀγάμεθ',
ὃς ἐπὶ θάνατον οἴχεται
γᾶς ὑπὲρ πατρῴας,
Κρέοντι μὲν λιπὼν γόους,
τὰ δ' ἑπτάπυργα κλῇθρα γᾶς
καλλίνικα θήσων.
γενοίμεθ' ὧδε ματέρες

αλλον επωτοτυξε Pap 1039 βροντᾶ δὲ in ras. scr. *l* | δὲ om. *A* 1040 ἀχά] Musgrave, αχαι Pap, ἰαχά libri (ἰαχᾶ *AbG*) | ὅμοιος (etiam Pap)] fort. ὅμαυλος 1041 ὁπότε *L* πο delevit *l* | πολεος Pap (Porson), πόλεως libri 1042 ἁ *A* | πτεροῦσα scripto σ super σ *A*, πτεροῦσα *BS* | τίν' *AB* 1043 fort. Πυθίοις | ἀποσταλαῖσιν *A*, ἀποστολαῖσι *B* (ν add. *b*) *L* 1044 ὁ τλάμων] in marg. γρ. ὁ τάλας *A* 1045 τήνδε *E* 1046 sq. ἄσμενος *G* | verba πάλιν δ' ἴσχη (sic). μρι γὰρ γάμους δυσγάμους ὁ τάλας om. *L* in marg. add. *l* 1047 sq. μητρὶ *AaBG* | γὰρ in τε mut. *b* | τάλας] King, ὁ τάλας libri 1050 μιάσει *E* | πτόλιν] corr. codicis Kingiani (Triclinius), πόλιν libri, sed π in ras. scr. *l* quem πτ scribere voluisse apparet 1053 ἀρῶσι scripto α super ω *E* 1054 ἀγάμεθ' ἀγάμεθα libri, sed factum ex ἀγάμεθ' ἀγάμεθ' *A* 1058 ἑπτάπυλα *L* | κλῇθρα *a*, κλῇθρα corr. η ex ει *c*, κλεῖθρα *r* 1059 post θήσων eras. γε *E* 1060 γενοίμεσθ' *A*, sed ipsa m. 1 σ delere voluisse videtur | μητέρες *E*, ματέρας *L* ματέρες *l*

γενοίμεθ' εὔτεκνοι, φίλα
Παλλάς, ἃ δράκοντος αἷμα
λιθόβολον κατειργάσω,
Καδμείαν μέριμναν
ὁρμήσασ' ἐπ' ἔργον,
ὅθεν ἐπέσυτο τάνδε γᾶν
ἁρπαγαῖσι δαιμόνων τις ἄτα.

ΑΓΓΕΛΟΣ.

ὠή, τίς ἐν πύλαισι δωμάτων κυρεῖ;
ἀνοίγετ', ἐκπορεύετ' Ἰοκάστην δόμων.
ὠὴ μάλ' αὖθις· διὰ μακροῦ μέν, ἀλλ' ὅμως
ἔξελθ', ἄκουσον, Οἰδίπου κλεινὴ δάμαρ,
λήξασ' ὀδυρμῶν πενθίμων τε δακρύων.
ΙΟ. *ὦ φίλτατ', οὔ που ξυμφορὰν ἥκεις φέρων*
Ἐτεοκλέους θανόντος, οὗ παρ' ἀσπίδα
βέβηκας αἰεὶ πολεμίων εἴργων βέλη;
[τί μοί ποθ' ἥκεις καινὸν ἀγγελῶν ἔπος;]
τέθνηκεν ἢ ζῇ παῖς ἐμός; σήμαινέ μοι.
ΑΓΓ. *ζῇ, μὴ τρέσῃς τόδ', ὥς σ' ἀπαλλάξω φόβου.*
ΙΟ. *τί δ'; ἑπτάπυργοι πῶς ἔχουσι περιβολαί;*
ΑΓΓ. *ἑστᾶσ' ἄθραυστοι, κοὐκ ἀνήρπασται πόλις.*
ΙΟ. *ἦλθον δὲ πρὸς κίνδυνον Ἀργείου δορός;*
ΑΓΓ. *ἀκμήν γ' ἐπ' αὐτήν· ἀλλ' ὁ Καδμείων Ἄρης*

1061 *ἄτεκνοι G* | *φίλα L*, *φῖλα G*, *φίλαι* superscr. *γρ. φίλα A E*, *φίλαι B* (*η* super *αι* scr. *b*) 1062 *πολλάς G* 1063 *λιθοβόλον B* 1064 sq. *καδμεῖων* scripto *α* super *ω a*, *καδμίαν* factum ex *καδμείαν* ut vid. *E*, fort. *Καδμεῖον* | *ὁρμήσας A B G* corr. *b* 1065 sq. *ἐπέσυτο* corr. in *ἐπέσσυτο L*, *ἐπέσσυτο r* | *τᾶνδε A* | *γαῖαν ἁρπαγαῖσι* Battier, fort. *γᾶν συναλλαγαῖσι* 1067 *ΑΓΓΕΛΟΣ*] om. *E*, fort. praestat *ΘΕΡΑΠΩΝ*, cfr. 1073 sq. et 1213 1069 in *B* scholio *βραδέως μὲν ἐξέρχῃ, ὅμως ἔξελθε ἄκουσον* adiecta sunt verba *ἐν τοῖς πολλοῖς ἀντιγράφοις οὐ γράφεται ὁ στίχος*, vide ad v. 1075 1070 *κλεινὴ*] *γρ. κυδρὴ* superscr. *A* 1072 *οὔ*] Hartung, *ἤ A*, *ἦ r* 1074 *αἰεὶ a*, *ἀεὶ r* | *εἴργων A a εἴργων A²* | *βέλη*] *δόρυ a βέλη* superscr. *a²* 1075 *ἀγγελῶν A* et superscr. *γρ. ἀγγέλλων E*, *ἀγγέλων B*, *ἀγγέλλων a S* | versum delevit Valckenaer cl. scholio *ἐν τοῖς πολλοῖς ἀντιγράφοις οὐ φέρεται ὁ στίχος* 1076 *ἢ A* 1077 *τρέσῃς, τοῦδ'* (*τοῦδ'* in libro rec.) *ὡς* Porson | *ὥς σ' a³*, *ὡς r*, super *ὡς* glossam *ἦλθον ἵνα σε* scr. *b* 1078 *ἑπτάπυλοι L* 1081 *ἐπ'*] *ἐς a*

κρείσσων κατέστη τοῦ Μυκηναίου δορός.
ΙΟ. ἓν εἰπὲ πρὸς θεῶν, εἴ τι Πολυνείκους πέρι
οἶσθ'· ὡς μέλει μοι καὶ τόδ', εἰ λεύσσει φάος.
ΑΓΓ. ζῇ σοι ξυνωρὶς ἐς τόδ' ἡμέρας τέκνων.
ΙΟ. εὐδαιμονοίης. πῶς γὰρ Ἀργείων δόρυ
πυλῶν ἀπεστήσασθε πυργηρούμενοι;
λέξον, γέροντα τυφλὸν ὡς κατὰ στέγας
ἐλθοῦσα τέρψω, τῆσδε γῆς σεσωμένης.
ΑΓΓ. ἐπεὶ Κρέοντος παῖς ὁ γῆς ὑπερθανὼν
πύργων ἐπ' ἄκρων στὰς μελάνδετον ξίφος
λαιμῶν διῆκε τῇδε γῇ σωτήριον,
λόχους ἔνειμεν ἑπτὰ καὶ λοχαγέτας
πύλας ἐφ' ἑπτά, φύλακας Ἀργείου δορός,
σὸς παῖς, ἐφέδρους ἱππότας μὲν ἱππόταις
τάξας, ὁπλίτας δ' ἀσπιδηφόροις ἔπι,
ὡς τῷ νοσοῦντι τειχέων εἴη δορὸς
ἀλκὴ δι' ὀλίγου. περγάμων δ' ἀπ' ὀρθίων
λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατὸν
Τευμησὸν ἐκλιπόντα· καὶ τάφρου πέλας
δρόμῳ συνῆψεν ἄστυ Καδμείας χθονός.
παιὰν δὲ καὶ σάλπιγγες ἐκελάδουν ὁμοῦ
ἐκεῖθεν ἔκ τε τειχέων ἡμῶν πάρα.
καὶ πρῶτα μὲν προσῆγε Νηΐσταις πύλαις
λόχον πυκναῖσιν ἀσπίσιν πεφρικότα
ὁ τῆς κυναγοῦ Παρθενοπαῖος ἔκγονος,
ἐπίσημ' ἔχων οἰκεῖον ἐν μέσῳ σάκει,

1082 *κρεῖσσον* mut. in *κρείσσον A* 1084 om. *G* | *μέλλει B*, *μέλοι E* | *μου B* | *τοῦδ' BL* | *λεύσει ABL* 1086 *εὐδαιμονήοις* in *εὐδαιμονοίης* mut. *A* | *Ἀργεῖον* Fix 1087 *ἐπεστήσασθε L* 1089 *σεσωμένης*] scripsi, *σεσωσμένης* libri 1092 *λαιμῶν a*, sed *ῶν* scr. et *ὸν* super *ῶ* posuit a^3, *λαιμὸν S*, *πλοιῶν E*, unde *πλευρῶν* Brunck | *τῆσδε γῆς G* 1095 om. *E* | *σὸς παῖς* om. *B*, in fine v. 1094 add. m. recentissima 1096 *τάξας*] Hermann, *ἔταξ'* libri | *δ'* om. *G* | *ἀσπιδηφόροις A*, sed *ι* ex *υ* ras. correctum videtur, *ἀσπιδηφόρους aEG ἀσπιδηφόροις* a^3 1097 *δορὸς*] fort. *μέρει* 1098 *ὀλίγων G* | *περγάμων τ' ἀπορθήτων E* sed *ήτων* m. recentior refinxit, *ιων* ut vid. m. prima 1099 *ἀργεῖον E* 1100 sq. suspecti (1101 delet Kirchhoff) 1100 *τευμησσὸν A τελμησσὸν* A^2 | *ἐκλείποντα BL* 1102 *ἐκκελάδουν E* 1104—1140 insiticios putat Morus, delet Naber 1104 *Νηΐσταις*] R. Unger, *νηΐταις* libri 1105 *ἀσπίσι BS* 1106 *ἔκγονος*] *γόνος G* 1107 *ἐπίσημα L*

ἑκηβόλοις τόξοισιν Ἀταλάντην κάπρον
χειρουμένην Αἰτωλόν. ἐς δὲ Προιτίδας
πύλας ἐχώρει σφάγι' ἔχων ἐφ' ἅρματι
ὁ μάντις Ἀμφιάραος, οὐ σημεῖ' ἔχων
ὑβρισμέν', ἀλλὰ σωφρόνως ἄσημ' ὅπλα.
Ὠγύγια δ' ἐς πυλώμαθ' Ἱππομέδων ἄναξ
ἔστειχ' ἔχων σημεῖον ἐν μέσῳ σάκει
στικτοῖς Πανόπτην ὄμμασιν δεδορκότα,
τὰ μὲν σὺν ἄστρων ἐπιτολαῖσιν ὄμματα
βλέποντα, τὰ δὲ κρύπτοντα δυνόντων μέτα,
ὡς ὕστερον θανόντος εἰσορᾶν παρῆν.
Ὁμολωίσιν δὲ τάξιν εἶχε πρὸς πύλαις
Τυδεύς, λέοντος δέρος ἔχων ἐπ' ἀσπίδι
χαίτῃ πεφρικός· δεξιᾷ δὲ λαμπάδα
Τιτὰν Προμηθεὺς ἔφερεν ὡς πρήσων πόλιν.
ὁ σὸς δὲ Κρηναίαισι Πολυνείκης πύλαις
Ἄρη προσῆγε· Ποτνιάδες δ' ἐπ' ἀσπίδι
ἐπίσημα πῶλοι δρομάδες ἐσκίρτων φόβῳ,
εὖ πως στρόφιγξιν ἔνδοθεν κυκλούμεναι
πόρπαχ' ὑπ' αὐτόν, ὥστε μαίνεσθαι δοκεῖν.
ὁ δ' οὐκ ἔλασσον Ἄρεος ἐς μάχην φρονῶν
Καπανεὺς προσῆγε λόχον ἐπ' Ἠλέκτραις πύλαις·
σιδηρονώτοις δ' ἀσπίδος τύποις ἐπῆν
γίγας ἐπ' ὤμοις γηγενὴς ὅλην πόλιν
φέρων μοχλοῖσιν ἐξανασπάσας βάθρων,
ὑπόνοιαν ἡμῖν οἷα πείσεται πόλις.
ταῖς δ' ἑβδόμαις Ἄδραστος ἐν πύλαισιν ἦν,
ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν γραφῇ

1108 ἐκηβόλοις *A* 1109 αἰτολόν *A* 1110 ἅρμασιν *bG* 1112 ὑβρισμένα *L* 1113 δ'] θ' *a* 1114 ἔστηχ' *A* et η in ras. scripto *B* 1115 ὄμμασι *A*, ὄμμασι *BS* 1116—1118 delet Bergk (1118 damnavit atque etiam 1116. 1117 suspectos habuit iam Valckenaer) 1116 ξὺν *G* 1119 ὁμολωίσι *BL*, μολωίσι *G* | πύλας *a* corr. a^2 1120 τυδεύς in ras. scr. *l* 1121 πεφρικὼς *AG* et ras. corr. in πεφρικὸς *B* | δεξιὰ *AL* δεξιᾶ *l* 1122 ἔφερ' *G* 1123 fort. Κρηναίοισι 1124 ἄρην a^2*L* et ν punctis notato *E* 1125 ἐπίσημοι *L* corr. *l* 1126 εὖ *A* | στρόφιξιν *G* 1132 βάθρων] βία, superscr. γρ. βάθρων θεμελίων *A*, βίᾳ *r* 1134 δ' om. *AE* | ἕβδόμαις et ἦν *A* 1135 sq. fort ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν ὕδρας (ceteris deletis)

ὕδρας ἔχων λαιοῖσιν ἐν βραχίοσιν,
Ἀργεῖον αὔχημ᾽· ἐκ δὲ τειχέων μέσων
δράκοντες ἔφερον τέκνα Καδμείων γνάθοις.
παρῆν δ᾽ ἑκάστου τῶνδέ μοι θεάματα
ξύνθημα παρφέροντι ποιμέσιν λόχων.
καὶ πρῶτα μὲν τόξοισι καὶ μεσαγκύλοις
ἐμαρνάμεσθα σφενδόναις θ᾽ ἑκηβόλοις
πέτρων τ᾽ ἀραγμοῖς· ὡς δ᾽ ἐνικῶμεν μάχῃ,
ἔκλαγξε Τυδεὺς χὠ σὸς ἐξαίφνης γόνος·
ὦ τέκνα Δαναῶν, πρὶν κατεξάνθαι βολαῖς,
τί μέλλετ᾽ ἄρδην πάντες ἐμπίπτειν πύλαις,
γυμνῆτες ἱππῆς ἁρμάτων τ᾽ ἐπιστάται;
ἠχῆς δ᾽ ὅπως ἤκουσαν, οὔτις ἀργὸς ἦν·
πολλοὶ δ᾽ ἔπιπτον κρᾶτας αἱματούμενοι
ἡμῶν τ᾽ ἐς οὖδας εἶδες ἂν πρὸ τειχέων
πυκνοὺς κυβιστητῆρας ἐκπεπνευκότας·
ξηρὰν δ᾽ ἔδευον γαῖαν αἵματος ῥοαῖς.
ὁ δ᾽ Ἀρκάς, οὐκ Ἀργεῖος, Ἀταλάντης γόνος
τυφὼς πύλαισιν ὥς τις ἐμπεσὼν βοᾷ
πῦρ καὶ δικέλλας, ὡς κατασκάψων πόλιν·
ἀλλ᾽ ἔσχε μαργῶντ᾽ αὐτὸν ἐναλίου θεοῦ
Περικλύμενος παῖς λᾶαν ἐμβαλὼν κάρᾳ
ἁμαξοπληθῆ, γεῖσ᾽ ἐπάλξεων ἄπο·
ξανθὸν δὲ κρᾶτα διεπάλυνε καὶ ῥαφὰς
ἔρρηξεν ὀστέων, ἄρτι δ᾽ οἰνωπὸν γένυν
καθημάτωσεν· οὐδ᾽ ἀποίσεται βίον
τῇ καλλιτόξῳ μητρὶ Μαινάλου κόρῃ.

1136 *βραχίοισιν E* 1139 *τῶνδ᾽ ἐμοὶ E* 1140 *παρφέροντι aB* (α super ρφ scr. *b*) *S*, *παραφέροντι AE* | *ποιμέσι BS* 1142 *ἐμαρνάμεσθ᾽ A*, *ἐμαρνάμεθα G* | *τ᾽ ἐκηβόλοις AaEB* corr. *b* 1143 *πέτρων*] scripsi, *πετρῶν* libri 1144 *χὠ*] *καὶ ὁ A*, *καὶ r* 1146 *μέλλεθ᾽ A*, *μέλετ᾽ B* | *ἐμπίτνειν* fecit ex *ἐμπίπτειν E* 1147 *ἱππῆς A* et superscr. *εῖς a*, *ἱππεῖς BES* | *τ᾽* om. *B* 1148 *ἠχῆς a*, fort. *ἀχῆς* 1149 *κράτας θ᾽ B*, *κράτας G* 1150 *ἦιδες a* 1151 *κυβηστητῆρας a* 1154 *ὅστις* (sic) *ἑ* in ras. scr. *l* 1155 *δίκελλαν EGl*, *δικέλλας Lr* 1156 *μαργῶτ᾽ L* 1157 *λάαν aBG* 1158 om. *A* in marg. add. *A*², versus suspectus | *ἁμαξοπλήθη A*², *ἁμαξοπλήθῆ a ἁμαξοπλήθη a*² | *γεῖσσ᾽ S*, fort. *ῥῆγμ᾽* 1159 *κράτα G* | *διεπάλυνε* mut. in *διεπάλλυνε E* 1160 *ὀστέων A* 1162 *Μαινάλου κόρῃ*] schol. *γρ. χθόνα* (om. *A*, habet *aB*), *τουτέστιν εἰς τὴν Μαιναλίαν* (*μαινάλου a*) *χθόνα*

ἐπεὶ δὲ τάσδ' ἐσεῖδεν εὐτυχεῖς πύλας,
ἄλλας ἐπῄει παῖς σός, εἰπόμην δ' ἐγώ.
ὁρῶ δὲ Τυδέα καὶ παρασπιστὰς πυκνοὺς
Αἰτωλίσιν λόγχαισιν εἰς ἄκρον στόμα
πύργων ἀκοντίζοντας, ὥστ' ἐπάλξεων
λιπεῖν ἐρίπνας φυγάδας· ἀλλά νιν πάλιν
κυναγὸς ὡσεὶ παῖς σὸς ἐξαθροίζεται,
πύργοις δ' ἐπέστησ' αὖθις. ἐς δ' ἄλλας πύλας
ἠπειγόμεσθα, τοῦτο παύσαντες νοσοῦν.
Καπανεὺς δὲ πῶς εἴποιμ' ἂν ὡς ἐμαίνετο;
μακραύχενος γὰρ κλίμακος προσαμβάσεις
ἔχων ἐχώρει, καὶ τοσόνδ' ἐκόμπασε,
μηδ' ἂν τὸ σεμνὸν πῦρ νιν εἰργαθεῖν Διὸς
τὸ μὴ οὐ κατ' ἄκρων περγάμων ἑλεῖν πόλιν.
καὶ ταῦθ' ἅμ' ἠγόρευε καὶ πετρούμενος
ἀνεῖρφ' ὑπ' αὐτὴν ἀσπίδ' εἱλίξας δέμας,
κλίμακος ἀμείβων ξέστ' ἐνηλάτων βάθρα.
ἤδη δ' ὑπερβαίνοντα γεῖσα τειχέων
βάλλει κεραυνῷ Ζεύς νιν· ἐκτύπησε δὲ
χθών, ὥστε δεῖσαι πάντας· ἐκ δὲ κλιμάκων
ἐσφενδονᾶτο χωρὶς ἀλλήλων μέλη,
κόμαι μὲν εἰς Ὄλυμπον, αἷμα δ' ἐς χθόνα,
χεῖρες δὲ καὶ κῶλ' ὡς κύκλωμ' Ἰξίονος
εἱλίσσετ'· ἐς γῆν δ' ἔμπυρος πίπτει νεκρός.
ὡς δ' εἶδ' Ἄδραστος Ζῆνα πολέμιον στρατῷ,
ἔξω τάφρου καθῖσεν Ἀργείων στρατόν.
οἱ δ' αὖ παρ' ἡμῶν δεξιὸν Διὸς τέρας
ἰδόντες ἐξήλαυνον ἁρμάτων ὄχους

1164 *σὸς παῖς BG* | *εἰπόμην A* 1165 *καὶ* om. *A* 1166 *αἰτωλοῖσι B*, *αἰτωλοῖσιν E* 1168 *ἐριπνὰς BES* | *φυγάδας*] *φύλακας* anonymus apud Valckenarium | *πάλιν*] fort. *βοῶν* 1170 *πύργοις τ'* Lenting 1171 *ἠπειγόμεθα B* | *παύσαντας L* corr. *l* 1172 *δ' ὅπως E* 1174 *τόσον B* | *ἐκόμπασεν AS* 1175 *εἰργαθεῖν*] Elmsley, *εἰργάθειν* libri 1176 *οὐ* om. *ES*, add. *E*² *l* | *ἑλεῖν A* 1177 *πτερούμενος A* 1178 *εἰλίξας AaB* 1180 *γεῖσσα S* 1182 *χθῶν A* 1183 om. in textu, add. in marg. *E* 1186 *εἱλίσσετ'*] Heath, *ἑλίσετ' A*, *ἑλίσσετ' r* (ex *ἐλίσσετ'* corr. *E*) 1188 *καθῖσεν*] L. Dindorf, *καθεῖσεν* libri (*καθῆκεν* mut. in *καθεῖκεν G*) 1189 *τέρας Διὸς B* 1190 *ὄχας L ου* super *ας* scr.

ἱππῆς ὁπλῖται, κὰς μέσ' Ἀργείων ὅπλα
συνῆψαν ἔγχη· πάντα δ' ἦν ὁμοῦ κακά·
ἔθνῃσκον ἐξέπιπτον ἀντύγων ἄπο,
τροχοί τ' ἐπήδων ἄξονές τ' ἐπ' ἄξοσι,
νεκροὶ δὲ νεκροῖς ἐξεσωρεύονθ' ὁμοῦ.
πύργων μὲν οὖν γῆς ἔσχομεν κατασκαφὰς
ἐς τὴν παροῦσαν ἡμέραν· εἰ δ' εὐτυχὴς
ἔσται τὸ λοιπὸν ἥδε γῆ, θεοῖς μέλει·
καὶ νῦν γὰρ αὐτὴν δαιμόνων ἔσωσέ τις.
ΧΟ. καλὸν τὸ νικᾶν· εἰ δ' ἀμείνον' οἱ θεοὶ
γνώμην ἔχουσιν, — εὐτυχὴς εἴην ἐγώ.
ΙΟ. καλῶς τὰ τῶν θεῶν καὶ τὰ τῆς τύχης ἔχει·
παῖδές τε γάρ μοι ζῶσι κἀκπέφευγε γῆ.
Κρέων δ' ἔοικε τῶν ἐμῶν νυμφευμάτων
τῶν τ' Οἰδίπου δύστηνος ἀπολαῦσαι κακῶν,
παιδὸς στερηθείς, τῇ πόλει μὲν εὐτυχῶς,
ἰδίᾳ δὲ λυπρῶς. ἀλλ' ἄνελθέ μοι πάλιν,
τί τἀπὶ τούτοις παῖδ' ἐμὼ δρασείετον.
ΑΓΓ. ἔα τὰ λοιπά· δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖς.
ΙΟ. τοῦτ' εἰς ὕποπτον εἶπας· οὐκ ἐατέον.
ΑΓΓ. μεῖζόν τι χρῄζεις παῖδας ἢ σεσωμένους;
ΙΟ. καὶ τἀπίλοιπά γ' εἰ καλῶς πράσσω κλύειν.
ΑΓΓ. μέθες μ'· ἔρημος παῖς ὑπασπιστοῦ σέθεν.
ΙΟ. κακόν τι κεύθεις καὶ στέγεις ὑπὸ σκότῳ.
ΑΓΓ. οὐκ ἄν γε λέξαιμ' ἐπ' ἀγαθοῖσί σοι κακά.
ΙΟ. ἢν μή γε φεύγων ἐκφύγῃς πρὸς αἰθέρα.

1191 ἱππῆς, scripto ει super ῆς, *a*, ἱππεῖς *r* (ἱππεῖς θ' *E*) | ὁπλίσαι *B* σ in τ mut. *b* | κεὶς libri | ὅπλων *B* α super ων scr. *b* | ante et post 1191 singuli versus intercidisse videntur 1192 ξυνῆψαν *G* 1193 ἔθνηκον *E* 1194 ἄξον' ἐπ' ἄξοσι *E* | ἄξοσιν *AL* 1194 sq. ἄξονες δ' .. νεκροί τε Fritzsche 1198 τολοιπὸν *ES* | ἦδε *Aa* corr. a^3 | μέλλει *B* 1199 habet *A*, om. *r*, in marg. add. *l*, uncis inclusit Matthiae, in marg. adscr. γ̄ ἑρμηνεία A^2 1200 ἀμεῖνον *A* ἀμείνον' A^2 1501 ἔχουσιν, suprascr. γρ. ἔχοιεν, *A*, ἔχοιεν *B*, ἔχουσιν *r* 1202 ἔχοι *A* 1203 κἀπέφευγε *AE*, καὶ πέφευγε *BG* 1206 παιδὸς *L* παίδων *l* 1208 ἐμὸν *EG* 1210 κοὐκ *BL* 1211 μεῖζον *A* | τί *E* | σεσωσμένους *OS* 1212 sq. personarum notas om. *B* add. *b* | καὶ] κεὶ *E* | τἀλοιπά *G* | ὑπ' ἀσπιστοῦ *AL* 1215 οὐκ *F*, κοὐκ *r* | γε] τε *a* γε superscr. a^2 | σοι] Reiske, σοῖς libri 1216 μή με *aEL* | αἰθέρὰν *B* ν del. *b*

ΑΓΓ. αἰαῖ· τί μ' οὐκ εἴασας ἐξ εὐαγγέλου
φήμης ἀπελθεῖν, ἀλλὰ μηνῦσαι κακά;
τὼ παῖδε τὼ σὼ μέλλετον, τολμήματα
αἴσχιστα, χωρὶς μονομαχεῖν παντὸς στρατοῦ,
λέξαντες Ἀργείοισι Καδμείοισί τε
ἐς κοινὸν οἷον μήποτ' ὤφελον λόγον.
Ἐτεοκλέης δ' ὑπῆρξ' ἀπ' ὀρθίου σταθεὶς
πύργου, κελεύσας σῖγα κηρῦξαι στρατῷ·
[ἔλεξε δ'· ὦ γῆς Ἑλλάδος στρατηλάται]
Δαναῶν ἀριστῆς, οἵπερ ἤλθετ' ἐνθάδε,
Κάδμου τε λαός, μήτε Πολυνείκους χάριν
ψυχὰς ἀπεμπολᾶτε μήθ' ἡμῶν ὕπερ.
ἐγὼ γὰρ αὐτὸς τόνδε κίνδυνον μεθεὶς
μόνος συνάψω συγγόνῳ τὠμῷ μάχην·
κἂν μὲν κτάνω τόνδ', οἶκον οἰκήσω μόνος,
ἡσσώμενος δὲ τῷδε παραδώσω πόλιν·
ὑμεῖς δ' ἀγῶν' ἀφέντες, Ἀργεῖοι, χθόνα
νίσεσθε, βίοτον μὴ λιπόντες ἐνθάδε.
[σπαρτῶν τε λαὸς ἅλις ὃς κεῖται νεκρός.]
τοσαῦτ' ἔλεξε· σὸς δὲ Πολυνείκης γόνος
ἐκ τάξεων ὤρουσε κἀπῄνει λόγους.
πάντες δ' ἐπερρόθησαν Ἀργεῖοι τάδε
Κάδμου τε λαὸς ὡς δίκαι' ἡγούμενοι.
ἐπὶ τοῖσδε δ' ἐσπείσαντο, κἀν μεταιχμίοις
ὅρκους συνῆψαν ἐμμενεῖν στρατηλάται.

1217 αἶ αἶ *AaS*, αἲ αἲ *BEl* 1218 μηνυσαι *A*, μηνύσαι *a*, σημάναι *G* 1221 ἀργείοισιν *A* 1222 ὄφελον *B* 1223 ἐτεοκλῆς (hoc etiam *L*) προϋπῆρξ' *B* | ἀπ' *a* ἐ superscr. a^2 1224 σίγα *AaB* | κηρύξαι *aBE* 1225 schol. οὗτος δὲ (ὁ στίχος) οὐ φέρεται ἐν τοῖς πολλοῖς ἀντιγράφοις 1226 δαναῶν τ' *L* | ἀριστῆς, superscr. ει, *E*, ἀριστεῖς *r* | οἵπερ *A* 1228 ὑμῶν *AE* 1229 τόν τε *E* | versum delet FPolle 1231 οἰκήσας *G* 1232 ἡσσώμενος *A* | πόλιν] μόνος πόλιν *B* ω super ος et γρ. δόμον super πόλιν scr. *b*, μόνος *A* et mut. in μόνω *a*, μόνῳ *EG*, δόμον *L* in μόνω mut. *l* 1233 ἀργείαν *G* | χθόνα] πάλιν Weidgen 1234 νίσεσθε *Aa*, νίσσεσθε *r* | βίον *G* 1235 ὃς] ὅσος in rec. libris | νεκρός] θανών *G* | versum om. liber rec., delevit Valckenaer 1237 τάξεως *E* | ὄρουσε *A* et mut. in ὤρουσε *E* 1239 delet Nauck, etiam v. 1238 suspectus 1240 τοῖσι δ' *B*, τοῖσδ' *ES* | ἐπείσαντο *G* | κἀν *aG*, καὶ *ABEL* 1241 ἐμμενεῖν] Elmsley, ἐμμένειν libri | στρατηλάται *S*, στρατηλάτας *AaE*, στρατηλά-

ἤδη δ' ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις
διssοὶ γέροντος Οἰδίπου νεανίαι·
φίλοι δ' ἐκόσμουν, τῇσδε μὲν πρόμον χθονὸς
σπαρτῶν ἀριστῆς, τὸν δὲ Δαναϊδῶν ἄκροι.
ἔσταν δὲ λαμπρὼ χρῶμά τ' οὐκ ἠλλαξάτην
μαργῶντ' ἐπ' ἀλλήλοισιν ἱέναι δόρυ.
παρεξιόντες δ' ἄλλος ἄλλοθεν φίλων
λόγοις ἐθάρσυνόν τε κἀξηύδων τάδε·
Πολύνεικες, ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας
τρόπαιον Ἄργει τ' εὐκλεᾶ δοῦναι λόγον·
Ἐτεοκλέα δ' αὖ· νῦν πόλεως ὑπερμαχεῖς,
νῦν καλλίνικος γενόμενος σκήπτρων κρατεῖς.
τάδ' ἠγόρευον παρακαλοῦντες ἐς μάχην.
μάντεις δὲ μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμὰς
ῥήξεις τ' ἐνώμων ὑγρότητ' ἐναντίαν
ἄκραν τε λαμπάδ', ἣ δυοῖν ὅρους ἔχει,
νίκης τε σῆμα καὶ τὸ τῶν ἡσσωμένων.
ἀλλ', εἴ τιν' ἀλκὴν ἢ σοφοὺς ἔχεις λόγους
ἢ φίλτρ' ἐπῳδῶν, στεῖχ', ἐρήτυσον τέκνα
δεινῆς ἁμίλλης· ὡς ὁ κίνδυνος μέγας
[καὶ τἆθλα δεινά· δάκρυά σοι γενήσεται
δισσοῖν στερείσῃ τῇδ' ἐν ἡμέρᾳ τέκνοιν.]
ΙΟ. ὦ τέκνον ἔξελθ' Ἀντιγόνη δόμων πάρος·

ταις *B* αι super αις scr. *b*, schol. ἐπὶ τούτοις .. ἐπεσπείσαντο ἐμμενεῖν αὐτοῖς οἱ στρατηγοί. ἔνιοι δὲ γράφουσι στρατηλάταις μετὰ τοῦ ῑ (l. σ̄), ἵνα τοὺς ἄλλους βασιλεῖς καὶ τὰ στρατεύματα ἀκούσωσιν (l. ὁρκώσωσιν) ἐμμένειν τοῖς ῥηθεῖσιν ὑπ' ἀμφοτέρων 1242 ἤδη *AE* | ὅπλοις *A* 1243 in marg. γρ. οἵ τοι *a* 1244 πρόμον in lacuna scr. *L* vel *l* 1245 ἀρίστης *a* ἀριστεῖς *a*², ἀριστῆς superscr. ει *E*, ἀριστεῖς *B* η super εῖς scr. schol., ἀριστεῖς *r* | τὸν] τῶν *E* 1246 λαμπρῶ *B* λαμπρὼ *b* | χρῶμά τ'] χρώματ' *ABE* 1247 ἰέναι *a* 1248 δ' om. *L* add. *l* | ἄλοθεν *B* 1249 λόγοισι θαρσύνοντες (ε super ες scr. *b*) κἀξηύδων *B*, λόγοισι θαρσύνοντες προσηύδων *G*, γρ. λόγοισι θαρσύνοντες κἄλεγον schol. *a* 1251 τροπαῖον *EG* et mut. in τρόπαιον *a* | τ'] δ' *L* 1252 πόλεως θ' *L* 1253 κρα̃ (τ superscr.) *B* κρατεῖς *b*, κράτει Nauck 1256 ῥήξεις] fort. κύστεώς, cfr. schol. τῆς κύστεως τὸ στόμα ἐρίῳ δεσμοῦντες ἐπετίθεσαν τῷ πυρὶ καὶ παρετήρουν πῶς ῥαγήσεται καὶ ποῦ τὸ οὖρον ἀκοντίσει. Σοφοκλῆς ἐν Μάντεσι· τὰς μαλλοδέτας κύστεις 1258 τὸ] τὰ *G* 1261 ἀμίλλης *A* | ὁ om. *A* suprascr. *A*² 1262 sq. delevit Valckenaer 1262 τάθλα *A*, τἄθλα *L* 1263 δυσσοῖν *E* | στερείσῃ] Reiske, στερήσῃ libri 1264 πάρος δόμων *L*

οὐκ ἐν χορείαις οὐδὲ παρθενεύμασι
νῦν σοι προχωρεῖ δαιμόνων κατάστασις,
ἀλλ' ἄνδρ' ἀρίστω καὶ κασιγνήτω σέθεν
ἐς θάνατον ἐκνεύοντε κωλῦσαί σε δεῖ
[ξὺν μητρὶ τῇ σῇ μὴ πρὸς ἀλλήλοιν θανεῖν].
ΑΝ. τίν', ὦ τεκοῦσα μῆτερ, ἔκπληξιν νέαν
φίλοις ἀυτεῖς τῶνδε δωμάτων πάρος;
ΙΟ. ὦ θύγατερ, ἔρρει σῶν κασιγνήτων βίος.
ΑΝ. πῶς εἶπας; ΙΟ. αἰχμὴν ἐς μίαν καθέστατον.
ΑΝ. οἲ 'γώ, τί λέξεις, μῆτερ; ΙΟ. οὐ φίλ', ἀλλ' ἕπου.
ΑΝ. ποῖ, παρθενῶνας ἐκλιποῦσ'; ΙΟ. ἀνὰ στρατόν.
ΑΝ. αἰδούμεθ' ὄχλον. ΙΟ. οὐκ ἐν αἰσχύνῃ τὰ σά.
ΑΝ. δράσω δὲ δὴ τί; ΙΟ. συγγόνων λύσεις ἔριν.
ΑΝ. τί δρῶσα, μῆτερ; ΙΟ. προσπίτνουσ' ἐμοῦ μέτα.
ΑΝ. ἡγοῦ σὺ πρὸς μεταίχμι'· οὐ μελλητέον.
ΙΟ. ἔπειγ' ἔπειγε, θύγατερ· ὡς, ἢν μὲν φθάσω
παῖδας πρὸ λόγχης, οὑμὸς ἐν φάει βίος·
[ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανῇ.]
θανοῦσι δ' αὐτοῖς συνθανοῦσα κείσομαι.

ΧΟ. αἰαῖ αἰαῖ, stroph.
τρομερὰν φρίκᾳ τρομερὰν φρέν' ἔχω·
διὰ σάρκα δ' ἐμὰν
ἔλεος ἔλεος ἔμολε ματέρος δειλαίας.
δίδυμα τέκεα πότερος ἄρα πότερον αἱμάξει,
ἰώ μοι πόνων,
ἰὼ Ζεῦ, ὦ γᾶ,

1265 οὐδὲ *F*, οὐδ' ἐν *OS* | παρθενεύμασιν *A* 1266 δαίμονος Hermann 1268 ἐς hic *BE* | κωλύσαι *AG* | σε om. *A* 1269 uncis inclusi 1273 ἐς hic *A* 1274 οἲ 'γὼ *G*, οἴ (vel οἲ) ἐγὼ *r* | μᾶτερ *BG* 1275 πῇ *L* | ἐκλιποῦσα *OL* 1276 ὄχλον *AB* corr. *b* 1277 δή τι *aE* | λύσῃς *E* 1278 προσπιτνοῦσ' libri | μετά *BG* 1279 μεταίχμ' *A* | μελητέον *BS*, corr. *l* 1280 ἤν γε *E* 1281 οὑμὸς *B* 1282 om. *cG*, adscr. ἐν πολλοῖς οὐ φέρεται *a*, cfr. 976, eiecit Grotius 1284 αἴ vel αἲ quater *AEL*, octies *B* 1285 φρένα *L* 1286 ante διὰ habent αἴ quater *AL*, decies *B*, ἒ ἒ *G*, om. *E* | σάρκα δ' ἐμὰν scr. ὸς super α et ῆς super ὰν *a* 1287 ματέρος in rec. libro, ματρὸς *OS* (μρ̄ς̀ *E*) 1288 πότερον ἄρα *L* | ἆρα *A* 1289 πόνων] fort. θενών, cfr. Heracl. 738 1290 ὦ in rec. libro, ἰὼ *OS*

ὁμογενῆ δέραν, ὁμογενῆ ψυχὰν
δι' ἀσπίδων, δι' εἱμάτων;
τάλαιν' ἐγὼ τάλαινα,
πότερον ἄρα νέκυν ὀλόμενον ἀχήσω;

φεῦ δᾶ φεῦ δᾶ, antistr.
δίδυμοι θῆρες, φόνιαι ψυχαὶ
δορὶ παλλόμεναι
πέσεα πέσεα δάι' αὐτίχ' αἱμάξετον.
τάλανες, ὅ τι ποτὲ μονομάχον ἐπὶ φρέν' ἠλθέτην,
βοᾷ βαρβάρῳ
στενακτὰν ἀχὰν
μελομέναν νεκροῖς δάκρυσι θρηνήσω.
σχεδὸν τύχα πέλας φόνου
κρινεῖ φάος τὸ μέλλον.
πότμος ἄποτμος ὁ φόνος ἕνεκ' Ἐρινύων.

ἀλλὰ γὰρ Κρέοντα λεύσσω τόνδε δεῦρο συννεφῆ
πρὸς δόμους στείχοντα, παύσω τοὺς παρεστῶτας γόους.

ΚΡΕΩΝ.

οἴμοι, τί δράσω; πότερ' ἐμαυτὸν ἢ πόλιν
στένω δακρύσας, ἣν πέριξ ἔχει νέφος
[τοιοῦτον ὥστε δι' Ἀχέροντος ἰέναι];
ἐμός τε γάρ παῖς γῆς ὄλωλ' ὑπερθανών,

1292 fort. *ἀσπίδος* | *εἱμάτων*] J.Hilberg, *αἱμάτων* libri (*αἱμάτων* *L*) 1295 *ἆρα* *b* | *ἀχήσω*] Elmsley, *ἰαχήσω* libri 1296 *δὰ* .. *δὰ* *aE*, *δα* .. *δα* *B* *δᾶ̀* .. *δᾶ̀* *b* 1297 *θήρες* *A* | fort. *φόνιοι* 1299 *δάιδ* *AL*, *δάϊα* *El* | *αὐτίκ'* *A* et mut. in *αὐτίχ'* *E* | *αἱμάξετον* *L*, sed *ξετ* in ras. scr. *l* 1300 *τάλαινεσ* *AaB* et mut. in *τάλανες* *E* *τάλανες* *a*[3] | *στενακτὰν ἐπὶ* *L*, vide ad v. 1302 1302 *στενακτὰν ἀχὰν*] scripsi (*στενακτὰν ἰαχὰν* Aldina), *ἰαχὰν στενακτὰν* *cG*, *ἰαχὰν* *AaBEL* (sed vide ad v. 1300) 1303 *μελλομέναν* *L*, sed *μελλ* in ras. scr. *l* | *νεκρῶν* *G* | *δάκροισι* *A* *δάκρυσι* *A*[2] 1304 *τύχα πέλας φόνου*] fort. *τύχας ἐπὶ ξυροῦ* 1305 *κρίνει* *BL* et mut. in *κρινεῖ* *a* *κρινεῖ* *b* | *φάος*] *ξίφος* Hermann 1306 *πότμος*] Dindorf, *ἄποτμος* libri | *ἄποπτος* *a* | *ἕνεκεν* *B* | *ἐριννύων* *ES* 1307 *λεύσω* *AB* (alterum *σ* add. *b*) *L* | *δεῦρο* om. *S* | *συνεφῆ* *ABL* 1309 *γόους*] *λόγους* *B* 1311 *ἣν* *A* 1312 *τοσοῦτον* *L* | *ἱέναι* *S*, *ἰέναι* *O* | versum delevit Kirchhoff 1313 *ἐμὸς δὲ παῖς γῆς τῆσδ'* Heimsoeth | *γῆς* om. *L* add.

τοὔνομα λαβὼν γενναῖον, ἀνιαρὸν δ' ἐμοί·
ὃν ἄρτι κρημνῶν ἐκ δρακοντείων ἑλὼν
αὐτοσφαγῆ δύστηνος ἐκόμισ' ἐν χεροῖν,
βοᾷ δὲ δῶμα πᾶν· ἐγὼ δ' ἥκω μετὰ
γέρων ἀδελφὴν γραῖαν Ἰοκάστην, ὅπως
λούσῃ προθῆταί τ' οὐκέτ' ὄντα παῖδ' ἐμόν.
τοῖς γὰρ θανοῦσι χρὴ τὸν οὐ τεθνηκότα
τιμὰς διδόντα χθόνιον εὖ σέβειν θεόν.
ΧΟ. βέβηκ' ἀδελφὴ σή, Κρέων, ἔξω δόμων
κόρη τε μητρὸς Ἀντιγόνη κοινῷ ποδί.
ΚΡ. ποῖ κἀπὶ ποίαν συμφοράν; σήμαινέ μοι.
ΧΟ. ἤκουσε τέκνα μονομάχῳ μέλλειν δορὶ
ἐς ἀσπίδ' ἥξειν βασιλικῶν δόμων ὕπερ.
ΚΡ. πῶς φής; νέκυν τοι παιδὸς ἀγαπάζων ἐμοῦ
οὐκ ἐς τόδ' ἦλθον ὥστε καὶ τάδ' εἰδέναι.
ΧΟ. ἀλλ' οἴχεται μὲν σὴ κασιγνήτη πάλαι·
δοκῶ δ' ἀγῶνα τὸν περὶ ψυχῆς, Κρέον,
ἤδη πεπρᾶχθαι παισὶ τοῖσιν Οἰδίπου.
ΚΡ. οἴμοι, τὸ μὲν σημεῖον εἰσορῶ τόδε,
σκυθρωπὸν ὄμμα καὶ πρόσωπον ἀγγέλου
στείχοντος, ὃς πᾶν ἀγγελεῖ τὸ δρώμενον.

ΑΓΓΕΛΟΣ.

ὦ τάλας ἐγώ, τίν' εἴπω μῦθον ἢ τίνας γόους;
ΚΡ. οἰχόμεσθ'· οὐκ εὐπροσώποις φροιμίοις ἄρχῃ λόγου.
ΑΓΓ. ὦ τάλας, δισσῶς ἀυτῶ· μεγάλα γὰρ φέρω κακά.
ΚΡ. πρὸς πεπραγμένοισιν ἄλλοις πήμασιν. λέγεις δὲ τί;

1315 κρημνὸν *L*, σηκῶν Blaydes | ἐκ δὲ *G* 1317 μέτα *L* fort. recte 1318 γέρων] στέλλων *L* | ἀδελφὰν *B* 1319 λούσῃ] γρ. καὶ κλαύσῃ superscr. *A*, κλαύσῃ *L* | πρόθηται *A a* (super ρό scr. ὸσ a^3) *G*, πρό*θηται *B* (σ erasum) 1321 εὖ σέβειν] Valckenaer, εὐσεβεῖν libri 1322 Κρέων] Brunck, κρέον *OS* (δόμων ἔξω κρέον *G*) 1323 delet Kviçala 1324 πῆ *L* | ποῖαν *A* | ποίᾳ συμφορᾷ F. Gu. Schmidt | σήμανε *B* 1327 φῆις *A*, φήις *a* | παιδὸς in ras. scr. *l* 1331 πεπράχθαι *OS* 1332 τὸ μὲν] τορὸν Th. Kock 1334 πᾶν] ἡμῖν *G* 1335 γόους] Porson, λόγους *OS* 1336 εὐπρόσωπος *L*, εὐστόμοισι Hartung cl. Hesych. εὔστομον· ἀπὸ μέρους, εὐπρόσωπον | ἄρχη *G*, ἄρχὴι *a*, ἀρχὴ a^3r 1337 γὰρ om. *E* 1338 πεπραγμένοισι, omisso ἄλλοις, *G*, fort. πεπραγμένοισί γ' ἄλλοις | ἄλλο a^3 | πήμασι *B*

ΑΓΓ. οὐκέτ' εἰσὶ σῆς ἀδελφῆς παῖδες ἐν φάει, Κρέον.
ΚΡ. αἰαῖ·
μεγάλα μοι θροεῖς πάθεα καὶ πόλει.
ὦ δώματ' εἰσηκούσατ' Οἰδίπου τάδε
[παίδων ὁμοίαις συμφοραῖς ὀλωλότων];
ΧΟ. ὥστ' ἂν δακρῦσαί γ', εἰ φρονοῦντ' ἐτύγχανεν.
ΚΡ. οἴμοι ξυμφορᾶς βαρυποτμωτάτας,
οἴμοι κακῶν δύστηνος· ὦ τάλας ἐγώ.
ΑΓΓ. εἰ καὶ τὰ πρὸς τούτοισί γ' εἰδείης κακά.
ΚΡ. καὶ πῶς γένοιτ' ἂν τῶνδε δυσποτμώτερα;
ΑΓΓ. τέθνηκ' ἀδελφὴ σὴ δυοῖν παίδοιν μέτα.
ΧΟ. ἀνάγετ' ἀνάγετε κωκυτόν,
ἐπὶ κάρα τε λευκοπήχεις κτύπους χεροῖν.
ΚΡ. ὦ τλῆμον, οἷον τέρμον', Ἰοκάστη, βίου
γάμων τε τῶν σῶν Σφιγγὸς αἰνιγμοὺς ἔτλης.
πῶς καὶ πέπρακται διπτύχων παίδων φόνος
ἀρᾶς τ' ἀγώνισμ' Οἰδίπου; σήμαινέ μοι.
ΑΓΓ. τὰ μὲν πρὸ πύργων εὐτυχήματα χθονὸς
οἶσθ'· οὐ μακρὰν γὰρ τειχέων περιπτυχαί,
[ὥστ' οὐχ ἅπαντά σ' εἰδέναι τὰ δρώμενα.]
ἐπεὶ δὲ χαλκέοις σῶμ' ἐκοσμήσανθ' ὅπλοις
οἱ τοῦ γέροντος Οἰδίπου νεανίαι
ἔστησαν ἐλθόντ' ἐς μέσον μεταίχμιον

1339 ἐμ *A* 1340 Creonti tribuit *L*, χορ. praefigunt *OG* | αἶ αἶ, superscr. ἒ ἒ *A*, αἶ αἶ *E*, ἒ ἒ *G* 1341 πάθεα] πένθεα *L* 1342 κρ (ε superscr.) praefigunt *AEG*, ἀγγ. *B* 1343 auctore Valckenario delevit Geel 1344 ὥστ' ἂν δακρῦσαι] Hartung, ὥστε δακρῦσαι *EL*, ὥστε δακρύσαι *AaB* | ὥστ' ἐκδακρῦσαι *G* | ἐτύγχανεν *Aa* ον super εν scr. a^3, ἐτύγχανον *r*
1345 post οἴμοι (ὤ super οἴ minio scr.) add. γε *E* | ξυμφορὰς *AB* corr. *b*, συμφορᾶς *r* | βαρυποτμοτάτας *aBES* 1346 om. *BL*, in marg. adscriptum habent *Aa*, in marg. addidit *b* | ὤμοι *G* | ὦ τάλας *E*, ὁ τάλας *Ab* 1347 τούτοισί γ'] τούτοισιν *G* 1348 δυσποτμότερα *BS* et corr. ex -ώτερα *A* 1349 σῆι *A* | δυοῖν παίδοιν *B* ω super οῖ et οι scr. *b* | μετά *BG* 1351 ἐπὶ κάρα] γρ. ἐπικρᾶτα superscr. *A*, ἐπὶ κράτα *G* et cod. Thessalon. (vide ad Or. not. ind.), ἐπὶ κάρᾳ Blaydes | χερῶν *L*, delet Burges 1352 ὦ in ὢ mut. *b* | τλήμον *A* | τέρμ' a^2*ES* 1353 σφιγγὸς *L*, sed γο in ras. scr. *l* | αἰνιγμοῦς *A* 1354 fort. διπτύχοιν παίδοιν 1357 μακρᾶν *A* 1358 δρώμεναι *A* corr. A^2 | versum delevi 1359 χαλκοῖς *G* | ἐκόσμησαν θ' *A*, ἐκόσμησαν *G* 1360 delet Valckenaer, cfr. 1243

διϲϲὼ ϲτρατηγὼ καὶ διπλὼ ϲτρατηλάτα
ὡς εἰς ἀγῶνα μονομάχου τ' ἀλκὴν δορός.
βλέψας δ' ἐπ' Ἄργος ἧκε Πολυνείκης ἀράς·
ὦ πότνι' Ἥρα, σὸς γάρ εἰμ', ἐπεὶ γάμοις
ἔζευξ' Ἀδράστου παῖδα καὶ ναίω χθόνα,
δός μοι κτανεῖν ἀδελφόν, ἀντήρη δ' ἐμὴν
καθαιματῶσαι δεξιὰν νικηφόρον,
αἴσχιστον αἰτῶν στέφανον, ὁμογενῆ κτανεῖν.
[πολλοῖς δ' ἐπήει δάκρυα τῆς τύχης ὅση,
κἄβλεψαν ἀλλήλοισι διαδόντες κόρας.]
Ἐτεοκλέης δὲ Παλλάδος χρυσάσπιδος
βλέψας πρὸς οἶκον ηὔξατ'· ὦ Διὸς κόρη,
δὸς ἔγχος ἡμῖν καλλίνικον ἐκ χερὸς
ἐς στέρν' ἀδελφοῦ τῆσδ' ἀπ' ὠλένης βαλεῖν
κτανεῖν θ' ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.
ἐπεὶ δ' ἀφείθη πυρσὸς ὣς Τυρσηνικῆς
σάλπιγγος ἠχὴ σῆμα φοινίου μάχης,
ἧξαν δράμημα δεινὸν ἀλλήλοις ἔπι·
κάπροι δ' ὅπως θήγοντες ἀγρίαν γένυν
ξυνῆψαν, ἀφρῷ διάβροχοι γενειάδας·
ἦσσον δὲ λόγχαις· ἀλλ' ὑφίζανον κύκλοις,
ὅπως σίδηρος ἐξολισθάνοι μάτην.
εἰ δ' ὄμμ' ὑπερσχὸν ἴτυος ἅτερος μάθοι,
λόγχην ἐνώμα, στόματι προφθῆναι θέλων.

1362 fort. διϲϲώ τ' ἀδελφὼ | καὶ διϲϲοὶ *L* | ϲτρατηλάτα corr. ex ϲτρατηλάται *G* | versus fort. loco versus 1360 ponendus 1363 μονομάχου τ'] γρ. μονομάχου τ' ἀλκὴν δορός schol., μονομαχεῖν *A*, μονομαχοῦντ' *r* (γρ. μονομάχου τὴν ἀλκὴν superscr. *b*), cfr. Aristoph. Phoen. fr. apud Athen. IV p. 154ᴱ ἔς τε μονομάχου πάλης ἀγῶνα νῦν ἑστᾶσιν 1364 ἐπ' *A*, ἐς *aG*, εἰς *BEL* | ἤκε *A* 1365 σὸς εἶμ' (γὰρ minio superscr.) *E* | εἰμι *L* | ἐπεὶ corr. ex ἐπὶ *G* 1369 αἰτῶν, quod ex libro rec. affertur, Canter, αἰτῶ libri | ὁμογενὴ *A* 1370 sq. delevit Valckenaer 1370 ὅσηι *A* 1371 διδόντες *BEL* 1372 ἐτεοκλῆς *E* 1373 ἤξατ' *A* corr. A^2 1374 ἐκ χερὸς] fort. εὐστόχως 1375 εἰ στέρν *A* 1376 deest in cod. Thessalonicensi | κτανεῖν] γρ. κτεῖναί θ' in marg. scr. *A* 1378 ἠχῆ *A*, fort. ἀχὴ | φονίου *ABL* et mut. in φοινίου *E* 1379 om. *A* supplevit in marg. A^2 | δράμημα] scripsi, δρόμημα libri 1382 ἧισσον *a*, ἤϊσσον a^2L, ἤϊσον *B* 1383 ἐξολισθάνοι, quod ex libro rec. affertur, Porson, ἐξολισθαίνοι *AaEL*, ἐξολισθαίνη *BG* 1384 ὑπερσχὼν ἅτερος ἴτυος μάθη *G* | ἄτερος *AE* 1385 στόματι] κάμακι Stadtmueller

ἀλλ' εὖ προσῆγον ἀσπίδων κερχνώμασιν
ὀφθαλμόν, ἀργὸν ὥστε γίγνεσθαι δόρυ.
[πλείων δὲ τοῖς ὁρῶσιν ἐστάλασσ' ἱδρὼς
ἢ τοῖσι δρῶσι, διὰ φίλων ὀρρωδίαν.]
'Ετεοκλέης δὲ ποδὶ μεταψαίρων πέτρον
ἴχνους ὑπόδρομον, κῶλον ἐκτὸς ἀσπίδος
τίθησι· Πολυνείκης δ' ἀπήντησεν δορί,
πληγὴν σιδήρῳ παραδοθεῖσαν εἰσιδών,
κνήμην τε διεπέρασεν 'Αργεῖον δόρυ·
στρατὸς δ' ἀνηλάλαξε Δαναϊδῶν ἅπας.
κἀν τῷδε μόχθῳ γυμνὸν ὦμον εἰσιδὼν
ὁ πρόσθε τρωθεὶς στέρνα Πολυνείκους βίᾳ
διῆκε λόγχην, κἀπέδωκεν ἡδονὰς
Κάδμου πολίταις, ἀπὸ δ' ἔθραυσ' ἄκρον δόρυ.
ἐς δ' ἄπορον ἥκων δορὸς ἐπὶ σκέλος πάλιν
χωρεῖ, λαβὼν δ' ἀφῆκε μάρμαρον πέτρον
μέσον τ' ἄκοντ' ἔθραυσεν· ἐξ ἴσου δ' Ἄρης
ἦν, κάμακος ἀμφοῖν χεῖρ' ἀπεστερημένοιν.
ἔνθεν δὲ κώπας ἁρπάσαντε φασγάνων
ἐς ταὐτὸν ἧκον, συμβαλόντε δ' ἀσπίδας
πολὺν ταραγμὸν ἀμφιβάντ' εἶχον μάχης.
καί πως νοήσας 'Ετεοκλῆς τὸ Θεσσαλὸν
ἐσήγαγεν σόφισμ' ὁμιλίᾳ χθονός.
ἐξαλλαγεὶς γὰρ τοῦ παρεστῶτος πόνου,
λαιὸν μὲν ἐς τοὔπισθεν ἀμφέρει πόδα,

1386 sq. in textu omissos in marg. supplevit *E* 1386 *κερχνώμασιν*] ex Hesych. *κερχνώμασι· . . καλοῦσι δὲ καὶ τὸν περὶ τὰς ἴτυς τῶν ἀσπίδων κόσμον* Valckenaer, *κεγχρώμασιν* libri (*κεγχρώμασϊ BE*) 1387 *γίνεσθαι AES* 1388 sq. delevi 1388 *πλεῖων A* corr. *A*² | *ἐστάλλασ' G* | *ἱδρῶς A* 1389 *δρῶσιν a* 1390 *ἐτεοκλῆς E* 1391 *ἱππόδρομον G* 1392 *ἀπήντησε a*²*BEG* 1393 *ἐσιδών BE* 1394 *κνήμην B*, *κνήμης r* | in marg. *γρ. διεπάρασσεν* (sic) *a* 1395 *ἀνήλαξε A* | *δαναῶν B* 1396 fort. *τῷδ' ὁ μοχθῶν*, deleto versu proximo | *ἐσιδὼν B* 1397 *βίᾳ* om. *A* 1398 *κἀντέδωκεν* Herwerden 1399 *ἔθραυσεν BE* 1402 *τ'* in rec. libro, *δ' OS* | *ἔθραυσ' AL* 1403 *ἀπεστερημένοιν* in rec. libris, *ἀπεστερημένοις OS*, *ἀπεστερημένων c* 1404 *ἁρπάσαντε c*, *ἁρπάσαντες OS* 1405 *τε ἧκον a*, *ἦξαν* Blaydes | *συμβαλόντε cG*, *συμβάλλοντε A*, *συμβαλόντες aBEL* 1406 *ἀμφιβᾶντ' A* | *μάχης*] fort. *πάλης* 1407 *ἐτεοκλὴς A* | *θετταλὸν G* 1408 *εἰσήγαγε a*²*BL* 1409 *ἀμφέρει B ἐ* in *ά* mut. *b*, *ἀναφέρει r*, cfr. 297

πρόσω τὰ κοῖλα γαστρὸς εὐλαβούμενος,
προβὰς δὲ κῶλον δεξιὸν δι' ὀμφαλοῦ
καθῆκεν ἔγχος σφονδύλοις τ' ἐνήρμοσεν.
ὁμοῦ δὲ κάμψας πλευρὰ καὶ νηδὺν τάλας
σὺν αἱματηραῖς σταγόσι Πολυνείκης πίτνει.
ὃ δ', ὡς κρατῶν δὴ καὶ νενικηκὼς μάχῃ,
ξίφος δικὼν ἐς γαῖαν ἐσκύλευέ νιν
τὸν νοῦν πρὸς αὑτὸν οὐκ ἔχων, ἐκεῖσε δέ.
ὃ καί νιν ἔσφηλ'· ἔτι γὰρ ἐμπνέων βραχύ,
σῴζων σίδηρον ἐν λυγρῷ πεσήματι,
μόλις μέν, ἐξέτεινε δ' εἰς ἧπαρ ξίφος
Ἐτεοκλέους ὁ πρόσθε Πολυνείκης πεσών.
γαῖαν δ' ὀδὰξ ἑλόντες ἀλλήλων πέλας
πίπτουσιν ἄμφω κοὐ διώρισαν κράτος.
ΧΟ. φεῦ φεῦ, κακῶν σῶν, Οἰδίπου, σ' ὅσον στένω·
τὰς σὰς δ' ἀρὰς ἔοικεν ἐκπλῆσαι θεός.
ΑΓΓ. ἄκουε δή νυν καὶ τὰ πρὸς τούτοις κακά.
ἐπεὶ τέκνω πεσόντ' ἐλειπέτην βίον,
ἐν τῷδε μήτηρ ἡ τάλαινα προσπίτνει
[σὺν παρθένῳ τε καὶ προθυμίᾳ ποδός].
τετρωμένους δ' ἰδοῦσα καιρίους σφαγὰς
ᾤμωξεν· ὦ τέκν', ὑστέρα βοηδρόμος
πάρειμι· προσπίτνουσα δ' ἐν μέρει τέκνα
ἔκλαι', ἐθρήνει τὸν πολὺν μαστῶν πόνον
στένουσ', ἀδελφή θ' ἡ παρασπίζουσ' ὁμοῦ·

1412 προσβὰς *a* προβὰς a^3 1413 σπονδύλοις δ' *G* 1414 πλευρὰν mut. in πλευρᾶν *A*, πλευρὰν *S*, sed ἀν in ὰ mutare voluisse videtur *L* 1415 συναιματηραῖς *A* et eraso ι post ς *B* σὺν αἱματηραῖς *b* | πιτνεῖ *O* (πιπτνεῖ *E*) *S* 1417 ἐς hic *EG* 1418 αὐτὸν in rec. libris, cfr. schol. πρὸς τὸν νεκρόν. ἢ πρὸς ἑαυτόν 1419 ἔσφηλεν mut. in ἔσφηλ' *E* 1422 πρόσθεν *A* | versum delet Blaydes 1423 om. *A* in marg. supplevit A^2 | ἀλλήλοιν *c* 1425 *XO.* om. *L*, schol. τινὲς Κρέων | Οἰδίπου, σ' ὅσον στένω] οἰδίπου σὸς ὢν στένω *ABE* et mut. in οἰδίπου σ' ὅσον στένω|α, γρ. ὅσον στένω superscr. *A*, γρ. καὶ ὅσον *b*, οἰδίπου ὅσον στένω *S* 1426 ἐκπλήσειν *G* 1427 δὴ νῦν libri 1428 γρ. ὡς γὰρ πεσόντε παῖδε λιπέτην βίον in marg. scr. *A*, γρ. ὡς γὰρ τέκνω πεσόντε λιπέτην βίον in marg. habet *a* | ἐλιπέτην *AL* 1429 προσπίπτοι *A*, προσπιτνεῖ *r*, προσκυρεῖ Hartung 1430 delevit Valckenaer 1431 καιρίας *S* 1432 ᾤμοξεν *AB* corr. *b* 1433 προσπιτνοῦσα *OS* | μέρη *A* | τέκνων *L* 1434 μαστῶν] μάτην Nauck 1435 ἀδεφή *A* corr. A^2 | θ'] δ' *BE*

ὦ γηροβοσκὼ μητρός, ὦ γάμους ἐμοὺς
προδόντ' ἀδελφὼ φιλτάτω. στέρνων δ' ἄπο
φύσημ' ἀνεὶς δύσθνητον Ἐτεοκλῆς ἄναξ
ἤκουσε μητρός, κἀπιθεὶς ὑγρὰν χέρα
φωνὴν μὲν οὐκ ἀφῆκεν, ὀμμάτων δ' ἄπο
προσεῖπε δακρύοις, ὥστε σημῆναι φίλα.
ὃ δ' ἦν ἔτ' ἔμπνους, πρὸς κασιγνήτην δ' ἰδὼν
γραῖάν τε μητέρ' εἶπε Πολυνείκης τάδε·
ἀπωλόμεσθα, μῆτερ· οἰκτείρω δὲ σὲ
καὶ τήνδ' ἀδελφὴν καὶ κασίγνητον νεκρόν.
φίλος γὰρ ἐχθρὸς ἐγένετ', ἀλλ' ὅμως φίλος.
θάψον δέ μ', ὦ τεκοῦσα, καὶ σύ, σύγγονε,
ἐν γῇ πατρῴᾳ, καὶ πόλιν θυμουμένην
παρηγορεῖτον, ὡς τοσόνδε γοῦν τύχω
χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα.
ξυνάρμοσον δὲ βλέφαρά μου τῇ σῇ χερί,
μῆτερ· τίθησι δ' αὐτὸς ὀμμάτων ἔπι·
καὶ χαίρετ'· ἤδη γάρ με περιβάλλει σκότος.
ἄμφω δ' ἅμ' ἐξέπνευσαν ἄθλιον βίον.
μήτηρ δ', ὅπως ἐσεῖδε τήνδε συμφοράν,
ὑπερπαθήσασ' ἥρπασ' ἐκ νεκρῶν ξίφος
κἄπραξε δεινά· διὰ μέσου γὰρ αὐχένος
ὠθεῖ σίδηρον, ἐν δὲ τοῖσι φιλτάτοις
θανοῦσα κεῖται περιβαλοῦσ' ἀμφοῖν χέρας.
ἀνῆξε δ' ὀρθὸς λαὸς εἰς ἔριν λόγων,
ἡμεῖς μὲν ὡς νικῶντα δεσπότην ἐμόν,
οἳ δ' ὡς ἐκεῖνον. ἦν δ' ἔρις στρατηλάταις,
οἳ μὲν πατάξαι πρόσθε Πολυνείκη δορί,

1436 γηροβοσκῶ *A* 1437 φιλτάτων *G* | δ'] τ' *E* 1438 ἂν εἰς *A* corr. *A*² | δύσθνητον *A*, δύστλητον *r* | ἐτεοκλέης *G* 1439 ὑγρὰν] λυγρὰν *A*²*G* | χέρα corr. ex χεῖρα *E* 1440 δ' om. *A* 1442 ὃ δ' *Aa*, ὅδ' *a*²*r* | ἦν *a* 1443 μ͞ρα *L* 1444 δέ σε *E* 1448 πόλει θυμουμένη *B* ιν super ει et ν super η scr. *b* 1449 γ' οὖν *B*, schol. γρ. καὶ τοσόνδε δὴ τύχω 1451 χειρὶ *B* 1455 ἐσεῖδε hic *ABE*, ἐπεῖδε *a* 1456 ὑπερπαθήσας *A* corr. *A*² | ἥρπασεν νεκρῶν ξίφος *A*, ἐκ νεκρῶν λάβε ξίφος *a*, ἐκ νεκρῶν ξίφος ἥρπασε *L*, ἥρπασ' ἐκ νεκροῦ ξίφος *G* 1458 γρ. σὺν τέκνοις δὲ φιλτάτοις in marg. scr. *a* | ἐν δὲ τοῖς *E* 1459 γρ. καὶ ἄμφω τέκνα in marg. scr. *a* 1460 ὀρθῶς corr. in ὀρθὸς *B* | ὁ λαὸς *L* 1463 πατᾶξαι *A* | πρόσθε supra lineam add. *A*, πρόσθεν *L* | πολυνείκη *a*, πολυνείκην *r*

οἳ δ᾽ ὡς θανόντων οὐδαμοῦ νίκη πέλοι.
[κἀν τῷδ᾽ ὑπεξῆλθ᾽ Ἀντιγόνη στρατοῦ δίχα.]
οἳ δ᾽ εἰς ὅπλ᾽ ᾖσσον· εὖ δέ πως προμηθίᾳ
καθῆστο Κάδμου λαὸς ἀσπίδων ἔπι·
κἄφθημεν οὔπω τεύχεσιν πεφραγμένον
Ἀργεῖον ἐσπεσόντες ἐξαίφνης στρατόν.
κοὐδεὶς ὑπέστη, πεδία δ᾽ ἐξεπίμπλασαν
φεύγοντες, ἔρρει δ᾽ αἷμα μυρίων νεκρῶν
λόγχαις πιτνόντων. ὡς δ᾽ ἐνικῶμεν μάχῃ,
οἳ μὲν Διὸς τρόπαιον ἵστασαν βρέτας,
οἳ δ᾽ ἀσπίδας συλῶντες Ἀργείων νεκρῶν
σκυλεύματ᾽ εἴσω τειχέων ἐπέμπομεν.
ἄλλοι δὲ τοὺς θανόντας Ἀντιγόνης μέτα
νεκροὺς φέρουσιν ἐνθάδ᾽ οἰκτίσαι φίλοις.
πόλει δ᾽ ἀγῶνες οἳ μὲν εὐτυχέστατοι
τῇδ᾽ ἐξέβησαν, οἳ δὲ δυστυχέστατοι.

ΧΟ. οὐκ εἰς ἀκοὰς ἔτι δυστυχία
δώματος ἥκει· πάρα γὰρ λεύσσειν
πτώματα νεκρῶν τρισσῶν ἤδη
τάδε πρὸς μελάθροις κοινῷ θανάτῳ
σκοτίαν αἰῶνα λαχόντων.

ΑΝΤΙΓΟΝΗ.

οὐ προκαλυπτομένα βοτρυχώδεος
ἁβρὰ παρηίδος οὐδ᾽ ὑπὸ
παρθενίας τὸν ὑπὸ βλεφάροις
φοίνικ᾽ ἐρύθημα προσώπου
αἰδομένα φέρομαι βάκχα νεκύων,
κράδεμνα δικοῦσα κόμας ἀπ᾽ ἐμᾶς,

1464 *πέλει aBG οι* super *ει* scr. *b* 1465 *ὑπεξῆλθε A* | versum delevit Valckenaer 1466 *ἤϊσσον AaBL* 1468 *τεύχεσι BES* | *πεφαργμένον* Dindorf 1472 *πιτνόντων*] *ών* super *όν* scr. *b*, *πιπτόντων G* 1473 *τροπαῖον* a^2, *τρόπαῖον E* 1476 *μετά BG* 1477 *φίλους S* 1478 sq. *τῇ μὲν .. οἵδ᾽ ἐξέβησαν, τῇ δὲ* Th. Kock | *δυστυχέστατοι*] *δυσποτμώτατοι* Nauck 1481 *λεύσειν BG* 1482 *γρ. σώματα B*
1485 *βοτρυχώδεος* in rec. libro, *βοστρυχώδεος OS* (*βοστρύχω δέος B*)
1488 *ἐρύθιμα B*, *ἐρύθημα* delet Burges 1489 *νεκύων*] *νεκρῶν A*
1490 *κήδεμνα* mut. in *κρήδεμνα L* | *δίκουσα A δικοῦσα* A^2

στολίδος κροκόεσσαν ἀνεῖσα τρυφάν,
ἁγεμόνευμα νεκροῖσι πολύστονον. αἰαῖ, ἰώ μοι.
ὦ Πολύνεικες, ἔφυς ἄρ' ἐπώνυμος, ὤμοι, Θήβαις·
σὰ δ' ἔρις — οὐκ ἔρις, ἀλλὰ φόνῳ φόνος —
Οἰδιπόδα δόμον ὤλεσε κρανθεῖσ'
αἵματι δεινῷ, αἵματι λυγρῷ.
τίνα προσῳδὸν
ἢ τίνα μουσοπόλον στοναχὰν ἐπὶ
δάκρυσι δάκρυσιν, ὦ δόμος ὦ δόμος,
ἀνακαλέσωμαι,
τρισσὰ φέρουσα τάδε σώματα σύγγονα,
ματέρα καὶ τέκνα, χάρματ' Ἐρινύος;
ἃ δόμον Οἰδιπόδα πρόπαν ὤλεσε,
τᾶς ἀγρίας ὅτε
δυσξύνετον ξυνετὸς μέλος ἔγνω
Σφιγγὸς ἀοιδοῦ σῶμα φονεύσας.
ἰώ μοι, πάτερ,
τίς Ἑλλὰς ἢ βάρβαρος ἢ
τῶν προπάροιθ' εὐγενετᾶν ἕτερος
ἔτλα κακῶν τοσῶνδ'
αἵματος ἁμερίου
τοιάδ' ἄχεα φανερά;

1491 στολίδος . . τρυφάν] Porson, στολίδα . . τρυφᾶς (τρυφάς *B*, τρυφῆς *L*) libri | κροκόεσαν *AG* 1492 ἀγεμόνευμα *Aa* | αἶ αἶ *AL*, αἲ αἲ *BE*, αἶ αἶ αἶ αἶ *G* 1494 ὤμοι *E*, ὤιμοι *c*, ὤμοι μοι *r* | Θήβαις] Hermann, θῆβαι libri 1495 σὰ] σὺ *E* 1496 ὤλεσεν *G* | κρανθεῖσ' schol. (τὸ τέλειον κρανθεῖσα), κρανθείσ' *B*, κρανθεὶς *r* 1497 τραύματι λυγρῷ Stadtmueller, fort. πτώματι λυγρῷ 1498 τίνα δὲ *G*, fort. τίν' ὄπα 1499 τίνα *L* α rescr. vel ex ο corr. *l* 1500 alterum ὦ om. *G* 1501 ἀνακαλέσομαι *B* ω super ο scr. *b*, ἀνακαλέσομαι *r* 1502 τάδε om. *EG* et φέρουσα πεσήματα Kirchhoff 1503 μρα *L* | ἐριννύος *E*, ἐριννύων *L* ων in ος mut. *l* 1504 αἳ *L* ἃ superscr. *l* | οἰδίποδα *BE*, οἰδίποδος *a* | ὤλεσεν *a*, ὤλεσαν *S*, sed αν erasum in *G* 1505 τὰς *B* corr. *b*, τὰς mut. in τᾶς *E* 1506 δυσξύνετον schol. (αἴνιγμα τὸ δυσξύνετον ἐκεῖνο), δυσξυνέτου *OS* (ὰ super ου scr. *A*) | ξυνετὸς in rec. libris, ξυνετὸν *OS* 1508 ἰώ μοι *EG*, ἰώ μοί μοι *r* 1509 fort. Ἑλλάδος ἢ βάρβαρος] τίς βάρβαρος *E* 1510 προπάροιθε *A*, προπάροιθεν *aBEG*, πάροιθεν *L* | εὐγενετῶν *L* 1511 ἔτλαν *B* ν del. *b* | τόσων δι' *aE* τόσωνδ' a^2 | 1511 post 1512 collocat Heath, fort. αἵματος ἁμετέρου (ἁμετέρου Kirchhoff) κακῶν τοσῶνδ' ἔτλα 1512 ἀμερίου *AB* et mut. in ἁμερίου *E*

τάλαιν' ὡς ἐλελίζει.
τίς ἄρ' ὄρνις ἢ δρυὸς ἢ ἐλάτας
ἀκροκόμοις ἀμφὶ κλάδοις
ἑζομένα μονομάτορος ὀδυρμοῖς
ἐμοῖς ἄχεσι συνῳδός;
αἴλινον αἰάγμασιν ἃ
τοῖσδε προκλαίω μονάδ' αἰῶ-
να διάξουσα τὸν ἀεὶ χρόνον ἐν
λειβομένοισιν δάκρυσιν [ἰαχήσω].
τίν' ἐπὶ πρῶτον ἀπὸ χαίτας
σπαραγμοῖσιν ἀπαρχὰς βάλω;
ματρὸς ἐμᾶς διδύμοι-
σι γάλακτος παρὰ μαστοῖς
ἢ πρὸς ἀδελφῶν
οὐλόμεν' αἰκίσματα νεκρῶν;
ὀτοτοτοῖ λεῖπε σοὺς δόμους,
ἀλαὸν ὄμμα φέρων,
πάτερ γεραιέ, δεῖξον,
Οἰδιπόδα, σὸν αἰῶνα μέλεον, ὃς ἐπὶ
δώμασιν ἀέριον σκότον ὄμμασι
σοῖσι βαλὼν ἕλκεις μακρόπνουν ζωάν.
κλύεις, ὦ κατ' αὐλὰν ἀλαίνων γεραιὸν
πόδ' ἢ δεμνίοις
δύστανος ἰαύων;

1514 ἐλείζει (λ superscr.) *B* | verba τάλαιν' ὡς ἐλελίζει fort. in v. 1517 transferenda sic scripta: ἀλαίνουσ' ἐλελιζ- 1515 τίς τ' ἆρ *a* | fort. εἴτ' ἐλάτας 1516 ἀμφὶ om. *A* 1516 sq. μονομάτερος ὀδυρμοῖς ἀμφὶ κλάδοις ἑζομένα μονομάτορος ὀδυρμοῖς *E* 1517 fort. ἀλαίνουσ', ἐλελιζομένα μονομάτορ' ὀδυρμὸν (vide ad v. 1514) | ἑζομένα om. *a* add. a^3, ἑζομένη *L* | μονομάτερος *AaBG* 1519 αἰλῖνον *B* αἴλίνων (sic) *b*, αἰλίνων a^3, fort. αἴλινον αἴλινον | αἰάγμασι *B* 1520 προσκλαίω *G* | μόνα δ' *Aa* (corr. a^3)*E* | αἰῶ Nauck 1522 λειβομένοισι *AaBEG* | δακρύοισιν in rec. libris | ἰαχήσω delevit Burges 1524 ἀπὸ] ἐπὶ *EG* 1525 σπαραγμοῖσιν ἀπαρχὰς om. *E* | βάλω] κάλω *G* 1526 ματέρος *G* | ἐν διδύμοισι *OS*, ἐν om. rec. libri 1527 μαστοῖς in rec. libro, μαστοῖσιν *OS*, νασμοῖς Musgrave 1528 fort. ἀδελφοῖν 1529 νεκρῶν] γρ. δισσῶν superscr. *A*, δισσῶν *G* 1530 ὀτοττοτοί *A*, ὀττοττοττοῖ *a*, ὀττοτοὶ ὀττοτοί *B*, ὀττοτοὶ ὀττοττοτοῖ *E*, ὀττοτοῖ *L*, ὀττοτοῖ ὀττοτοῖ *G* | λεῖπε *AaBL*, λίπε, superscr. εῖ, *E*, λίπε *G* 1534 δώμασιν] δάκρυσιν Hermann 1535 ἕλκεις *A* | μακρόνπνουν *A*, μακρόπονον Nauck | ζοάν *B*, ζωάν *r* 1537 πόδ' ἢ] Schoene, πόδα libri |

ΟΙΔΙΠΟΥΣ.

τί μ', ὦ παρθένε, βακτρεύμασι τυ-
φλοῦ ποδὸς ἐξάγαγες ἐς φῶς
λεχήρη σκοτίων ἐκ θαλάμων
οἰκτροτάτοισιν δακρύοισιν,
πολιὸν αἰθέρος ἀφανὲς εἴδωλον ἢ
νέκυν ἔνερθεν ἢ
πτανὸν ὄνειρον;

ΑΝ. δυστυχὲς ἀγγελίας ἔπος οἴσῃ,
πάτερ, οὐκέτι σοι τέκνα λεύσσει
φάος οὐδ' ἄλοχος, παραβάκτροις
ἃ πόδα σὸν τυφλόπουν θεραπεύμασιν αἰὲν ἐμόχθει,
ὦ πάτερ, ὤμοι.

ΟΙ. ὤμοι ἐμῶν παθέων· πάρα γὰρ στενάχειν τάδ', ἀυτεῖν.
τρισσαὶ ψυχαὶ ποίᾳ μοίρᾳ
πῶς ἔλιπον φάος, ὦ τέκνον, αὔδα.

ΑΝ. οὐκ ἐπ' ὀνείδεσιν οὐδ' ἐπιχάρμασιν,
ἀλλ' ὀδύναισι λέγω· σὸς ἀλάστωρ
ξίφεσιν βρίθων
καὶ πυρὶ καὶ σχετλίαισι μάχαις ἐπὶ παῖδας ἔβα σούς,
ὦ πάτερ, ὤμοι.

ΟΙ. αἰαῖ. *ΑΝ.* τί τάδε καταστένεις;

---

fort. 'ν δεμνίοις 1537 sq. δύστανον δεμνίοις *G* | δύστανος *L*, δύστανον *r* 1540 ἐξήγαγες a^2EG 1541 λεχήρει *a* λεχήρη a^2 1542 οἰκτροτάτοισι *aBEL*, οἰκτροτάτοις *G* | δάκρυσι *B*, δακρύοισι *aEL* 1543 αἰθέρος ἀφανὲς] αἰθεροφανὲς Weil 1545 ποτανὸν Seidler 1546 οἴσῃ] εἴσῃ Battier 1547 σοι] σὼ *E* λεύσει *BL* 1548 παραβάκτροις *c*, παρὰ βάκτροις *aG*, ἃ παρὰ βάκτροις *ABE*, ἡ παρὰ βάκτροις *L* 1549 ἃ om. *E* | θεραπεύμασι *A* | in marg. γρ. πόδα σὸν τυφλὸν θεραπεύμασιν ἐμόχθει *a* 1550 ὦ om. libri, add. Hermann | ὤιμοι *A*, ᾤμοι *aE* 1550 sq. *ΟΙ.* ante prius ὤμοι praefigunt, ante alterum om. *LG* 1551 ὤμοι ἐμῶν *EG*, ὤμοι μοι ἐμῶν *AaL* γρ. ὢ μοι ἐγὼ παθέων adscr. *A* | παρά *L* | στοναχαῖς τάδ' αὐτεῖν Geel, malim στενάχειν τάδ' ἀυτῇ 1553 ποίᾳ μοίρᾳ (μοῖρα *A*)] γρ. μιᾷ μοίρᾳ superscr. *a* 1555 ὀνειδίσεσιν *E*, ὀνείδεσσιν *L* | ἐπὶ χάρμασιν *aE* 1556 σὸς] metricus codicis Kingiani (Triclinius), ὁ σὸς libri 1557 ξίφεσιν *A*, ξίφεσι *r* 1558 σχετλίαισιν, superscr. γρ. καὶ φονίαισι μάχαις, *a*, φονίαις *G*, fort. σχετλίοισι 1559 ὦ πάτερ, ὤμοι. *ΟΙ.* αἰαῖ] Hermann, ὦ πάτερ. *ΟΙ.* ἰώ μοι αἶ αἶ (vel αἲ αἴ) libri (ἰώ μοι bis *E*), γρ. ὤμοι ἐγώ in marg. adscr. *A* 1560 τί delet Hartung

ΟΙ. τέκνα. ΑΝ. δι' ὀδύνας ἔβας,
εἰ τὰ τέθριππά γ' ἔθ' ἅρματα λεύσσων
ἀελίου τάδε σώματα νεκρῶν
ὄμματος αὐγαῖς σαῖς ἐπενώμας.
ΟΙ. τῶν μὲν ἐμῶν τεκέων φανερὸν κακόν·
ἁ δὲ τάλαιν' ἄλοχος τίνι μοι, τέκνον, ὤλετο μοίρᾳ;
ΑΝ. δάκρυα γοερὰ φανερὰ πᾶσι τιθεμένα,
τέκεσι μαστὸν
ἔφερεν ἔφερεν ἱκέτις ἱκέτιν ὀρομένα.
ηὗρε δ' ἐν Ἠλέκτραισι πύλαις τέκνα
λωτοτρόφον κατὰ λείμακα
λόγχαις κοινὸν ἐνυάλιον
μάτηρ, ὥστε λέοντας ἐναύλους,
μαρναμένους ἐπὶ τραύμασιν, αἵματος
ἤδη ψυχρὰν λοιβὰν φονίαν,
ἂν ἔλαχ' Ἅιδας, ὤπασε δ' Ἄρης·
χαλκόκροτον δὲ λαβοῦσα νεκρῶν πάρα φάσγανον εἴσω
σαρκὸς ἔβαψεν, ἄχει δὲ τέκνων ἔπεσ' ἀμφὶ τέκνοισι.
πάντα δ' ἐν ἄματι τῷδε συνάγαγεν,
ὦ πάτερ, ἁμετέροισι δόμοισιν ἄχη θεὸς
ὃς τάδε τελευτᾷ.

ΧΟ. πολλῶν κακῶν κατῆρξεν Οἰδίπου δόμοις
τόδ' ἦμαρ· εἴη δ' εὐτυχέστερος βίος.

1561 δι' ὀδύνας ἂν in rec. libris, cfr. schol. λείπει ἡ ἄν, ἵν' ᾖ· δι' ὀδύνας ἂν ἔβης, unde δι' ὀδύνας δ' ἂν F. Polle 1562 τέρθριππα *A*, τέθριπα *B* | γ' ἔθ'] Seidler, γ' ἐς libri | λεύσων *BL* 1564 ἐπένωμας *B* corr. *b* 1566 μοι om. *E* | μοῖρα *A* 1567 φανερὰ γοερὰ *G* | πᾶσι] παισὶ *E* 1569 ἱκέτιν *A*, ἱκέτιν *G*, ἱκέταν *B*, ἱκέτην *aEL* ὀρομένα γρ. αἰρομένα *A*, αἰρομένα *B* (ὀ super αἰ et ω super ο scr. *b*), ὀρωμένα *E* et ut vid. *a*, αιρομένα et in marg. γρ. καὶ αἰρομένα *a*, αἰρομένα *S* (cfr. schol. γράφεται δὲ καὶ ὀρομένα ὅ ἐστιν ὀρούουσα καὶ προτείνουσα τὸν μαστόν), ὀρμένα Musgrave 1570 εὗρε libri | ἐν] ἐπ' Herwerden 1572 ἐνυάλιαν *A* 1573 μῆρ *L*, μήτηρ *G* | λέοντε συναύλω Porson 1574 bis scr. (in duabus paginis) *B*, semel del. linea transf. *b* | τραύμασι *E* 1575 φονίαν *B* (ι super ον scr. *b*) *S*, φοινίαν *AaE* 1576 ἂν *A*, ἣν *G* | ἀΐδας *OS* 1578 ἔβαψεν *G*, ἔπεμψεν *aB* superscr. γρ. ἔβαψεν schol., ἔβαλεν *A*, ἔπεμψεν *EL* | ἄχ* *A*, ἄχη *B* (γρ. ἄγχι superscr. *b*), ἄχει *r* (ἄγχι a^2) | ἀμφὶ νεκροῖσιν Markland 1579 ἄματι *A*, ἅματι *B*, ἅμτι *L*, ἤματι *E* et *a*, sed ἤ in ras. scr. a^2 (fuit ἁ vel αἰ), αἵματι *G* | συνάγαγε *G*, συνήγαγεν *r* 1580 δώμασιν *B EL* (δόμοισιν *b*) 1582 inde ab hoc versu partem fabulae extremam

ΚΡ. οἴκτων μὲν ἤδη λήγεθ᾽, ὡς ὥρα τάφου
μνήμην τίθεσθαι· τόνδε δ᾽, Οἰδίπου, λόγον
ἄκουσον· ἀρχὰς τῆσδε γῆς ἔδωκέ μοι
Ἐτεοκλέης παῖς σός, γάμων φερνὰς διδοὺς
Αἵμονι κόρης τε λέκτρον Ἀντιγόνης σέθεν.
οὔκουν σ᾽ ἐάσω τήνδε γῆν οἰκεῖν ἔτι·
σαφῶς γὰρ εἶπε Τειρεσίας οὐ μή ποτε
σοῦ τήνδε γῆν οἰκοῦντος εὖ πράξειν πόλιν.
ἀλλ᾽ ἐκκομίζου. καὶ τάδ᾽ οὐχ ὕβρει λέγω
οὐδ᾽ ἐχθρὸς ὤν σοι, διὰ δὲ τοὺς ἀλάστορας
τοὺς σοὺς δεδοικὼς μή τι γῆ πάθῃ κακόν.
ΟΙ. ὦ μοῖρ᾽, ἀπ᾽ ἀρχῆς ὥς μ᾽ ἔφυσας ἄθλιον
καὶ τλήμον᾽, εἴ τις ἄλλος ἀνθρώπων ἔφυ·
ὃν καὶ πρὶν ἐς φῶς μητρὸς ἐκ γονῆς μολεῖν,
ἄγονον Ἀπόλλων Λαΐῳ μ᾽ ἐθέσπισεν
φονέα γενέσθαι πατρός· ὦ τάλας ἐγώ.
ἐπεὶ δ᾽ ἐγενόμην, αὖθις ὁ σπείρας πατὴρ
κτείνει με νομίσας πολέμιον πεφυκέναι·
χρῆν γὰρ θανεῖν νιν ἐξ ἐμοῦ· πέμπει δέ με
μαστὸν ποθοῦντα θηρσὶν ἄθλιον βοράν·
οὗ σῳζόμεσθα. Ταρτάρου γὰρ ὤφελεν
ἐλθεῖν Κιθαιρὼν εἰς ἄβυσσα χάσματα.
ὅς μ᾽ οὐ διώλεσ᾽, ἀλλὰ δουλεῦσαί τέ μοι
δαίμων ἔδωκε Πόλυβον ἀμφὶ δεσπότην.

---

ab Euripide abiudicat H. Leidloff (1595--1626 damnavit Paley, inde a v. 1747 clausulam additiciam pronuntiavit auctore Boeckhio Hartung), fort. versui 1581 subiungendi ut genuini v. 1747—1757, his versus 1728—1731 | *ὑπῆρξεν οἰδίπου κακῶν G* | *οἰδιπόδου A* | *δόμος BL* (*οις* super *ος* scr. *b*), schol. *γρ. ἢ τέκνοις ἢ γένει* 1585 *τόνδε δ᾽ . . λόγον L*, *τῶνδε δ᾽* (*τῶνδ᾽ BG*) . . *λόγων r* 1587 *διδοῦσ᾽ A* corr. A^2
1588 *αἵμονι AE* | *λέκτρων B* 1589 *οὐκοῦν B οὔκουν b* 1593 *σοι c*, *σὸς OS* 1596 delet Apitz 1597 *μητρὸς* om. *S* add. *l*, fort. *νηδύος σκότου μολεῖν*, cfr. Aesch. Eum. 668 | post *μολεῖν* add. *ποτε G* 1599 superscr. *γρ. καὶ πατρὸς ὅς μ᾽ ἐγείνατο* et in marg. *γρ. μητρί τ᾽ ἀναβῆναι λέχος a* (haec lectio referenda videtur ad *πατρός τ᾽ Ἀπόλλων . . ἐθέσπισεν φονέα γενέσθαι μητρί τ᾽ ἀναβῆναι λέχος*) 1601 *πεφυκέναι EG*, *δυσδαίμονα AaBL*, superscr. *γρ. πεφυκέναι* schol. in *AB*
1602 *νιν* om. *Aa* 1604 *σῳζόμεσθα a*, *σωζόμεθα L*, *σωζόμεσθα r* | *ταρτάρω a ου* super *ω* scr. a^3 1606 sq. delet Hartung 1606 *ὥς μ᾽* (posterior pars literae *ω* nunc paululum erasa) *A* | *διώλεσεν L* | *τέ με E*
1606 sq. fort. *δουλεύσοντά με* (sic scr. Porson) *δαίμων ἔσῳζε* 1607 *δέδωκε E* | *πούλυβον G*

κτανὼν δ' ἐμαυτοῦ πατέρ' ὁ δυσδαίμων ἐγὼ
ἐς μητρὸς ἦλθον τῆς ταλαιπώρου λέχος,
παῖδάς τ' ἀδελφοὺς ἔτεκον, οὓς ἀπώλεσα,
ἀρὰς παραλαβὼν Λαΐου καὶ παισὶ δούς.
οὐ γὰρ τοσοῦτον ἀσύνετος πέφυκ' ἐγὼ
ὥστ' εἰς ἔμ' ὄμματ' ἔς τ' ἐμῶν παίδων βίον
ἄνευ θεῶν του ταῦτ' ἐμηχανησάμην.
εἶεν· τί δράσω δῆθ' ὁ δυσδαίμων ἐγώ;
τίς ἡγεμών μοι ποδὸς ὁμαρτήσει τυφλοῦ;
ἥδ' ἡ θανοῦσα; ζῶσά γ' ἂν σάφ' οἶδ' ὅτι.
ἀλλ' εὔτεκνος ξυνωρίς; ἀλλ' οὐκ ἔστι μοι.
ἀλλ' ἔτι νεάζων αὐτὸς εὕροιμ' ἂν βίον;
πόθεν; τί μ' ἄρδην ὧδ' ἀποκτείνεις, Κρέον;
ἀποκτενεῖς γάρ, εἴ με γῆς ἔξω βαλεῖς.
οὐ μὴν ἑλίξας γ' ἀμφὶ σὸν χεῖρας γόνυ
κακὸς φανοῦμαι· τὸ γὰρ ἐμόν ποτ' εὐγενὲς
οὐκ ἂν προδοίην, οὐδέ περ πράσσων κακῶς.

ΚΡ. σοί τ' εὖ λέλεκται γόνατα μὴ χρῴζειν ἐμὰ
ἐγώ τε ναίειν σ' οὐκ ἐάσαιμ' ἂν χθόνα.
νεκρῶν δὲ τῶνδε τὸν μὲν ἐς δόμους χρεὼν
ἤδη κομίζειν, τόνδε δ', ὃς πέρσων πόλιν
πατρίδα σὺν ἄλλοις ἦλθε, Πολυνείκους νέκυν
ἐκβάλετ' ἄθαπτον τῆσδ' ὅρων ἔξω χθονός.
κηρύξεται δὲ πᾶσι Καδμείοις τάδε·
ὃς ἂν νεκρὸν τόνδ' ἢ καταστέφων ἁλῷ
ἢ γῇ καλύπτων, θάνατον ἀνταλλάξεται.

1608 δ'] θ' *a* 1610 τ'] δ' *E* 1613 ἐμὸν *A* 1614 του ταῦθ' *L*, τοῦ ταῦτ' *r* (τοῦτ' αὖ τ' *E*, τινός super τοῦ scr. schol. *B*) 1617 ζῶσα γὰρ *aE* γρ. ζῶσα γ' ἂν in marg. *a* 1618 ἔστ' ἔτι Kirchhoff 1619 αὐτὸς om. *B* | βῖον *A* 1620 ἀποκτείνεις *S*, ἀποκτενεῖς *O* 1621 βάλης, scr. εῖς super ης, *E* | versum delet Kirchhoff 1622 ἑλίξας *A* | γ' om. *BE* | fort. χέρας 1624 οὐδέ περ] καίπερ *L* 1625 ο/χ praef. *E* mut. in κρ (ε superscr.) *E*² | χρήζειν *L* 1626 ἐγώ τε *B*, ἐγὼ δὲ *r* 1627 νεκρὼ δὲ τώδε Elmsley | δὲ om. *L* 1628 ἤδη] γρ. δμῶας superscr. *A*, γρ. καὶ δμῶας *b* | πέσων corr. in πέρσων *A* 1629 πολυνείκην χθόνα *B* (κους super κην et γρ. νέκυν super χθόνα scr. *b*), πολυνείκους νέκυν *r* (ους νέκυν in ras. *G*) 1630 ἐκβάλλετ' *S* 1631 κηρύξετε *B* (αι super ε scr. *b*) *E*, κηρύξατε *aS* κηρύξεται *a*² κηρύξετε *l* 1632 νεκρῶν *L*

[ἐᾶν δ' ἄκλαυτον, ἄταφον, οἰωνοῖς βοράν.]
σὺ δ' ἐκλιποῦσα τριπτύχους θρήνους νεκρῶν
κόμιζε σαυτήν, Ἀντιγόνη, δόμων ἔσω
καὶ παρθενεύου τὴν ἰοῦσαν ἡμέραν
μένουσ' ἐν ᾗ σε λέκτρον Αἵμονος μένει.
AN. ὦ πάτερ, ἐν οἵοις κείμεθ' ἄθλιοι κακοῖς.
ὥς σε στενάζω τῶν τεθνηκότων πλέον·
οὐ γὰρ τὸ μέν σοι βαρὺ κακῶν, τὸ δ' οὐ βαρύ,
ἀλλ' εἰς ἅπαντα δυστυχὴς ἔφυς, πάτερ.
ἀτὰρ σ' ἐρωτῶ τὸν νεωστὶ κοίρανον·
τί τόνδ' ὑβρίζεις πατέρ' ἀποστέλλων χθονός;
τί θεσμοποιεῖς ἐπὶ ταλαιπώρῳ νεκρῷ;
KP. Ἐτεοκλέους βουλεύματ', οὐχ ἡμῶν, τάδε.
AN. ἄφρονά γε, καὶ σὺ μῶρος ὃς ἐπίθου τάδε.
KP. πῶς; τἀντεταλμέν' οὐ δίκαιον ἐκπονεῖν;
AN. οὔκ, ἢν πονηρά γ' ᾖ κακῶς τ' εἰρημένα.
KP. τί δ'; οὐ δικαίως ὅδε κυσὶν δοθήσεται;
AN. οὐκ ἔννομον γὰρ τὴν δίκην πράσσεσθέ νιν.
KP. εἴπερ γε πόλεως ἐχθρὸς ἦν οὐκ ἐχθρὸς ὤν.
AN. οὐκοῦν ἔδωκε τῇ τύχῃ τὸν δαίμονα.
KP. καὶ τῷ τάφῳ νυν τὴν δίκην παρασχέτω.
AN. τί πλημμελήσας, τὸ μέρος εἰ μετῆλθε γῆς;
KP. ἄταφος ὅδ' ἀνήρ, ὡς μάθῃς, γενήσεται.

1634 δὲ *E* | ἄκλαυτον *L* et ut vid. *a*, ἄκλαυστον a^2*r* | ἄθαπτον *EG* | versum delevit Valckenaer ut ex Soph. Ant. 29 illatum 1635 τριπτύχους θρήνους νεκρῶν] τριπτύχους τύπους νεκρῶν *E*, γρ. τριπτύχων νεκρῶν γόους superscr. *A* in marg. scr. *a* 1637 sq. delet Dindorf 1637 τὴν '*ϊοῦσαν *L* (duas tresve literas ante ϊ erasit *l*), τὴν ἐπιοῦσαν *aG*, τὴν εἰσιοῦσαν *O* 1638 μένει *B* mut. in μενεῖ *b*, μένεῖ *aG* 1639 κείμεσθ' *B* | ἄθλιοι] Barnes, ἀθλίοις libri (ἀθέτοις *h*) 1641 κακὸν mut. in κακῶν *a* | τὸ δ'] τόδ' *ES* 1643 αὐτὰρ *A* | κοίρανον *A*, κύραννον *B*, κύ in τύ mut. alia manus, κοί super ρα scr. *b*, κοίρανον *L*, sed κοίρ in ras. scr. *l*, τύραννον *h* 1644 delet Valckenaer 1647 μωρὸς *AB* | ἐπίθου *BL*, ἐπείθου *br* 1648 τἀντεταλμέν' *G*, sed τἀν ex τὰ corr. *g* | οὐχὶ *L* | ἐκτελεῖν *G* 1649 *AN.* om. *B* add. *b* | οὔ. ἣν πόνηρά γ' *L* | ηὑρημένα Blaydes 1650 ὅδε] ὅ γε *a* | κυσὶ *BES* ν add. *l* 1651 γὰρ] δὲ cod. Thessalonic. | fort. πράξεσθε 1652 οὐκ ἐχθρὰ δρῶν F. Gu. Schmidt 1653 οὔκοῦν *a*, οὔκουν *B* corr. *b* | ἔδωκε τὴν δίκην τῷ δαίμονι Pierson 1654 νῦν libri 1655 πλημελήσας *S* corr. *g* 1656 in textu om., in marg. add. *B* | ἀνὴρ] Porson, ἀνὴρ libri | μανθάνης *E*

ΑΝ. ἐγώ σφε θάψω, κἂν ἀπεννέπῃ πόλις.
ΚΡ. σαυτὴν ἄρ' ἐγγὺς τῷδε συνθάψεις νεκρῷ.
ΑΝ. ἀλλ' εὐκλεές τοι δύο φίλω κεῖσθαι πέλας.
ΚΡ. λάζυσθε τήνδε κἀς δόμους κομίζετε.
ΑΝ. οὐ δῆτ', ἐπεὶ τοῦδ' οὐ μεθήσομαι νεκροῦ.
ΚΡ. ἔκριν' ὁ δαίμων, παρθέν', οὐχ ἃ σοὶ δοκεῖ.
ΑΝ. κἀκεῖνο κέκριται, μὴ 'φυβρίζεσθαι νεκρούς.
ΚΡ. ὡς οὔτις ἀμφὶ τῷδ' ὑγρὰν θήσει κόνιν.
ΑΝ. ναὶ πρός σε τῆσδε μητρὸς Ἰοκάστης, Κρέον.
ΚΡ. μάταια μοχθεῖς· οὐ γὰρ ἂν τύχοις τάδε.
ΑΝ. σὺ δ' ἀλλὰ νεκρῷ λουτρὰ περιβαλεῖν μ' ἔα.
ΚΡ. ἓν τοῦτ' ἂν εἴη τῶν ἀπορρήτων πόλει.
ΑΝ. ἀλλ' ἀμφὶ τραύματ' ἄγρια τελαμῶνας βαλεῖν.
ΚΡ. οὐκ ἔσθ' ὅπως σὺ τόνδε τιμήσεις νέκυν.
ΑΝ. ὦ φίλτατ', ἀλλὰ στόμα γε σὸν προσπτύξομαι.
ΚΡ. οὐκ ἐς γάμους σοὺς συμφορὰν κτήσῃ γόοις;
ΑΝ. ἦ γὰρ γαμοῦμαι ζῶσα παιδὶ σῷ ποτε;
ΚΡ. πολλή σ' ἀνάγκη· ποῖ γὰρ ἐκφεύξῃ λέχος;
ΑΝ. νὺξ ἆρ' ἐκείνη Δαναΐδων μ' ἕξει μίαν.
ΚΡ. εἶδες τὸ τόλμημ' οἷον ἐξωνείδισεν;
ΑΝ. ἴστω σίδηρος ὅρκιόν τέ μοι ξίφος.
ΚΡ. τί δ' ἐκπροθυμῇ τῶνδ' ἀπηλλάχθαι γάμων;
ΑΝ. συμφεύξομαι τῷδ' ἀθλιωτάτῳ πατρί.
ΚΡ. γενναιότης σοι, μωρία δ' ἔνεστί τις.
ΑΝ. καὶ ξυνθανοῦμαί γ', ὡς μάθῃς περαιτέρω.
ΚΡ. ἴθ', οὐ φονεύσεις παῖδ' ἐμόν, λίπε χθόνα.
ΟΙ. ὦ θύγατερ, αἰνῶ μέν σε τῆς προθυμίας.
ΑΝ. ἀλλ' εἰ γαμοίμην, σὺ δὲ μόνος φεύγοις, πάτερ;

1658 ἆρ *A a* 1659 τοι] τι *S* | δύω *ABS* 1660 λάζυσθε *a E* (υ in ras. scr. *E* οι superscr. *E*[2]) *S*, λάζοισθε *AB* | κεὶ *A*, κεὶς *r* 1662 ἃ] ὡς *L* | ἅ σοι *E* 1663 κἀκεῖνο *L*, sed ο rescr. vel ex α corr. *l* | μὴ 'φυβρίζεσθαι *G* 1664 θήσῃ *L* 1666 τύχῃς *L* 1667 λουτρὰ νεκρῷ *BE* 1668 ἓν ἂν τοῦτ' ἂν εἴη *E* 1670 τιμήσῃς *a* 1671 σῶμα σὸν cod. Thessalonic. | γε om. *B* 1672 οὐκ] οὐ μὴ Kirchhoff, fort. σὺ δ' | γόου *G* 1673 ἢ *AB* (ἦ *b*) | σῷ παιδὶ *G* 1674 ποῖ φεύξῃ γὰρ ὁ λέχος *h* 1675 ἆρ' *L*, ἄρ' vel ἂρ *r* | δαναιδῶν *a* (δαναίδων *a*[2]) *BEG* | μ' om. *E* | μία *AB* (μίαν *b*) 1676 ἐξωνείδισεν] fort. ἐξεδένυασεν 1678 ἀπαλλάχθαι *G* 1681 περαιτέρῳ *a* 1682 λεῖπε *B* 1684 εἰ in ἢ mut. *a*[2] | δὲ om. *G* | φεύγοις *A*, φεύγεις *r*

ΟΙ. μέν' εὐτυχοῦσα, τἄμ' ἐγὼ στέρξω κακά.
ΑΝ. καὶ τίς σε τυφλὸν ὄντα θεραπεύσει, πάτερ;
ΟΙ. πεσὼν ὅπου μοι μοῖρα κείσομαι πέδῳ.
ΑΝ. ὁ δ' Οἰδίπους ποῦ καὶ τὰ κλείν' αἰνίγματα;
ΟΙ. ὄλωλ'· ἓν ἦμάρ μ' ὤλβισ', ἓν δ' ἀπώλεσεν.
ΑΝ. οὔκουν μετασχεῖν κἀμὲ δεῖ τῶν σῶν κακῶν;
ΟΙ. αἰσχρὰ φυγὴ θυγατρὶ σὺν τυφλῷ πατρί.
ΑΝ. οὔ, σωφρονούσῃ γ', ἀλλὰ γενναία, πάτερ.
ΟΙ. προσάγαγέ νύν με, μητρὸς ὡς ψαύσω σέθεν.
ΑΝ. ἰδού, παρειᾶς φιλτάτης ψαῦσον χερί.
ΟΙ. ὦ μῆτερ, ὦ ξυνάορ' ἀθλιωτάτη.
ΑΝ. οἰκτρὰ πρόκειται, πάντ' ἔχουσ' ὁμοῦ κακά.
ΟΙ. Ἐτεοκλέους δὲ πτῶμα Πολυνείκους τε ποῦ;
ΑΝ. τώδ' ἐκτάδην σοι κεῖσθον ἀλλήλοιν πέλας.
ΟΙ. πρόσθες τυφλὴν χέρ' ἐπὶ πρόσωπα δυστυχῆ.
ΑΝ. ἰδού, θανόντων σῶν τέκνων ἅπτου χερί.
ΟΙ. ὦ φίλα πεσήματ' ἄθλι' ἀθλίου πατρός.
ΑΝ. ὦ φίλτατον δῆτ' ὄνομα Πολυνείκους ἐμοί.
ΟΙ. νῦν χρησμός, ὦ παῖ, Λοξίου περαίνεται.
ΑΝ. ὁ ποῖος; ἀλλ' ἦ πρὸς κακοῖς ἐρεῖς κακά;
ΟΙ. ἐν ταῖς Ἀθήναις κατθανεῖν μ' ἀλώμενον.
ΑΝ. ποῦ; τίς σε πύργος Ἀτθίδος προσδέξεται;
ΟΙ. ἱερὸς Κολωνός, δώμαθ' ἱππίου θεοῦ.

1685 sq. in marg. scr. *B* 1685 τἄμ' ἐγὼ rescr. *l*, τἀμὰ δὲ *G* 1686 καὶ τίς σε rescr. *l* 1687 ὅπα *A* | πέδῳ *ABL*, θανὼν *EG* superscr. *B*, fort. πέδοι 1688 sq. personarum notas om. *G* | ὅδ' *E* | ποῦ corr. ex σοῦ *A* 1689 ὄλωμ' *A* (ϊ super ω scriptum signum est ad quod scholion referendum) | μ' om. *BE*, erasum in *G* | ὤλβισεν *S* | schol. γρ. ἠδ' ἀπώλεσεν· τὸ δὲ ἠδέ ἀντὶ τοῦ καί | ἀπώλεσε *A* 1690 οὐκοῦν *A*, οὐκοῦν *aBS* | κἀμὲ δεῖ in rec. libris, δεῖ κἀμὲ *OS* 1691 αἰσχρὸν Valckenaer | πατρὶ τυφλῷ *BS* 1692 γ' rescr. vel corr. *l* | γενναίαι *A* et mut. in γενναία *a*, γενναῖον Valckenaer 1693 πρόσαγε *G* | νῦν fere libri | fort. με μητρὸς ὡς ψαύσω πέλας 1694 παρειᾶς] F. Gu. Schmidt, γεραιᾶς libri 1695 ξυνάορ *aBL* ξυνάορ' *a*²*b*, ξυνᾶορ *l* 1697 πτῶμα] σῶμα superscr. *a*² 1698 τῶδ' *L* | κείσθω *B* (accentum mut. et ο super ω scr. *b*) et corr. in κεῖσθον *G* | ἀλλήλων *E* 1699 πρόσθε *a* πρόσθες *a*² | χέρ' *EL*, χεῖρ' *r* | δυστυχῆ] δίπτυχα Blaydes 1701 ἄθλια *L*, ἄθλι' om. et post πατρὸς add. τέκνα *G* 1702 δὴ πτῶμα Stadtmueller 1704 ἀλλ' ἢ *ABE* ἄλλ' ἦ *b* 1705 μ' om. *L* | ἀλώμενον *AG* et ex ἀλώμενον corr. *L* 1707 δώμα∗θ' *B* (inter α et θ' elutum est θ' *i*), δῶμα θ' *EG* | ἱππίου *EG*, ἱππείου *r*

ἀλλ' εἶα, τυφλῷ τῷδ' ὑπηρέτει πατρί,
ἐπεὶ προθυμῇ τῆσδε κοινοῦσθαι φυγῆς.

ΑΝ. ἴθ' ἐς φυγὰν τάλαιναν· ὄρεγε χέρα φίλαν,
πάτερ γεραιέ, πομπίμαν
ἔχων ἔμ' ὥστε ναυσίπομπον αὔραν.
ΟΙ. ἰδοὺ πορεύομαι, τέκνον,
σύ μοι ποδαγὸς ἀθλία γενοῦ.
ΑΝ. γενόμεθα γενόμεθ' ἄθλιαί
γε δῆτα Θηβαιᾶν μάλιστα παρθένων.
ΟΙ. πόθι γεραιὸν ἴχνος τίθημι;
βάκτρα πρόσφερ', ὦ τέκνον.
ΑΝ. τᾷδε τᾷδε βᾶθί μοι,
τᾷδε τᾷδε πόδα τίθει
ὥστ' ὄνειρον ἰσχύν.
ΟΙ. ἰὼ ἰώ, δυστυχεστάτας φυγὰς
ἐλαύνων τὸν γέροντά μ' ἐκ πάτρας.
ἰὼ ἰώ, δεινὰ δείν' ἐγὼ τλάς.
ΑΝ. τί τλάς; τί τλάς; οὐχ ὁρᾷ Δίκα κακούς,
οὐδ' ἀμείβεται βροτῶν ἀσυνεσίας.
ΟΙ. ὅδ' εἰμὶ μοῦσαν ὃς ἐπὶ καλ-
λίνικον οὐράνιον ἔβαν
παρθένου κόρας αἴ-
νιγμ' ἀσύνετον εὑρών.

1708 εἴα *BEG* | τῶι *A* | πατρί] ποδί *L* 1710 χέρα] Hermann, χεῖρα libri 1712 ἔχων ἔμ'] ἔχ εμ' *G* 1714 τέκον *B* corr. *b* 1715 σύ μου *A* | σὺ ποδαγός *S*, γω super αγ scr. *G*, σύ μοι ποδηγὸς *E*, σύ μοι ποδαγὸς *a* η super α scr. *a*² | ἀθλίου scripto α super ου *L* 1716 γενόμεθα γενόμεθ' *AaL* in marg. γρ. γενόμεθα, ἀττικὸν δὲ τὸ μετὰ τοῦ σ̄ α, γενόμεσθα γενόμεσθ' *B*, γενόμεσθ' ἐγενόμεσθ' *E*, γενόμεσθα γενόμεσθα *G* | ἄθλιοι Porson 1717 δῆτα om. *G* | θηβαιᾶν *F* (ων super ᾶν scr. man. sec.), θηβαῖαν *A*, θηβαιὰν *a*, θηβαίων *BEL*, θηβαιῶν *bG* | παρθένων *cG*, παρθένων δή *r* 1718 γηραιὸν *L* 1721 τᾷδε τᾷδε πόδα τίθει πάτερ *aE*, τᾷδε τᾷδε τίθει πόδα *L*, τᾷδε πόδα τίθει πάτερ *G* 1722 οἰδ praescr. *B* delevit *b* | ὥστ' ὄνειρον] fort. ἀντόνειρον | ἰσχύν] Hermann, ἰσχὺν ἔχων libri (ἔχων ἰσχύν mut. in ἰσχὺν ἔχων *E*) 1723 ἰὼ ἰὼ δεινᾶς *G* | φυγὰς] φυγᾶς *OS* 1724 ἐλαύνων] ἀλαίνειν Musgrave 1725 δεινὰ δεῖν' ἐγὼ τλὰς *G*, δεινὰ ἐγὼ τλάς *AaB*, ἐγὼ δεινὰ τλάς *EL* 1727 om. *G* 1729 οὐράνιον *EcG* (τ' supra v. scr. *E*), οὐράνιόν τ' *r* 1730 κόρης *E* 1731 αἴνιγμα συνετὸν *G*

AN. Σφιγγὸς ἀναφέρεις ὄνειδος.
ἄπαγε τὰ πάρος εὐτυχήματ' αὐδῶν.
τάδε σ' ἐπέμενε μέλεα πάθεα
φυγάδα πατρίδος ἄπο γενόμενον,
ὦ πάτερ, θανεῖν που.
ποθεινὰ δάκρυα παρὰ φίλαισι παρθένοις
λιποῦσ' ἄπειμι πατρίδος ἀποπρὸ γαίας
ἀπαρθένευτ' ἀλωμένα.
φεῦ τὸ χρήσιμον φρενῶν
ἐς πατρός γε συμφορὰς
εὐκλεᾶ με θήσει·
τάλαιν' ἐγὼ ⟨σῶν⟩ συγγόνου θ' ὑβρισμάτων,
ὃς ἐκ δόμων νέκυς ἄθαπτος οἴχεται
μέλεος, ὅν, εἴ με καὶ θανεῖν, πάτερ, χρεών,
σκότια γᾷ καλύψω.
OI. πρὸς ἥλικας φάνηθι σάς.
AN. ἅλις ὀδυρμάτων ἐμῶν.
OI. σὺ δ' ἀμφὶ βωμίους λιτάς.
AN. κόρον ἔχουσ' ἐμῶν κακῶν.
OI. ἴθ' ἀλλὰ Βρόμιος ἵνα τε ση-
κὸς ἄβατος ὄρεσι μαινάδων.
AN. Καδμείαν ᾧ
νεβρίδα στολιδωσαμένα ποτ' ἐγὼ
Σεμέλας θίασον
ἱερὸν ὄρεσιν ἀνεχόρευσα,

1734 *τὰ δέ AB* (*τάδε* b), *τάδέ EL* 1736 *ποι G* 1738 *ἄπο-προ* vel *ἀπόπρο* vel *ἄπο πρὸ* libri 1739 *ἀλωμένα A* 1740 Oed. et 1741 Ant. notas praefigunt libri, at schol. *τινὲς καὶ τοῦτο τῆς Ἀντιγόνης* | *φεῦ φεῦ L* 1741 *εἰς* mut. in *εἰ E* | *συμφορᾶς A* 1742 *εὐκλέα A* | *μεθήσει AaB*, *με θήση L*, *με θήσειν G* 1743 *τάλαινα AaB* | *σῶν* om. libri, add. Matthiae (*σοῦ* Musgrave), cfr. schol. *ἀθλία εἰμὶ ἕνεκα τῶν σῶν κακῶν καὶ τῶν τοῦ ἀδελφοῦ Πολυνείκους ὕβρεων* 1744 *ἄθαπτος οἴχεται νέκυς L*, *ἄθαπτος νέκυς οἴχεται G* 1745 *καὶ θανεῖν O*, *κατθανεῖν S* | *χρεὼ A*, *γρ. χρεὼ* super *χρεὼν* scr. *b* 1746 *σκότια*] Hermann, *σκοτίᾳ* vel *σκοτία* libri | *γῆ L* 1747 *OI.* om. *a* add. a^2 1749 Oed. notam add. vel. rescr. A^2 | fort. *σὺ δ' ἀμφιβωμίοις* (*ἀμφιβωμίους* Elmsley) *λιταῖς* — 1751 sq. *οἰδ ἴθ'.. ἄβατος G*, sed *οἰδ ἴ* et *ἄ* rasura deleta, cfr. schol. *ὁ δὲ χορὸς ἀσυμπαθὴς παρθένον οὕτως ἀτυχῶς φεύγουσαν μὴ οἰκτιζόμενος* | *μαινάδος a* corr. a^2 1753 *AN.* om. *S* | *καδμείων* mut. in *καδμείαν α* | *ᾧ*] *ὠ* A ᾧ* A^2, **ᾧ* a*, *ὠὴ L* 1754 *νεβράδα a* | *στολισαμένα bES* 1755 *σεμέλης L* 1756 *οὔρεσιν G*

χάριν ἀχάριτον ἐς θεοὺς διδοῦσα;
ΟΙ. ὦ πάτρας κλεινῆς πολῖται, λεύσσετ', Οἰδίπους ὅδε,
ὃς τὰ κλείν' αἰνίγματ' ἔγνω καὶ μέγιστος ἦν ἀνήρ,
ὃς μόνος Σφιγγὸς κατέσχον τῆς μιαιφόνου κράτη,
νῦν ἄτιμος αὐτὸς οἰκτρὸς ἐξελαύνομαι χθονός.
ἀλλὰ γὰρ τί ταῦτα θρηνῶ καὶ μάτην ὀδύρομαι;
τὰς γὰρ ἐκ θεῶν ἀνάγκας θνητὸν ὄντα δεῖ φέρειν.
ΧΟ. ὦ μέγα σεμνὴ Νίκη, τὸν ἐμὸν
βίοτον κατέχοις
καὶ μὴ λήγοις στεφανοῦσα.

1757 fere totus rasura fortuita deletus in *G* | ἀχάριτον] Elmsley, ἀχάριστον libri 1758 sq. delet ut ex Soph. O. R. 1524 sq. illatos Valckenaer 1758 *ΟΙ.* om. *L* | κλεινῆς in rec. libris, κλεινοὶ *OS* | λεῦσετ' *A*, λεύσετ' *B*, λεύσεθ' *L* | οἰδόπους *E* 1759 αἰνίγματα *L* | ἔγνων *B* 1760 κατέσχε *G* | κράτη] γρ. καὶ κάρα schol. *a* 1761 νῦν δ' *G* | οἰκτρῶς in rec. libris 1762 ἀλλὰ γὰρ τί *G*, ἀτὰρ τί *r* ἀλλὰ super ἀτὰρ scr. a^2 1763 ἐκ θεῶν om. *G* 1764 *ΧΟ.* om. *AL* add. A^2l 1766 καὶ om. *L*, erasum in *P* | λήγοις *a*, sed η ex ο ut vid. corr. a^2 | in fine εὐριπίδου φοίνισσαι *A*, τέλος τῶν φοινισσῶν εὐριπίδου *a*, τέλος εὐριπίδου φοινισσῶν *E*, τέλος τοῦ τῶν φοινισσῶν δράματος εὐριπίδου *L* (vel *l*), τέλος φοινισσῶν εὐριπίδου *G*, subscriptio deest in *B*

APPENDIX

conjecturas minus probabiles continens.

Argum. I p. 3 lin. 17 *ἔσφαξαν*] *ἔκτειναν* Brunck II p. 4 lin. 1 post *Φοίνισσαι* lacunam significat Brunck 9 ante *ἐπεὶ* nonnulla excidisse putat Brunck | *ἔστι δὲ* (vel *ἔτι δὲ*) *καὶ παραπληρωματικόν* Kirchhoff, *ἔστι δὲ καὶ ἐπεισοδιῶδες καὶ παραπληρωματικόν* olim scribebam, *ἐπεισοδιῶδες δὲ καὶ παραπληρωματικόν* Bergk | *ἥ τε γὰρ* Valckenaer p. 5 lin. 31 post *λαγόνων* excidisse distichon putat Münzel p. 6 lin. 46 sqq. ⟨*ἐδιδάχθη*⟩ *ἐπὶ Ναυσικράτους ἄρχοντος* ⟨*ὀλυμπιάδος . . πρῶτος . .*⟩ *δεύτερος Εὐριπίδης,* ⟨*τρίτος . .*⟩ *καθῆκε διδασκαλίαν* ⟨. .⟩ *περὶ τούτου. καὶ γὰρ ταὐτὰ* ⟨. .⟩ *ὁ Οἰνόμαος καὶ Χρύσιππος καὶ* ⟨*Φοίνισσαι καὶ . . σάτυροι. οὐ*⟩ *σώζεται* Kirchhoff 49 ante *ὁ χορὸς* supplet *ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Θήβαις* Trendelenburg | *ὁ δὲ χορὸς* Dindorf

V. 6 *ἐφαλίαν* Rauchenstein 7 *Ἁρμονίαν τότε* Dindorf, *Ἁρμονίας γόνον* Nauck

post 10 lacunam statuit Leutsch 11 *ἐκ μιᾶς γαστρὸς* rec. lib., unde *γαστρὸς ἐκ μιᾶς* Burges | *μητρὸς ὃς* Kirchhoff, fort. *νηδύος* | *ἔφυ*] *ἐμοί* vel *γεγώς* Geel 17 *Θήβαις ἐν* Burges 18 *τέκνων*] *λέκτρων* R. Prinz

22 *κᾆτα νεόγονον* Geel, *καὶ σπείρας τάλας* Hartung, *καὶ σπείρας, λέχους* Schoene, *καὶ σπείρας πατὴρ* Herwerden, *καὶ σπορᾶς βρέφους* Semitelos 23 delet Zipperer | *τὴν φάτιν τε τοῦ θεοῦ* Blaydes | *θεοῦ τ' ὀκνῶν φάτιν* Kock 25 *βρέφος*] *πατήρ* Camper 26 *σφυροῖν . . μέσοιν* Blaydes | *μέσων* in libro recentiore

30 *τὸν ἐμὸν ἔκθετον γόνον* Bellios 33 *γνοὺς αὐτὸς ἤ τινος πάρα* Burges, *γνοὺς αὐτὸς ἤ τινος μαθὼν* (deleto *πάρα*) F. Gu. Schmidt 34 *ἐκμαθεῖν*] fort. *ἱστορεῖν* 35 *θ' ὁμοῦ πόσις* F. Gu. Schmidt 38 *ἄμφω*] *ἀμφὶ* Musgrave

40 *ἐξίστασο* Blaydes 43—45 lacunosos putat Leutsch 45 schol. *Ἀντίμαχός φησιν ἐν Λύδῃ· εἶπε δὲ φωνήσας· Πόλυβε, θρεπτήρια τούσδε ἵππους τοι δώσω δυσμενέων ἐλάσας.* „Unde *τροφεῖα* conicit Valckenarius contra metrum, quamvis hoc vitium tolli posset legendo *τροφεῖ' ἔδωκεν*. Sed nihil mutandum" Porson 46 *ἐμοί τ'* Herwerden, *ἐμὸς δ'* Blaydes

51 sq. *ὅθεν στρατηγὸς . . . ἔπαθλα τοῦδε λαμβάνει πόνου* Musgrave 52 *καὶ λαβεῖν χθονὸς τὰ σκῆπτρ' ἔπαθλα,* hunc versum inter

λέκτρα et τυγχάνει 49 interponens, Schoene | λαμβάνων Weil | versum delebat olim Dindorf, damnat etiam Bergk 52 sq. σκῆπτρά τ' ἆθλα . . γαμεῖ τε Hartung 53 γαμεῖ τε, deletis versibus 51 sq., Leutsch 54 οὐδ' οἶδεν ἥδε παιδὶ F. Gu. Schmidt 57 κόρας δὲ Wakefield

60 post 61 collocat Leutsch | ὁ πάντα δὴ τλὰς Blaydes 61 φόνον] χόλον Naber, σκότον Hooykaas, δνόφον vel ζόφον Stadtmueller 62 ἔκρυψαν] ἔκλησαν Blaydes

70 εὐχὰς] ἀρὰς rec. lib. | κραίνοιεν Brunck 71 πάρος] πάτρας Reiske 74 ἐκαθέζετ' Blaydes 76 delet Conradt

81 λύσουσ' Valckenaer 83 delet Conradt 86 sq. delet Usener 86 χρῆν secundum Athenag. πρεσβ. π. Χριστιανῶν VI p. 22 ὤφειλε δ', εἴπερ ἔστ' ἐν οὐρανῷ Ζεύς, μὴ τὸν αὐτὸν δυστυχῆ καθεστάναι Valckenaer 88 ὦ κλεινὸν ἥκεις . . πατρός Burges | θάλος] φάος Blaydes | πατρί] πέρα Markland, πατρός Reiske, πάρει anonymus

92 ἐκεῖ σχές, ὡς, παῖ Burges | ἕως etiam Apitz 93 sq. εἴ τις . . κἀμοὶ μὲν ἔλθοι Valckenaer, εἴ τις . . μὴ 'μοὶ μὲν ἔλθῃ Burges 95 σοὶ δ' αὖ μέγιστος vel σοὶ δ' οὔτι φαῦλος Herwerden 96 (ἅττ' εἶδον Cobet, ἅσσ' εἶδον Blaydes) 99 ἀλλ' οὐ γὰρ ἀστῶν τοῖσδέ τις χρίμπτει δόμοις Blaydes

100 κέδρον ταχεῖ νυν κλίμακ' ἐκπέρα vel καιρὸς ταχεὶ νῦν κλίμακ' ἐκπερᾶν F. Gu. Schmidt 103 sqq. in carmen antistrophicum redigere conatur Seidler 103 ὄρεγε νῦν ὄρεγέ μοι γραῖαν King, ὄρεγε νῦν, ὄρεγε νῦν γραῖαν Valckenaer 108 χωρίζουσιν ἀλλήλων in rec. libro, χωρίζουσί τ' ἀλλήλων Blaydes

112 φαῦλος cod. rec. 113 πολλοῖσι δ' ἵπποις μυρίοις θ' Nauck 114 πύλαι] μοχλοὶ coniciebam | χαλκοδέτοις τ' ἔμβολα Hermann 114 sq. etiam ἔμβολα χαλκόδετα λαϊνέοις ἐν Fritzsche 115 λαϊνέαις . . ὀρκάναις Reiske 117 πόλει ex Lucian. Iup. trag. 3 θάρσει, τὰ νέρθεν ἀσφαλῶς ἔχει θεοῖς Porson 118 εἰσόρα] ἱστόρει, v. 123 cum Hermanno post 118 transponens (λοχαγόν, ὦ κτἑ.), Heimsoeth | τὸ πρῶτον A. Schoene

123 λοχαγόν, ὦ δέσποινα, τίς τε καὶ πόθεν scribens versui 118 subiungit Hermann | λοχαγὸς τίνων; τίς πόθεν γεγώς; 123 sq. Antigonae continuans, Hartung | λοχαγός, ὡς ἔοικε Herwerden (mallem λοχαγὸς εἷς τῶν ἑπτά) 127 ἓ ἕ] ἐή Dindorf 127 sq. ὡς γαῦρος . . εἰσιδεῖν, ἐέ, γηγενέτᾳ γίγαντι olim M. Schmidt 128 γίγαντί τε Seidler, γίγαντι delet Nauck 128 sq. γηγενέτας (deleto γίγαντι) ἀπερωπὸς οἷός τις ἐν γραφαῖσιν M. Schmidt, γίγαντί τε γηγενέτᾳ προσόμοιος ἐν ἀσπίδος ἀστρωπῷ γραφαῖς Schenkl, γηγενέτᾳ προσόμοιος ἐν γραφαῖσιν, ἀστερωπός (vel ἀστρωπός) Fecht, γηγενέτα προσόμοιος ἀστρῶπος ἐν γραφαῖσιν Conradt | προσόμοιος οἷος Στερόπης ποτ' ἐν γραφαῖσιν, οὐχὶ πρόσφορος olim coniciebam 129 ἀστερωπὸς] Ἀστερόπῃ Jacobs, ὥσπερ Ὠτός Nitzsch, ἀστρωπὸς Dindorf, Ἀστέροπος Bernardakis | (γαλερωπὸς vel) στερρωπὸς ὡς γραφαῖσιν (vel στερρωπὸς ὥσπερ ἐν γραφαῖς), οὐ πρόσφορος olim Nauck | οὐχὶ προσφερὴς vel οὐ προσεμφερὴς Blaydes | ἀστράπιος ἐν γνάθοισιν M. Seyffert

130 ἁμερίων in rec. libris 131 Δίρκας Fritzsche 131 sq. ὕδωρ λοχαγὸν ἄλλον; ἄλλος ὅδε H. Buchholtz 132 ΑΝ. ὁρῶ νιν. ἄλλος κτἑ. (131 paedagogo relinquens) Geel | ἄλλος γὰρ ἄλλος τοῦδε τευχέων τρόπος King, τρόπος δ' ἄλλος ἄλλος ὅδε τευχέων Fritzsche, ἄλλος ὅδ',

ἄλλος ὅδε τρόπος τευχέων Conradt, ἄλλος τευχέων οὗτος τρόπος Blaydes | versum delebat olim Nauck 136 νύμφας delet Conradt 139—144 delet Leutsch

141—144 delet Stahl, ad lacunam explendam interpolatos putat Bergk 145 τίς δ᾽ ὅδ᾽ ὃς ἀμφὶ μνῆμα Ζήθου περᾷ Seidler | μνήματα Ζήθου Fritzsche 146 ⟨ὁ⟩ καταβόστρυχος Paley 148 λοχαγὸς δ᾽ ὄχλος ποδί νιν ὑστέρῳ Conradt | λοχαγός delet Battier | ὡς] ὅσος Valckenaer

153 ὅς γ᾽ King | πέρσων delet Nauck | versum suspectum habet Zipperer 156 ὅς γ᾽ Seidler | ἐγένετ᾽] γέγονεν Cobet

161 ὁρῶ δέ] μόλις δέ Fritzsche | ὁρῶ δ᾽ ὅμως Blaydes 163 δρόμῳ Blaydes 165 ὁμογάστορα Burges 166 βάλοιμι χρονίᾳ Pluygers 168 ὅπλοις χρυσέοις ἐκπρεπής (deleto γέρον) Hartung, ὅπλοις χρυσέοις, ὦ γέρον, ἐκπρεπής Fritzsche 169 ἑῴαις Piers | ἑῴοισιν (sic in libro rec.) . . ἀελίου βολαῖς Bothe

170 ἐκπλῆσαι in rec. libris 172 ἡνιοστροφεῖ ᾿μβεβώς Blaydes 174 γῆς φιλαίμονος χοαί Wakefield, γῇ φίλ᾽ αἱματόρροα Hartung, γῇ φιλαιμάτῳ ῥοαί Paley, γῇ φίλ᾽ αἵματος ῥοαῖς Schoene | ῥοαί] χοαί Musgrave 175 λιπαρόζωνε Brunck, λιπαρόζωνος Burges | θύγατερ Ἁλίου Hermann 177 σωφρόνως Burges 177 sq. ὡς ἀτρεμαῖα κέντρα σώφρονα πώλοις ⟨ἔνθεν ἐκεῖσε⟩ μεταφέρων ἰθύνει Hermann, ὡς ἀτρεμαῖα κέντρα πώλοισι καὶ σώφρονα μεταφέρων ἰθύνει Fritzsche, ὡς ἀτρεμαῖα κέντρα πώλοις φέρων ἰθύνει δρόμον Paley, ὡς ἀτρέμας (vel ἀτρεμεῖ) κέντρῳ πώλους ἰθύνει Herwerden, ὡς ἀτρεμαῖα κέντρα καὶ σωφρόνως πώλων μεταφρένοις φέρων εὐθύνει vel ὡς . . σώφρον᾽ ἐν πώλοιν μεταφρένοις εὐθύνει olim scribebam, ὡς ἀτρεμαῖα κέντρα πώλοισι μεταφέρων ἰθύνει Conradt | ἀτρεμαῖ᾽ ἄκεντρα O. Goram 178 πώλοις μετάφρενόν γ᾽ ἰθύνει aspernatur Valckenaer, πώλοισιν μεταφρένων ἰθύνει Kirchhoff, πώλοις μετάφρενον ἰθύνει Stahl | μεταφέρων] διαφέρων Hartung, μέτρα φέρων M. Schmidt, μετ᾽ ἀφρόνων Bernardakis, ἐπιφέρων Blaydes 179 τήνδ᾽ ἐφυβρίζει πόλιν Blaydes

180 Καπανεύς om. rec. liber | ΠΑΙ. Καπανεύς; ἐκεῖνος Geel, ΠΑΙ. Καπανεὺς ἐκεῖνος Hartung 183 φῶς] πῦρ in rec. libris | σύ μοι Blaydes 185 sqq. ὅδ᾽ ἔστ᾽ αἰχμαλώτιδας ὁ φὰς δόρει Θηβαίας Μυκήναις ἢ Λερναίᾳ τριαίνᾳ δώσειν olim Nauck 186 Μυκήναισιν ⟨εὔχεται⟩ Matthiae, Μυκήναισιν ⟨αἷς⟩ Heydenreich 186 sq. ὁ δορὶ . . δώσων (δώσων in rec. libro) Seidler, δορὶ (deleto ὅς) . . δώσων Hartung 186 sqq. ὁ δορὶ . . Λερναίοις τε δώσειν τριαίνας Ποσειδωνίας Ἀμυμωνείοις ὕδασι δουλείαν περιβοῶν Schoene 187 Λερναίᾳ τ᾽ εὔχεται τριαίνᾳ δώσειν olim Hermann, Λερναίᾳ τέ φησι δώσειν τριαίνᾳ Fritzsche | δώσει Canter 187 sqq. Λερναίᾳ κόρας τε δώσειν τριαίνᾳ Ποσιδωνίοις τ᾽ Ἀμυμωνίοις . . περιβαλὼν ⟨λέγει⟩ vel potius ⟨βοᾷ⟩ Paley, τριαίνᾳ τέ φησι δώσειν Λέρνας . . περιβαλὼν ⟨ἡμῖν⟩ Herwerden 188 Ποσειδωνίοις delet Burges | Ἀμυμωνίοις] ἐπαγγέλλεται Heydenreich 188 sq. Ποσειδανίοις θ᾽ ὕδασι Bothe 189 ὕδασι] ηὔδασε O. Goram | περιβαλὼν ⟨ἔφη⟩ Spiro

191 sq. Ἄρτεμι, χρυσεοβόστρυχον ὦ Διὸς ἔρνος Fritzsche, χρυσεοβόστρυχε Διὸς Ἄρτεμι Paley, χρυσεοβόστρυχε ὦ Διὸς Ἄρτεμι Heydenreich 196 ὄχλος γάρ, ὅσπερ (ἔναγχος εἰσῆλθεν vel) ἀρτίως ἦλθεν πόλιν Valckenaer, ὄχλος γάρ, ὅς τ᾽ ἔναγχος εἰσῆλθεν πόλιν Musgrave,

ὁρᾷς γάρ, ὄχλος ὃς ἀρτίως ἦλθεν πόλιν Burges, *ὄχλος γάρ, ὃς ταραγμὸς εἰσῆλθεν πόλιν* (*πόλει* Geel) Camper, *ὄχλος γὰρ ᾧ ταραγμὸς εἰσῆλθεν πολύς* Stahl, *ὄχλος γὰρ ὅστ' ἐπακτὸς* (vel *ὃς ἐπείσακτος*) *εἰσῆλθεν πόλιν* olim Heimsoeth, *ὄχλος γὰρ ἐς ταραγμὸν εἰσελθὼν πολὺν* Stadtmueller 197 (*χωρεῖ γυναῖκες*, deleto versu 196, Conradt) 198—201 delebat olim Hartung 199 *σμικρὰς ἀφορμὰς* in rec. libro

200 *πλείους*] *πλαστοὺς* Kock | *ἡδονή γέ τοι* Valckenaer 201 *ἀλλήλαις φρονεῖν* Blaydes 202—238 choro, 239 sqq., 250 sqq. hemichoriis tribuit R. Arnoldt, priorem partem coryphaeo, alteram choro tribuebam 204 *νάσου*] *γαίας* vel *χώρας* Blaydes 205 *Φοίβου* in rec. libris

210 *εὐκαρπίστων* in rec. libro, *ἀκαρπώτων* Blaydes 211 *Σικελίας*] *Κιλικίας* Stanley 211 sq. *πνοαῖσι πνεύσαντος* Faust, *πνοαῖς οὗ πνεύσαντος* Earle 212 (*πνεύσαντος* Aem. Portus) | (*ὀὺν οὐρανῷ* Valckenaer) 213 *ἄλλιστον* Musgrave 214 *ἐκ δὲ κριθεῖσ'* Paley

220 *ἵνα τ' ἀγάλμασι χρυσεοτύκοις* Hermann | *χρυσεοτύποις* Musgrave 221 ex schol. vel *λάτρις ἐστάλην* (*ἐστάλαν* Stadtmueller) vel *λάτρις ἠνέθην* elicit Hermann 222 *ἔτι δ' ὕδωρ τὸ Κασταλίας* Hermann 223 sq. *μ' ὃ . . δεύσει* Valckenaer 226—38 olim in stroph. et antistr. redigebat, ante 226 lacunam statuens, Hermann 226 *λάμπουσα*] *φαίνουσα* Blaydes 227 *δικορύφων* Kirchhoff 228 *Βακχειᾶν* Paley

231 *βότρυν ἱεῖσα* olim Hermann 234 *νιφοβόλον γ' ὄρος ἱερὸν ἑλίσσων* Valckenaer 235 *ὦ, θαλάμας θεοῦ* Musgrave, *ἀθάνατος θεοῦ* Geel, *ἀθανάτους θεοὺς* Seyffert, *ἀθανάτου θεοῦ* Kayser, *ἀθάνατον θεὸν* Kinkel, *ἀκαμάταν θέαν* (vel *βάσιν*) Kock, *ἀδαμάτας θεοῦ* olim coniciebam, *ἀκαμάτῳ ποδὶ* vel *ἀκαμάτοις ποσίν* Blaydes 235 sq. *εἰλίσσουσ' ἀθανάτους θεοῦ χοροὺς* Paley | *ἀθανάτας θεοῦ χερὸς* Bernardakis

240 post 241 collocat Hermann, post 242 Herwerden 241 *δάϊον στράτευμ' ἄγει* Paley | *αἷμα*] *χεῖμα* Valckenaer, *σῆμα* Burges, *καῦμα* Kock, *κῦμα* Blaydes | *ᾆσμα . . λέγει* Reiske, *δεῖμα . . φέρει* Heimsoeth | *φλέγει*] *πνέει* Klotz 245 *καλλίπυργος* Heimsoeth 249 *ὧν*] *ὡς* Musgrave, *ᾧ* Bothe

250 *δὴ πόλιν* Battier 250 sq. *ἀμφὶ δὲ πτόλιν φλέγει πυκνὸν ἀσπίδων νέφος* Heimsoeth 252 *σχῆμα*] *χεῖμα* Burges, *χάσμα* olim coniciebam | *μάχας* Blaydes 253 *εἴσεται*] *ἵξεται* Valckenaer ex schol. *πορευθήσεται*, *ὄψεται* Blaydes 258 *ἄδικος* King 259 sq. *τάνδ' ἔνοπλον ὁρμὰν παῖς μετέρχεται* Hermann, *τόνδ' ἔνοπλος ὁρμᾷ ὃν μετέρχεται* Fritzsche | (*ὁρμᾶθ'* vel potius) *ὡρμᾶθ' ὃς μετέρχεται* Bothe, etiam *ὁρμᾷ παῖς καὶ μετέρχεται* Hartung, *ὁρμᾷ γ' ὃς μετέρχεται* Schoene

261 *εἰσεδέξατο*] fort. *εἰσεφρήκατο* 263 *ὃ*] *ᾧ* Valckenaer 264 *οὐ προῶσ'* Valckenaer 265 *πανταχοῦ* in rec. libris, *πανταχοῖ* van den Es

270 *ἅπαντα καὶ τολμῶσι* Valckenaer 274 sq. (*ἀλλ' ἐγγὺς ἀλκὴ κοὐ 'στερήθην ὀμμάτων*, ceteris deletis, J. Paulson) 275 *πάρεισιν, οὐκ* Conradt | *κοὐκ . . δώματα*] *καὶ θεῶν* (vel *νεῶν*) *πυλώματα* Kock, *κοινὸν ἔρυμ' ἀλωμένων* J. Hilberg, *κοὐ φθερεῖ με δείματα* Stadtmueller, *καὶ θεῶν ἑδράσματα* vel *κοὐκ ἔρημα θεῶν ἕδη* vel *κἀγγενῶν θεῶν ἕδη* Blaydes

282 *ἀκροθίνια* Blaydes 285 *πόλει* Eustath. in Il. p. 236, 36

291—300 = 301—309 et 310—319 = 337—343 et 327—330 = 331—336 statuit, versibus 320—326 post 309 et 327—336 post 349 transpositis, Burges 291—300 coryphaeo et ducibus hemichoriorum distribuit R. Arnoldt 293 *γονυπετεῖ σ' ἕδρᾳ προσπίτνω, ὦ ἄναξ* Valckenaer 294 *τὸν . . σέβουσα*] *τὸν οἴκοθεν* ⏑ – – ⏑ *νόμον σέβουσ'* Dindorf, *σέβουσ' οἴκοθεν* Conradt 295 *ἔβας ἔβας ὦ* (vel *ὦ* omisso) *γᾶν πατρῴαν χρόνῳ* Fritzsche 298 *ὦ*] *ἰὼ* Hermann | *τόνδε* (deleto *μᾶτερ*) Burges, *τόνδ' ἐν δόμοις* Stadtmueller 299 *τί μέλλεις τί μέλλεις ὑπόροφα* Hermann

300 *ὠλέναις* Reiske | *ὠλέναισι σαῖσιν τέκνον* Seidler, *ὠλέναισιν τέκνον* Hermann, *ὠλέναισι ⟨δειρᾶς⟩ τέκνον* vel *ὠλεν⟨ῶν περιβολ⟩αῖς τέκνον* Stadtmueller 301 sqq. *Φοίνισσαν, ὦ νεάνιδες, βοὰν ἔσω δόμων κλύουσα τῶνδε γήρᾳ τρομερὰν ἕλκω παιδὶ ποδὸς βάσιν* Fritzsche 302 *ὡς νεάνιδος* O. Goram 302 sq. *κλύουσ', ὦ νεάνιδες, ἔσω δόμων ἕλκω τρομὸν δράμημα γηραιοῦ ποδός* olim coniciebam huc frgm. 876 *τρομὸν δράμημα γηραιοῦ ποδός* referens, fort. *κλύουσ', ὦ νεάνιδες, ἔσω δόμων γηραιοῦ σκίπωνι τρομερὰν ἕλκω ⟨δεῦρο⟩ ποδὸς βάσιν* | *γήρᾳ γήρᾳ τρομερὰν ἕλκω παιδὶ βάσιν* Musgrave, *γήρᾳ τρομερὰν ποδὸς ἕλκω βάσιν* Brunck, *γηραιοῦ πόθι τρομερὰν ἕλκω ποδὸς βάσιν* Seidler, *γήρᾳ τρομερὰν ἕλκω ποδὶ ποδὸς βάσιν* olim Hermann, *γηραιῷ ποδὶ τρομερὰν ἕλκω βάσιν* H. Cron, *γηραιὰ τρομερὰν ἐξέλκω δεῦρο ποδὸς βάσιν* Herwerden, *γηραιοῖς πόδεσι τρομερὰν ἕλκω βάσιν* Heydenreich | *γηραιῷ ποδὶ*] *γήρᾳ τρίποδι* Bernardakis 303 *σπουδῇ τρομερὰν τάνδ'* (vel *ὧδ'*) *ἕλκω* Stadtmueller | ⟨*παιδὶ*⟩ *ποδὸς* Dindorf | *ποδὸς*] *πάρος* Valckenaer, delet Kirchhoff 304—309 = 310—317 *χαρμονᾶν*; statuit Hermann 304 *ἰὼ ἰὼ τέκνον, τέκνον* Hermann, *ἰὼ τέκνον, ἰὼ τέκνον* Hartung 306 *ἀντίβαλλε* Heimsoeth 307 *παρήδων* Hartung 307 sqq. *ὄρεγμα δὸς τριχῶν τε, κυανόχρωτα χαίταν, πλοκάμους σκιάζειν κτέ.* Camper 308 sq. *βοστρυχώδεός τε κυανόχρωτα πλόκαμον χλιδᾶς συνσκιάζων* Burges | *βοστρύχων τε χαίτας κυανόχρωτα πλόκαμον σκιάζων τὰν ἐμάν* olim Hermann | *κυανεόχρωτα χαίτας πλόκον ἐμὰν σκιάζων δέραν* Seidler | *κυανόχρωτι χαίτας πλοκάμῳ σκιάζων* Geel | *κυανόχρωτι χαίτας πλοκάμῳ δέραν σκιάζων ἀμάν* (vel *σκιάζων με δέραν ἀμάν*) Fritzsche, *κυανόχρωτι πλοκάμῳ σκιάζων δέραν χρίμπτ' ἐμάν* Heydenreich 308 *βόστρυχόν τε* Reiske 309 *χαίταις* Brodeau, *χαίταισι* Hermann | *χαίτας πλόκον συσκιάζων δέραν τὰν ἐμάν* Paley, *χαίταισι σαῖσι σκιάζων δέραν τὰν ἐμάν* Heimsoeth, *χαίτας πέλασον σκιάζων δείραν ἀμάν* Stahl | *δέραν ⟨χρίμπτ'⟩ ἐμάν*, olim *δέραν ⟨τάνδ'⟩ ἐμάν* Hermann, *⟨λαβὲ⟩ δέραν ἐμάν* Geel, *δείραν ἐμάν* Hartung, *δέραν ⟨ἔλθ'⟩ ἐμάν* Dindorf, *δέραν ⟨ἀμφ'⟩ ἐμάν* Schoene | *ἐμάν* delet Matthiae

312 *τί δρῶ σε*; Polle | *τί φῶς*; *ὅπως ἅπαντα* Stahl | *σε* delet Hartung | *ἁπανταχοῦ* Paley, fort. *ἁπάντα* 312 sq. *τί φῶ σ' ὁρῶσ' ἔναντα*; *ταῖς χερσὶ καὶ σκέλεσσι* F. Gu. Schmidt 312 sqq. *τί φῶ, τί φῶ σε*; *πῶς ἅπαντα χερσὶ καὶ κόραις λόγοις τε πολυέλικτον ἀδονὰν ἐκεῖσε δεῦρο περιχορεύουσα τέρψιν . . χαρμονᾶν*; Hermann, *τί φῶ τί φῶ σε*; *πῶς ἅπαντα χερσὶ καὶ κόραις λόγοις τε πολυέλικτον ἀδονὰν δεῦρό τ' ἐκεῖ χορεύουσα πέρι παλαιὰν λάβω χαρμονάν*; Heydenreich 313 *καὶ κόραισι* Musgrave, *καὶ ποδῶν ἀκμαῖσι* Schoene, *καὶ κώλοισι* olim coniciebam, *καὶ πόδεσσι* Blaydes 313 sqq. *καὶ χέρεσσι καὶ λόγοις* (vel *χερσὶ καὶ λόγοις* omisso *καὶ*) *ἐκεῖσε καὶ τὸ δεῦρο πολυέλι-*

κτον ἀδονὰν olim Hermann | καὶ χερσὶ καὶ λόγοισιν ἐκεῖσε καὶ τὸ δεῦρο περιχορεύουσα ⟨νῦν⟩ πολυέλικτον ἀδονὰν χαρμονᾶν παλαιᾶν λάβω; olim, postea πῶς πολυέλικτον ἀδονὰν καὶ χερσὶ καὶ λόγοισιν ἐκεῖσε καὶ τὸ δεῦρο περιχορεύουσα τέρψιν παλαιᾶν λάβω χαρμονᾶν; Fritzsche 315 καὶ δεῦρο Hartung 316 τέρψιν delet Burges (παλαιὰν . . χαρμονὰν scribens) 317 ἰὼ τέκος, ἐμὸν τέκος in libro rec.

320 sq. ἤ . . ἤ delet Seidler, his deletis ποθεινὸς φίλοισιν, ποθεινὸς δὲ Θήβαις Nauck | ποθινὸς. .ποθινὸς Bothe 322 ἐμάν γε Valckenaer, ἐμὰν, deleto τε, Brunck | ἐμόν τε κείρομαι λευκὸν κάρα Major 323 δακρυόεσσαν] δάκρυ' ἀπ' ὄσσων Blaydes | δακρυόεσσ' ἀνιεῖσα Valckenaer | δακρυόεσσ' ἐνιεῖσα πενθήρη κόνιν Musgrave | δακρυόεσσ' ἰὰν ἱεῖσα πενθήρη, alias δακρυόεσσαν ἱεῖσ' ὄπα πενθήρη, denique δακρυόεσσ' ἀνεῖσα πενθήρη olim Hermann, δακρυόεσσ' αἰεὶ σῷ πένθει Bernardakis | πενθήρη delet Bothe 323 sq. δακρυόεσσ' ἀεὶ πενθήρη κόμαν δυσόρφναιά τ', deleto v. 324, olim, postea δακρυόεσσαν εἰς σὰ πένθη κόμαν. ἄπεπλος κτέ. Hartung 324 λευκῶν φαρέων ἄπεπλος, τέκνον Hermann, ἄπεπλος, τέκνον, λευκῶν φαρέων olim Nauck 324 sqq. ἄπεπλος δὲ φαρέων λευκῶν, τέκνον, δυσόρφναια τἀμφιτρυχῆ τάδε σκότι' ἀμείβομαι Fritzsche 325 δυσόρφναι' ἄρ' ἀμφὶ τρύχη Schoene | ἀμφὶ] ἀντὶ Valckenaer 328 ὁμοπτέρων Valckenaer | τᾶς delet Burges | δόμον Musgrave

331 ἀνάϊξε Spiro, fort. ἀνῆσσε 334 στενάζων τ' ἀρὰς ⟨ἐφῆκεν⟩ Dindorf | ⟨ἀραίας⟩ τέκνοις Hermann, ⟨ἀτηρὰς⟩ τέκνοις Weil, fort. τέκνοις ⟨ἀγρίας⟩ 335 ἐν ἀλλαγαῖς δ' αἱαγμάτων Valckenaer, σὺν ἀλλαγαῖς δ' αἱαγμάτων Musgrave, ἀλαλαγαῖσί τ' αἱαγμάτων Blaydes 335 sq. σὺν δ' ἀλαλαῖς κέκρυπται σκότιος, ceteris deletis, Burges 337 καὶ] καινοῖς Pierson, τί καὶ Valckenaer, ⟨μοι⟩ καὶ Hartung, delet Hermann | καὶ γάμοισι δὴ ⟨ξένοις⟩ Fritzsche

341 ἄλαστα ματρὶ σᾷ τάδε Battier | Λαΐῳ] Κάδμῳ Valckenaer, fort. Λαβδάκῳ | λαῷ τε σῷ παλαίχθονι Musgrave 341 sq. Λαίῳ τε σῷ παλαιγενεῖ Battier, Λαΐου τε τοῦ πάλαι γένει Hermann, Λαΐου τε τῷ πάλαι γένει Geel 342 παλαιογενεῖ Burges 346 ⟨νόμιμον⟩ ὡς πρέπει Fritzsche 347 ἀνυμέναι' ἀνίσμηνος ἐκηδεύθης Badham, ἀνυμέναια δ' Ἰσμηνοῦ ἐκηδεύθης Paley 349 ἐσόδῳ Woelfflin

350 ὄλοιθ' ὁ τάδ' Valckenaer, ὄλοιτ' ὄλοιτ' Blaydes | σίδαρος ⟨ὁ δράσας⟩ Fritzsche 350 sq. εἴτε Κιθαιρὼν εἴτ' Ἔρις J. J. Hartman 352 κατεκώμασε δώματος Οἰδιπόδα vel κατεκώμασεν Οἰδιπόδα μελάθρων Blaydes

360 λόγοισι μισεῖ (vel λόγοις ἀτίζει) F. Gu. Schmidt 361 δὲ τάρβος Triclinius, δ' ἐτάρβησ' Hermann 364 ἓν δ' ἔθελγέ με Heimsoeth, ἓν δ' ἔπειθέ με Nauck, ἓν δέ μ' οὐ σφαλεῖ Stadtmueller, fort. ἓν δέ μ' ἤπαφε 366 τείχη 'ς Blaydes

370 ναίων, ἀειδὲς ὄμμ' ἔχω vel ναίω, κατηφὲς ὄμμ' ἔχων Valckenaer, ναίων ἄπαυστον ὄμμ' ἔχω vel ναίω, τὸ δισσὸν ὄμμ' ἔχων Reiske | δίοσσον ὄμμ' olim Nauck, δι' ὁσίων ὄμμ' M. Seyffert, δι' οἴκτων ὄμμ' Schoene, δι' αἰδοῦς ὄμμ' M. Schmidt, μετοικῶν, νᾶμ' Paley, διὰ πέπλων ὄμμ' Blaydes | δακρύρροον iam Vauvilliers 372 delet Kirchhoff. Ad hunc versum refert scholium ad v. 375 adscriptum ὁ στίχος οὗτος ἔν τισιν οὐ φέρεται Wesener 373 τῶν ἐμῶν τλήμων κακῶν Porson 374 delet Stadtmueller 375 δυσλύτους] δυσχερεῖς

Blaydes 376 κἀσυστάτους ἔχουσα Usener, καὶ δυσπετεῖς ἔχουσα R. Prinz 378 τλήμονος in libris rec. 379 Οἰδίπου] Λαΐου Schumacher

380 οὔπω γὰρ ἤρκεσ' Valckenaer, ὅτῳ γ' ἀρηρότ' Musgrave | μὲν] τέκν' Blaydes 381 φῦσαι Hermann | τε] δὲ Dobree 382 τἀκ τῶν θεῶν Herwerden 383 ὅταν δ' ἔρωμαι, μή τι σὴν δάκῃ Holzner | ὅπως δ' ἐροῦμαι Blaydes 383 sq. etiam ὅπως δ' ἔρωμαι μήτε σὴν δάκω φρένα, οὐκ οἶδ', ἃ χρῄζω Heimsoeth 387 πρῶτον οὖν Herwerden | τυχεῖν] κλύειν Polle

391 ἔχειν in rec. libro 392 μὴ . . φρονεῖ] οὐκ ἔχειν παρρησίαν Valckenaer 393 vel δ' vel τ' addendum putat Paley 393 sq. delet Czwalina 394 συννοσεῖν Pierson, ξυμφοφεῖν Valckenaer, συναφρονεῖν Blomfield, ξυνανοεῖν Wassenbergh 397 καλοῖς] ἀγανοῖς Blaydes | ὄμμασιν σαίνουσι δή F. Gu. Schmidt, ὄμμασιν μέλπουσι δή Holzner 398 ὁ δὲ χρόνος et 399 ἔχουσί γ' scribens hunc v. Polynici tributum post 399 Iocastae datum ponit anonymus 399 θέαν τιν' ἡδεῖάν γ' ἔχουσι καὶ κεναί Burges, ἔχουσι κούφισίν τιν' (vel ἔχουσι γὰρ λήθην (λῆστίν) τιν' vel ἔχουσιν ἀφροσύνην τιν' vel ἔχουσιν ἡδονήν τιν') ἐλπίδες κεναί Blaydes | τιν', ἴασιν κακῶν Herwerden | κακῶν] θεόν Aldina

γὰρ στεναχεῖν ἅ τ' ἀντεῖς Herwerden | καὶ τάδ' ἀντεῖν in rec. libris, πάρα δ' ἀντεῖν Canter, πάρ' ἀντεῖν Aemilius Portus, κλαυτὰ δ' ἀντεῖν Musgrave 1553 sq. τρισσαὶ ψυχαὶ δ' ἔλιπον ποίᾳ μοίρᾳ φάος Schoene 1553 ποίᾳ μοίρᾳ om. Seidler 1554 πῶς] τοῦτ' Blaydes | ἔλιπον φῶς, τέκνον Valckenaer, ἔλιπον φῶς, ὦ τέκνον Hermann 1555 οὐδ' ἐπὶ χαρτοῖς Kirchhoff 1557 βρίθων φονίοισι (ex varia lectione versus proximi) Seidler 1558 ⟨ὅτι⟩ καὶ . . μάχαις φονίαις ἐπὶ Hartung | σχετλίοισι φοναῖς coniciebam

1560 = 1561 statuit Hermann 1560 τί τάδε στενάχεις; in rec. libris, παῖδ' οὐ στενάχεις; Valckenaer, τί τάδ'; ἢ τέγγει σ'; Musgrave, παῖδε στενάχεις; Dobree, τάδε καταστένεις αὖ; Hartung, τί δὲ καταστένεις; Kirchhoff 1561 ὦ τέκνα (vel τέκεα) Hermann | δι' ὀδύνας ἔβας ἂν Hartung, δι' ὀδύνας τᾶν ἔβας Blaydes 1562 τέθριππ' εἰς ἅρματα olim Dindorf | σύ γ' ἅρματα Hartung 1563 ἀελίου τάδε delebat Hartung, integrum versum olim eiciebat Hermann 1563 σώμασι . . αὐγὰς σὰς Blaydes 1564 σαῖς deest in rec. libro | etiam αὐγαῖσιν ἐσεῖδες Blaydes 1566 ⟨ὤμοι μοι δόμος⟩, ἃ δὲ τάλαιν' Schoene | ⟨τάλαινα⟩ τάλαιν' . . τέκνον ⟨ὦ τέκνον⟩ Hartung 1567 = 1568 sq. statuit Hermann 1567 δάκρυα δάκρυα γοερὰ γοερὰ Hermann, δάκρυα δάκρυα γοερὰ Hartung | γοερὰ πᾶσι τιθεμένα φανερὰ Valckenaer 1569 alterum ἔφερεν deest in rec. libro | ἰκέτιν] ἴκτορ' Hermann, delebat Hartung | ἀρομένα Seidler

1571 λείμακα λείμακα Musgrave 1573 ὡσεί τε λέοντας ἐναύλους (omisso μάτηρ) olim Hermann | λέοντας ὁμαύλους Musgrave 1574 τραύμασιν αἱμακτοῖς Schoene, τραύμασί θ' αἵματος Paley 1574 sq. τραύμασιν ἀμφὶ τύχαν ἤδη ψυχράν Hermann 1578 ἄχει δὲ τέκνων] λόγχῃ δὲ τέκνων Musgrave, τέκνων δ' ἔγχει Brunck (ἔβαψ', ἔγχει δὲ τέκνων mavult Porson) | ἔπεσ' ἀμφιβαλοῦσα Reiske

1580 ὦ πάτερ libri rec. post θεός habent | ἁμετέροισι δόμοισιν ἄχη θεός, πάτερ vel πάτερ, ἁμετέροισι . . θεός Hamelbeck 1581 ὅς γε τάδε τελευτᾷ in libris rec., ὅς γε τάδ' ἔτι τελευτᾷ Musgrave, ὃς ταῦτα τελευτᾷ Porson, ὅστις τᾷδε τελευτᾷ Hermann, qui olim ὃς τάδε τᾷδε τελευτᾷ proponebat, ὃς ταῦτ' ἐτέλεσσε Blaydes 1582 πολλῶν κατῆρξεν Οἰδίπου δόμοις κακῶν Hermann 1582 sq. πολλῶν ὑπῆρξεν Οἰδίπου κακῶν τέλος τόδ' ἦμαρ, εἴη δ' αὖθις εὐτυχέστερος Hartung, πολλῶν κακῶν ἔπλησεν . . δόμους . . εἴην δ' εὐτυχέστερος βίον Schoene, πολλῶν κακῶν ὑπῆρξεν . . δόμῳ . . εἴη δ' αὖθις εὐτυχέστερος Schenkl, πολλῶν ἀπήλλαξ' Οἰδίπου τόκους κακῶν τόδ' ἦμαρ· ἦν δ' ἂν δυστυχέστερος βίος Heimsoeth | hos v. delet Geel 1583 εἴη δ' εὐτυχέστερον τέλος Gebauer, εἴη δ' εὐτυχὲς τέλος βίου J. Paulson 1586 ἔδωκ' ἐμοί Blaydes 1587 σὸς παῖς in rec. libris 1588 delet Walter

1590 sq. τήνδ' οὔ ποτε . . πράξειν πόλιν vel ὡς οὔ ποτε . . πράξει πόλις vel οὐκ ἄν ποτε . . πρᾶξαι πόλιν Blaydes 1591 εὖ πράξει πόλις Paley 1596 ὦ τλῆμον, εἴ τις ἄλλος ἀνθρώπων ἔφυ Valckenaer | εἴ τιν' ἄλλον ἀνθρώπων ποτέ Matthiae, οὔτις ἄλλος ἀνθρώπων ἔφυ M. Seyffert, οἷος οὔτις ἀνθρώπων ἔφυ Heimsoeth 1597 οὗ, καὶ Porson, ὃ καὶ Bothe, ὡς καὶ Hartung, καὶ γὰρ Heimsoeth, ὅντινα Blaydes | φῶς νηδύος μητρὸς μολεῖν olim coniciebam 1598 ἀγόνῳ γ' Valckenaer | Λαΐω 'τεθεσπίκει Kirchhoff, Λαΐῳ γ' ἐθέσπισε vel Λαίῳ πεθέσπισε Herwerden, Λαΐῳ τεθέσπικε (vel 'ξεθέσπισε) Blaydes

1598 sq. *φονέα γενέσθαι πατρὶ θεσπίζει θεός*, ceteris deletis, olim Hartung

1600 *αὖθις*] *αὐτίκ'* Geel, *αὐτὸς* Nauck, *εὐθὺς* M. Seyffert 1601 *νομίσας ὀλόμενον πεφυκέναι* M. Seyffert, *νομίσας δύσθεον πεφυκέναι* Faust 1601 sq. *κτείνει με νομίσας πολέμιον· πέμπει δέ με* (olim *ὄλεθρον· ἐκβάλλει δέ με*) Nauck 1604—1607 delet Hartung 1604 *οὗ*] *ᾧ* Hermann | *οὗ δὴ σέσωσμαι* Paley | *γὰρ*] *γ' ἄρ'* Badham, *δ' ἄρ'* Heimsoeth, *γ' εἶθ'* Blaydes 1605 *Κιθαιρῶνός τ' ἄβυσσα* Reiske 1606 *οὗ μ' οὐ* Purgold | *δουλεῦσαι ἔτι μοι* vel potius *δούλευμ' εἶτά μοι* Hartung, *δουλεῦσαί γέ με* Klotz, *δούλοισιν φέρειν* Caesar 1606 sq. *δουλεύσοντά τοι πρὸς Πόλυβον ἐξέδωκεν* Valckenaer, *δουλεῦσαί με τοι δρυμῶν ἔδωκε* Musgrave, *δουλεύσοντά με Μοῖρ' ἐξέδωκε* Porson, *δουλεῦσαί μέ τοι παῖδ' ἐξέδωκε* anonymus | *δουλεῦσαί τέ με τύραννον ἐξέδωκεν ἀμφὶ* (et 1608 *κτανών τ'*) Elmsley | *δουλεῦσαι (τί μοι δαίμων;) ἔδωκε* Bothe | *δουλεῦσαί τε τὸν πολύπονον ἐξέδωκέ μ'* Camper, *δουλεῦσαι πατρὸς Μοῖρ' ἐξέδωκε Πόλυβον* M. Schmidt, *δουλεύσας γ' ἐμοὶ αἰῶν' ἔδωκε Πόλυβον* Stahl, *δουλεῦσαί μ' ἔτι ζῶντ' ἐξέδωκε* (vel *βλέποντ' ἔδωκε*) vel *δουλεύσοντά με παῖδ'* (vel *ζῶντ'*) *ἐξέδωκε* (vel *σώσας μ' ἔδωκε*) *Πόλυβον* Blaydes 1607 *δαίμων* delet Brunck | *Πόλυβον*] *ἄλλον* Heimsoeth

1611 delet Dindorf 1612—1614 delet Schenkl 1618 *ἀλλ' ἦ τέκνων* F. Gu. Schmidt 1619 *ἀλλ' ἦ τιν' εὔζων* Stahl, *ἀλλ' ἐν ξένῃ ζῶν* Herwerden, *ἀλλὰ σπανίζων* F. Gu. Schmidt

1621 *οὐ μήν γ' ἑλίξας* Valckenaer 1625 *σοί γ'* Valckenaer, qui *δέδοκται* pro *λέλεκται* propositum commemorat 1628 sq. *ἤδη κομίζειν, τὸν δὲ Πολυνείκους νέκυν* (ceteris deletis) Porson | *ὡς πέρσων πάτραν σὺν ἀλλόχρωσιν ἦλθε* (vel *ὃς πέρσων πόλιν θεῶν σὺν ἄλσεσ' ἦλθε*) Herwerden 1628 *τόνδε*] *τοῦδε* Dindorf 1629 *πατρίδα σὺν ὅπλοις* King, *πολλοῖς σὺν ἄλλοις* (vel *ὅπλοις*) Blaydes

1631—1638 delet Walter 1635—1638 delet Paley 1635 *τριπτύχων θρήνους νεκρῶν* in rec. libris, *τριπτύχους νεκρῶν γόους* Hermann 1637 *καὶ παρθενῶνος* H. Cron | *τὴν τελοῦσαν* Geel, *τὴν παροῦσαν* Paley, *τὴν ὁσιοῦσαν* Bernardakis 1638 *μένουσ'*] *μίμνουσ'* vel *τηροῦσ'* vel *φρουροῦσ'* Heimsoeth | *σὺ λέκτρον Αἵμονος μέτει* Stadtmueller

1643—1759 et 1764—1766 delet Conradt 1644 *εἰ τόνδ'* Siebelis | *πατρίας στέλλων* Bothe 1645 *τί*] *σὺ* F. Gu. Schmidt 1646—1649 delet Walter 1647 *ὃς πείθει* Hermann, *εἰ πείθει* Nauck

1652 *οὐκ ἐχθρὸς ὤν*] *ἐχθαρτέος* Nauck, *ἔγχωρος ὤν* Polle 1653 *οὐκ οὖν ἔδωκε τὴν τύχην εὐδαίμονα* Paley, *οὔκουν ὅδ' εἶκε τῇ τύχῃ τῶν δαιμόνων;* F. Gu. Schmidt | *ἔδωκε*] *ἔτισε* Hartung | *τὴν δίκην ἔν γ' Αἵμονι* Burges, (*τῇ τύχῃ οὐκ εὐδαίμονα* Kirchhoff), *τὴν δίκην θανὼν πόλει* Nauck, *τῇ τύχῃ τὸν ὃν βίον* Blaydes 1654 sq. delet Nauck 1654 *κἀν τῷ τάφῳ γε* Burges, *καί νυν ἀδελφῷ* Polle, *καὶ τἀτάφῳ νυν* Herwerden | *κἄργων νυν ἀθέων τὴν δίκην πάτρᾳ δότω* F. Gu. Schmidt 1656 *ἄταφος ἀνὴρ ὅδ'* in rec. libro 1657—1660 delet C. Mueller

1663 *μὴ 's νεκροὺς ἐφυβρίσαι* Blaydes 1664 *ἀμφὶ σῶμ'* in libris rec. 1667 *σύ γ'* Valckenaer

1671 *ἀλλά γε σῶμα σὸν* Valckenaer 1672 *οὐκ ἐς*] *οὐδ' εἰς* Heath,

ἀλλ' εἰς Rauchenstein, σύ γ' εἰς Ebeling | ἦ καὶ γάμοις σοῖς συμφορὰν κτίσαι νοεῖς; F. Gu. Schmidt 1673 οὐ γὰρ Purgold 1674 πολλή γ' in rec. libris, πολλή 'στ' Hartung 1675—1678 suspectos habet Leidloff 1675 νύξ τἄρ' Hermann 1676 ἔκλυες, ἀπείλημ' οἷον ἐξηκόντισεν F. Gu. Schmidt, εἶδες τὸ τόλμημ' οἷον ἐξηκόντισεν Walter 1677 ὅρκιον δὲ in libro rec. | τ' ἐμοὶ Porson 1678 τί δέ; („debebat τί δαί;" Hermann) προθυμεῖ Reiske, τί δ' αὖ προθυμεῖ Hartung, ποῖ γὰρ προθυμεῖ Paley

1680 γενναιότης τις, μωρία δ' ἔνεστί σοι Hermann, γενναιότης σοι μωρίας ἔνεστί τις Geel, γενναιότης μέν, μωρία δ' ἔνεστί σοι Hartung 1687 πεσεῖν ὅπου μοι μοῖρα κείσομαι πεσών Nauck | ὅπου μοι] ὅπου 'στὶ Blaydes | κείσομαι, τέκνον Hermann, κείσομαι τάλας Leutsch

1690 κακῶν] πόνων F 1692 γενναῖ', ὦ πάτερ Musgrave 1693 προσάγαγε νῦν μοι μητέρ' ὡς Lenting 1694 γεραιᾷ Valckenaer | φιλτάτῃ in rec. libris 1698 τῇδ' C. Busche 1699 προσθὲς Dindorf

1702 ὄνομα] ὄμμα Purgold 1703—1707 delet Leidloff 1704 ἄλλ' Barnes 1710—1712 et 1720—1725 et 1728—1733 = 1737—1746 et 1751 sq. et 1756 sq. statuit Hermann

1710—1746 sic disponit: 1710—1713. 1720—1722 (str. α'). 1714 sq (str. β'). 1716 sq. (str. β'). 1737—1742 (antistr. α'). 1723—1727 (str. γ'). 1743—1746 (antistr. γ'). 1718 sq. 1728 sq. (str. δ'). 1732—1736 (antistr. δ') Hartung 1711 πόμπιμον Blaydes 1715 σὺ δή, σύ μοι Hermann, σὺ δῆτά μοι Westphal | σὺ δ' ἀθλίου γενοῦ ποδαγὸς ἀθλία Hartung | ἀθλίῳ olim Valckenaer | γενοῦ δή Altenburg 1717 γε om. rec. liber 1718 ἴχνος ἂν τιθῶμεν; Schoene, ἴχνος τιθῶ Paley, ἴχνος τιθῶ, παῖ; Blaydes, ἴχνος ἔχω; C. Mueller 1718 sq. πόθι γεραιὸν *** ἴχνος τίθημι; βάκτρα πρόσφερ', ὦ τέκνον Dindorf | βάκτρον ὡς φέρ', ὦ τέκνον, μ' ὁπόθι γεραιὸν ἴχνος ἂν τιθῶμεν Hartung 1719 τέκνον ⟨σύ⟩ Schoene

1720 sq. τᾷδε βᾶθι, τᾷδε πόδα τίθει, πάτερ, μοι Schoene 1722 ὥστ' ὄνειρον] ἰσόνειρον Herwerden | ὥς τ' ὄνειρον ἴσχειν Bernardakis | versum delet C. Mueller inde a v. 1723 extremam fabulae partem ab Euripide abiudicat Polle 1723 sq. ἰὼ ἰὼ τῶν δυστυχεστάτας φυγὰς ἐλαυνόντων γέροντα κτἑ. olim coniciebam 1723 sqq. ἰὼ ἰώ, ⟨ὢ⟩ . . ⟨ἰώ·⟩ ἐλαύνειν . . ἰὼ ἰώ, ὢ δεινὰ δεῖν' ἔγωγε τλάς Valckenaer, ἰώ, ἰώ μοι δυστυχεστάτας φυγᾶς, ⟨οἵαν⟩ ἐλαύνων τὸν . . πάτρας ⟨Κρέων ὑβρίζει δυσθέως⟩. ἰὼ ἰώ, δεινὰ δεῖν' ἐγὼ τλάς Hermann, ἰὼ ἰώ, δυστυχεστάτας φυγᾶς τῷ γέροντί γ' ἐκ πάτρας, δεινὰ δεῖν' ἐγὼ τλάς C. Mueller 1724 ἐλαύνει Grotius, ἐλαύνειν Valckenaer, ⟨Κρέων⟩ ἐλαύνει Nauck, ἤλαυν' ἐλαύνων Schoene, ἐλαυνόντων O. Goram 1725 ἰὼ ἰὼ δεινὰ δεινὰ τλὰς ἐγώ olim Dindorf | versum (δεινὰ δεῖν' ἐγὼ τλὰς) post 1727 transponit Hartung 1725 sqq. Δίκα δ' ἀμείβεται βροτῶν ἀσυνεσίας· δεινὰ δεῖν' ἐγὼ τλάς (ceteris deletis) Hartung 1726—1736 delet C. Mueller 1726 (εἰ τλᾷς τι, τλᾶθ' Musgrave), ἔτλας ἔτλας Hermann, τάλας τάλας, quod repudiavit Hermann, proposuit Herwerden | ⟨τί δ' ;⟩ οὐχ ὁρᾷ idem 1727 ⟨ἔτ'⟩, οὐδ' . . ἀσυνεσίας **** Schoene | ἀσυνεσίας] ἀνοίας Heimsoeth | post 1727 lacunam statuit Altenburg

1730 verba παρθένον κόρας eicit Hartung 1732 ἀναφέρεις ἀοιδάς F. Gu. Schmidt 1734 τάδε σ' ἐπεὶ μένει Reiske, ὃν τάδ' ἔτ' ἐπέμενε Musgrave 1736 sqq. ὦ πάτερ, σπάνιν που παθεῖν· ᾧ δάκρυα παρὰ

(vel δάκρυ' ἀπαλὰ) φίλαισι παρθένοις λιποῦσ' ἕπομαι πατρίδος κτέ. Musgrave 1737 ποθεινὰ δ' ἄτρια Pierson | inde a v. 1737 partem extremam additiciam putat Kampfhenkel 1737 sq. περὶ φίλαισι παρθένοις λείβουσ' F. Gu. Schmidt 1738 post 1739 collocat Hermann inde a v. 1740 partem extremam spuriam olim putabat Hartung

1740—1746 delet Kampfhenkel, post 1757 transponit Schoene, qui versibus 1758—1766 abiectis carmen choricum post 1746 periisse putat 1740 ⟨ἰὼ ἰώ,⟩ φεῦ C. Mueller 1743—1746 delet C. Mueller 1743 τάλαιν' ἐγὼ δὲ συγγόνου θ' Barnes, τάλαιν' ἐγώ τε σύγγονός θ' Reiske, τάλαιν' ἐμῶν τε συγγόνου θ' Brunck, τάλαιν' ἐμῶν συγγόνου θ' Nauck, τάλαιν' ἐγὼ συγγόνου δ' Bernardakis | τάλαιν' ἐγὼ συγγόνου 'φυβρισμάτων F. Gu. Schmidt, τάλαιν' ἐγὼ συγγόνων ὑβρισμάτων Blaydes, post 1743 et post 1744 lacunas statuit Altenburg 1743 sq. τάλαιν' ἐγώ, σύγγονος δ', ὕβρισμα τῶν οἰκείων, νέκυς ἄθαπτος οἴχεται Hartung 1744 ὃς ἐκνόμως repudiat Valckenaer 1745 εἴ με καὶ] εἰ καὶ c 1746 σκότῳ γᾶς Nauck 1747 πρὸς ἥλικας τράπηθι σάς Herwerden 1748 ἄλις γ' Valckenaer | ἐμοί in rec. libris 1749 σὺ δ' ἀμφὶ βωμοὺς ἴει λιτάς Musgrave, δὸς ἀμφιβωμίους λιτάς Burges, σὺ δ' ἀμβόα θεοὺς λιταῖς Herwerden, qui olim σὺ δ' ἀμφιβωμίους λιτὰς et 1751 ἴαλλε, Βρόμιος proponebat | σὺ] σοῦ cl. Hesych. σοῦ· ἴθι, τρέχε, ὅρμα olim coniciebam

1750 κόρον γ' Valckenaer 1751—1757 delet C. Mueller 1751 ἴθ' ἀλλὰ] ἴθ' ἔνθα Blaydes 1752 ὀρεσιμαινάδων Blaydes 1753 ᾧ] ὅπῃ Scaliger, ᾗ Valckenaer, οὗ olim coniciebam 1755 sq. θίασον Σεμέλας ἱερὸν Porson, θίασον ἱερὸν Σεμέλας Bothe, Σεμέλας ἱερὸν θίασον Hermann 1757 χάριν γ' Paley | post 1757 genuinam clausulam fabulae excidisse putat Gebauer 1758 πάτρας Θήβης Nauck | hunc versum retinens unum versum 1759 delet Porson 1758—1763 delet Walter

1760 Σφιγγὸς ὃς μόνος κατέσχον Barnes 1761 νῦν δ' ἄτιμος οἰκτρὸς αὖ τῆσδ' Reisig | αὐτὸς] ἀλαὸς vel γυμνὸς Reiske, αὖτις Musgrave, αὐτὸς Nauck, λιτὸς F. Gu. Schmidt, οἶος Blaydes | αὐτὸς οἰκτρὸς] οἰκτρὸς οἰκτρὸς Aldina, οἰκτρὸς οἰκτρῶς Hermann, etiam ἄθλιος τῆσδ' Blaydes.

Notarum index.

A = cod. Marcianus 471
A^2 = manus secunda
a = cod. Parisinus 2713
a^2 = manus secunda
a^3 = complures manus recentiores
B = cod. Vaticanus 909
B^2 = manus antiqua correctrix
b = manus recentior
E = cod. Parisinus 2712
E^2 = manus recentiores
O = consensus librorum *AaBE*

L = cod. Laurentianus 32, 2
l = manus correctrices
G = cod. Laurentianus 172
g = manus correctrix
S = consensus librorum *LG*

Passim memorantur:

F = cod. Marcianus 468
c = cod. Florentinus 31, 10
V = cod. Vaticanus 1345
Pap = The Oxyrhynchus Papyri, part. II. Lond. 1899 ubi sub nr. 224 p. 114 sqq. fragmenta versuum 1017—1043 et initia versuum 1064—1071 inveniuntur
h = cod. Hierosolymitanus (vid. ed. Medeae p. VII)
r = reliqui libri (respectis *AaBELG*)
* = litera vel accentus erasus.

I

EURIPIDIS

FABULAE

EDIDERUNT

R. PRINZ ET N. WECKLEIN.

VOL. III. PARS V.

TROADES.

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI

MCMI.

EURIPIDIS

TROADES

EDIDIT

N. WECKLEIN.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MCMI.

IV

LIPSIAE: TYPIS B. G. TEUBNERI.

V

Notarum index.

B = cod. Vaticanus 909

B^2 = manus secunda

C = codex Havniensis 417

N = codex Neapolitanus musei Borbonici 165, notatus in catalogo II F 9, chartaceus saec. XIV, apographum libri B

O = consensus librorum BCN

P = codex Palatinus inter Vaticanos 287

p = manus correctrices

Passim memoratur

H = codex Harleianus 5743, bombycinus usque ad v. 610, inde chartaceus alia manu scriptus.

VI

ΕΥΡΙΠΙΔΟΥ

ΤΡΩΙΑΔΕΣ.

Ὑπόθεσις Τρῳάδων.

Μετὰ τὴν Ἰλίου πόρθησιν ἔδοξεν Ἀθηνᾷ τε καὶ Ποσειδῶνι τὸ τῶν Ἀχαιῶν στράτευμα διαφθεῖραι, τοῦ μὲν εὐνοοῦντος τῇ πόλει διὰ τὴν κτίσιν, τῆς δὲ μισησάσης τοὺς Ἕλληνας διὰ τὴν Αἴαντος εἰς Κασάνδραν ὕβριν. οἱ δὲ Ἕλληνες κληρωσάμενοι περὶ τῶν αἰχμαλώτων γυναικῶν τὰς ἐν ἀξιώμασιν ἔδωκαν Ἀγαμέμνονι μὲν Κασάνδραν, Ἀνδρομάχην δὲ Νεοπτολέμῳ, Πολυξένην δὲ Ἀχιλλεῖ. ταύτην μὲν οὖν ἐπὶ τῆς τοῦ Ἀχιλλέως ταφῆς ἔσφαξαν, Ἀστυάνακτα δὲ ἀπὸ τῶν τειχῶν ἔρριψαν. Ἑλένην δὲ ὡς ἀποκτενῶν Μενέλαος ἤγαγεν, Ἀγαμέμνων δὲ τὴν χρησμῳδὸν ἐνυμφαγώγησεν. Ἑκάβη δὲ τῆς μὲν Ἑλένης κατηγορήσασα, τοὺς ἀναιρεθέντας δὲ κατοδυραμένη καὶ ⟨τὸν Ἀστυάνακτα⟩ κηδεύσασα, πρὸς τὰς Ὀδυσσέως ἤχθη σκηνάς, τούτῳ λατρεύειν δοθεῖσα.

Ael. V. H. II 8 κατὰ τὴν πρώτην καὶ ἐνενηκοστὴν ὀλυμπιάδα, καθ' ἣν ἐνίκα Ἐξαίνετος ὁ Ἀκραγαντῖνος, στάδιον ἀντηγωνίσαντο ἀλλήλοις Ξενοκλῆς καὶ Εὐριπίδης. καὶ πρῶτός γε ἦν Ξενοκλῆς, ὅστις ποτὲ οὗτός ἐστιν, Οἰδίποδι καὶ Λυκάονι καὶ Βάκχαις καὶ Ἀθάμαντι σατυρικῷ. τούτου δεύτερος Εὐριπίδης ἦν Ἀλεξάνδρῳ καὶ Παλαμήδει καὶ Τρῳάσι καὶ Σισύφῳ σατυρικῷ.

Lin. 1 τὴν om. *C* | πόρθωσιν *B* | καὶ τῶ *C* 2 διαφεῖραι *P* 4 τὴν τοῦ *N* 5 ἐκληρώσαντο τὰς αἰχμαλωτίδας τῶν γυναικῶν τὰς (non τοῖς) γὰρ ἐν *P* 6 ἀγαμέμνονα μὲν κασάνδρα ἀνδρομάχη *N* 7 δὲ] μὲν *BN*, om. *C* | πολυξένει *N* | τῷ ἀχιλλεῖ *P* 8 ἐπὶ τὸν .. τάφον mut. in ἐπὶ τοῦ .. τάφου *C* | τῆς τοῦ εἰρημένου ταφῆς *P* | κατέσφαξαν *C* 9 τειχέων *C* | ἀποκτενῶν] Aldina, ἀποκτείνων libri 11 ἀναιρεθέντας μὲν *BN* 12 κατοδυρομένη *P* | καὶ κηδεύσασα] τε καὶ θρηνήσασα *P* | τὸν Ἀστυάνακτα supplevit Kirchhoff (τὸν τοῦ Ἕκτορος Burges) 13 τούτων *BN*

Τὰ τοῦ δράματος πρόσωπα·

Ποσειδῶν.
Ἀθηνᾶ.
Ἑκάβη.
χορὸς αἰχμαλωτίδων Τρῳάδων.
Ταλθύβιος.
Κασάνδρα.
Ἀνδρομάχη.
Μενέλαος.
Ἑλένη.

Super personarum indicem scripsit *τρωάδες P* | *χορὸς ἐξ αἰχμαλωτίδων* (*αἰχμαλώτων C*) *τρῳάδων* ante *ἑκάβη* in *O* | *Ἑλένη* om. *C*

ΠΟΣΕΙΔΩΝ.

Ἥκω λιπὼν Αἴγαιον ἁλμυρὸν βάθος
πόντου Ποσειδῶν, ἔνθα Νηρῄδων χοροὶ
κάλλιστον ἴχνος ἐξελίσσουσιν ποδός.
ἐξ οὗ γὰρ ἀμφὶ τήνδε Τρωικὴν χθόνα
Φοῖβός τε κἀγὼ λαΐνους πύργους πέριξ
ὀρθοῖσιν ἔθεμεν κανόσιν, οὔποτ' ἐκ φρενῶν
εὔνοι' ἀπέστη τῶν ἐμῶν Φρυγῶν πόλει,
ἣ νῦν καπνοῦται καὶ πρὸς Ἀργείου δορὸς
ὄλωλε πορθηθεῖσ'· ὁ γὰρ Παρνάσιος
Φωκεὺς Ἐπειὸς μηχαναῖσι Παλλάδος
ἐγκύμον' ἵππον τευχέων ξυναρμόσας
πύργων ἔπεμψεν ἐντὸς ὀλέθριον βρέτας·
[ὅθεν πρὸς ἀνδρῶν ὑστέρων κεκλήσεται
δούρειος ἵππος, κρυπτὸν ἀμπισχὼν δόρυ].
ἔρημα δ' ἄλση καὶ θεῶν ἀνάκτορα
φόνῳ καταρρεῖ· πρὸς δὲ κρηπίδων βάθροις
πέπτωκε Πρίαμος Ζηνὸς ἑρκείου θανών.
πολὺς δὲ χρυσὸς Φρύγιά τε σκυλεύματα
πρὸς ναῦς Ἀχαιῶν πέμπεται· μένουσι δὲ
πρύμνηθεν οὖρον, ὡς δεκασπόρῳ χρόνῳ
ἀλόχους τε καὶ τέκν' εἰσίδωσιν ἄσμενοι,
οἳ τήνδ' ἐπεστράτευσαν Ἕλληνες πόλιν.

1 *αἰγαῖον N* ut semper, cfr. Suid. s. v. *Αἰγαῖον πέλαγος* 2 *χορὸς P* 3 *ἐξελίσσουσι BN* | *ποδί* Aristid. I p. 403 4 *χθόνα*] fort. *πλάκα* 6 *ὀρθοῖς O* 9 *παρνάσσιος BN* 10 *αἰπειὸς C* 11 *ἵππων P* | *συναρμόσας O* 12 *βρέτας*] *βάρος P* 13 sq. cum Burgesio delevit Hartung 13 *κληθήσεται P* 14 *ἀμπισχὼν*] L. Dindorf, *ἀμπίσχων O*, *ἀμφίσχων P* 15 *ἀνάκτορα*, superscr. *γρ. καὶ ἀγάλματα B* et superscr. *γρ. ἀγάλματα N* 16 cfr. Hesych. *κρηπίδων καὶ βάθρων· βωμῶν* (l. *κρηπίδων βάθροις· βωμῷ*) 17 *ἑρκείου*] Musgrave, *ἑρκίου* vel *ἐρκίου* libri 22 *ἐστράτευσαν* corr. in *ἐπεστράτευσαν N* | versum delet Hartung

ἐγὼ δέ· νικῶμαι γὰρ Ἀργείας θεοῦ
Ἥρας Ἀθάνας θ', αἳ συνεξεῖλον Φρύγας·
λείπω τὸ κλεινὸν Ἴλιον βωμούς τ' ἐμούς·
ἐρημία γὰρ πόλιν ὅταν λάβῃ κακή,
νοσεῖ τὰ τῶν θεῶν οὐδὲ τιμᾶσθαι θέλει.
πολλοῖς δὲ κωκυτοῖσιν αἰχμαλωτίδων
βοᾷ Σκάμανδρος δεσπότας κληρουμένων.
καὶ τὰς μὲν Ἀρκάς, τὰς δὲ Θεσσαλὸς λεὼς
εἴληχ' Ἀθηναίων τε Θησεῖδαι πρόμοι.
ὅσαι δ' ἄκληροι Τρῳάδων, ὑπὸ στέγαις
ταῖσδ' εἰσὶ τοῖς πρώτοισιν ἐξῃρημέναι
στρατοῦ, σὺν αὐταῖς δ' ἡ Λάκαινα Τυνδαρὶς
Ἑλένη, νομισθεῖσ' αἰχμάλωτος ἐνδίκως.
τὴν δ' ἀθλίαν τήνδ' εἴ τις εἰσορᾶν θέλει,
πάρεστιν, Ἑκάβην κειμένην πυλῶν πάρος,
δάκρυα χέουσαν πολλὰ καὶ πολλῶν ὕπερ·
ᾗ παῖς μὲν ἀμφὶ μνῆμ' Ἀχιλλείου τάφου
λάθρᾳ τέθνηκε τλημόνως Πολυξένη,
φροῦδος δὲ Πρίαμος καὶ τέκν'· ἣν δὲ παρθένον
μεθῆκ' Ἀπόλλων δρομάδα Κασάνδραν ἄναξ,
τὸ τοῦ θεοῦ τε παραλιπὼν τό τ' εὐσεβὲς
γαμεῖ βιαίως σκότιον Ἀγαμέμνων λέχος.
ἀλλ', ὦ ποτ' εὐτυχοῦσα, χαῖρέ μοι, πόλις
ξεστόν τε πύργωμ'· εἴ σε μὴ διώλεσε
Παλλὰς Διὸς παῖς, ἦσθ' ἂν ἐν βάθροις ἔτι.

ΑΘΗΝΑ.

ἔξεστι τὸν γένει μὲν ἄγχιστον πατρὸς
μέγαν τε δαίμον' ἐν θεοῖς τε τίμιον
λύσασαν ἔχθραν τὴν πάρος προσεννέπειν;

23—27 post 44 collocat G. Wagner 23 *θεᾶς O* 24 *ἥρας τ' BN* | *ἀθήνας τ' BN, ἀθηνᾶς θ' C* 26 *κακή* factum ex *κακήν C* 27 *θέλει*] *φιλεῖ* Burges 29 *βοᾷ*] fort. *ἠχεῖ* 30 *Ἀρκάς*] *Ἄργος* Herwerden 31 *δὲ P* 32 schol. *γράφεται παρθένων* 33 *ταῖς* superscr. *οῖς C* 34 *δ'* om. *P* 37 sq. *ἑκάβη κειμένη . . δακρυχέουσα P* 38 delet Prinz 39 *ἀχιλείου BN, ἀχιλλίου* mut. in *ἀχιλλείου P* 40 *λάθρα* cum *γρ. οἰκτρά, ὃ καὶ ἄμεινον B, λάθρα N, οἰκτρὰ CP* | *τλῆμον ὡς P* 41 *ἣν δὲ πάροιθεν P* 43 *τε* om. *N* 46 *ξυστὸν C* | *διώλεσεν P* 47 *πολλὰς P* 48 *τὸν ἐν BN* | *ἄγχιστα N* 49 delet A. Schmidt

ΠΟ. ἔξεστιν· αἱ γὰρ συγγενεῖς ὁμιλίαι,
ἄνασσ' Ἀθάνα, φίλτρον οὐ σμικρὸν φρενῶν.
ΑΘ. ἐπῄνεσ' ὀργὰς ἠπίους· φέρω δὲ σοὶ
κοινοὺς ἐμαυτῇ τ' ἐς μέσον λόγους, ἄναξ.
ΠΟ. μῶν ἐκ θεῶν του καινὸν ἀγγελεῖς ἔπος,
ἢ Ζηνὸς ἢ καὶ δαιμόνων τινὸς πάρα;
ΑΘ. οὔκ, ἀλλὰ Τροίας εἵνεκ', ἔνθα βαίνομεν,
πρὸς σὴν ἀφῖγμαι δύναμιν, ὡς κοινὴν λάβω.
ΠΟ. ἦ πόλεος ἔχθραν τὴν πρὶν ἐκβαλοῦσα νῦν
ἐς οἶκτον ἦλθες πυρὶ κατῃθαλωμένης;
ΑΘ. ἐκεῖσε πρῶτ' ἄνελθε· κοινούσῃ λόγους
καὶ συμπονήσεις ἂν ἐγὼ πρᾶξαι θέλω;
ΠΟ. μάλιστ'· ἀτὰρ δὴ καὶ τὸ σὸν θέλω μαθεῖν·
πότερον Ἀχαιῶν ἦλθες εἵνεκ' ἢ Φρυγῶν;
ΑΘ. τοὺς μὲν πρὶν ἐχθροὺς Τρῶας εὐφρᾶναι θέλω,
στρατῷ δ' Ἀχαιῶν νόστον ἐμβαλεῖν πικρόν.
ΠΟ. τί δ' ὧδε πηδᾷς ἄλλοτ' εἰς ἄλλους τρόπους
μισεῖς τε λίαν καὶ φιλεῖς ὃν ἂν τύχῃς;
ΑΘ. οὐκ οἶσθ' ὑβρισθεῖσάν με καὶ ναοὺς ἐμούς;
ΠΟ. οἶδ', ἡνίκ' Αἴας εἷλκε Κασάνδραν βίᾳ.
ΑΘ. κοὐδέν γ' Ἀχαιῶν ἔπαθεν οὐδ' ἤκουσ' ὕπο.
ΠΟ. καὶ μὴν ἔπερσάν γ' Ἴλιον τῷ σῷ σθένει.
ΑΘ. τοιγάρ σφε σὺν σοὶ βούλομαι δρᾶσαι κακῶς.
ΠΟ. ἕτοιμ' ἃ βούλει τἀπ' ἐμοῦ. δράσεις δὲ τί;
ΑΘ. δύσνοστον αὐτοῖς νόστον ἐμβαλεῖν θέλω.
ΠΟ. ἐν γῇ μενόντων ἢ καθ' ἁλμυρὰν ἅλα;
ΑΘ. ὅταν πρὸς οἴκους ναυστολῶσ' ἀπ' Ἰλίου.
καὶ Ζεὺς μὲν ὄμβρον καὶ χάλαζαν ἄσπετον
πέμψει γνοφώδη τ' αἰθέρος φυσήματα,

52 μικρὸν P 53 ἠπίας mut. in ἠπίους N 55 κοινὸν ἀγγέλλεις P 57 ἕνεκ' N, οὕνεκ' ceteri | ἔνθ' ἐβαίνομεν P 59 ἦ πόλεος] Burges, ἦπου νῦν B, ἦπου νῦν N et scripto ϊν super ῦν C, ἦπου νυν P 60 ἐς hic BC 61 κοινούσῃ] Lenting, κοινώσῃ libri 62 καὶ συνθελήσεις O (συνθελήσης C) 63 θέλω] χρῄζω Sybel, fort. ποθῶ, cfr. Or. 747 64 οὕνεκ' ἦλθες P, ἦλθες οὕνεκ' ceteri 68 ἃ ἂν τύχοις C | τύχῃ P et Cyrill. c. Jul. V p. 175 A 70 εἷλε O, εἷλκε etiam Cyrillus 71 γ' om. BC 72 ἔπερσάν γ'] Victorius, ἔπερσάν τ' O, ἔπερσατ' P 75 δύστηνον O 76 μένουσιν P 78 χάλαζα P 79 δνοφώδη Dindorf | ἐθέρος φησήματα corr. in αἰθέρος φυσήματα P

ἐμοὶ δὲ δώσειν φησὶ πῦρ κεραύνιον,
βάλλειν Ἀχαιοὺς ναῦς τε πιμπράναι πυρί.
σὺ δ' αὖ τὸ σὸν παράσχες Αἴγαιον πόρον
τρικυμίαις βρέμοντα καὶ δίναις ἁλός,
πλῆσον δὲ νεκρῶν κοῖλον Εὐβοίας μυχόν,
ὡς ἂν τὸ λοιπὸν τἄμ' ἀνάκτορ' εὖ σέβειν
εἰδῶσ' Ἀχαιοὶ θεούς τε τοὺς ἄλλους σέβειν.
ΠΟ. ἔσται τάδ'· ἡ χάρις γὰρ οὐ μακρῶν λόγων
δεῖται· ταράξω πέλαγος Αἰγαίας ἁλός.
ἀκταὶ δὲ Μυκόνου Δήλιοί τε χοιράδες
Σκῦρός τε Λῆμνός θ' αἱ Καφήρειοί τ' ἄκραι
πολλῶν θανόντων σώμαθ' ἕξουσιν νεκρῶν.
ἀλλ' ἕρπ' Ὄλυμπον καὶ κεραυνίους βολὰς
λαβοῦσα πατρὸς ἐκ χερῶν καραδόκει,
ὅταν στράτευμ' Ἀργεῖον ἐξιῇ κάλως.
μῶρος δὲ θνητῶν ὅστις ἐκπορθεῖ πόλεις,
ναούς τε τύμβους θ', ἱερὰ τῶν κεκμηκότων,
ἐρημίᾳ δοὺς αὐτὸς ὤλεθ' ὕστερον.

ΕΚΑΒΗ.

ἄνα, δύσδαιμον, πεδόθεν κεφαλήν,
ἐπάειρε δέρην· οὐκέτι Τροία
τάδε καὶ βασιλῆς ἐσμεν Τροίας.
μεταβαλλομένου δαίμονος ἀνέχου.
πλεῖ κατὰ πορθμόν, πλεῖ κατὰ δαίμονα,
μηδὲ προσίστω πρῷραν βιότου
πρὸς κῦμα πλέουσα τύχαισιν.
αἰαῖ αἰαῖ.

---

80 φησὶ πῦρ κεραύνιον] πῦρ κεραύνιον λέγει schol. Lycophr. 382 81 πυρί] φλογί Burges 82 πάρασχε *O* | δίναις ἁλός] δεινῷ σάλῳ E. B. England 85 εὐσεβεῖν libri 86 θεῶν τε τῶν ἄλλων σέβη Camper (malim ἕδη) 89 μυκίνου *O* | fort. Δήλιαι 91 ἕξουσι *OP* 94 Ἀργεῖον] Canter, ἀργείων *OP* | κάλος corr. in κάλως *P* 95 ἐκπέρσας Reiske 97 αὐτὸς ἀνταπώλετο Nauck, cfr. Hel. 106 98 χορ. praefixit *P* | δυσδαῖμον *O* | πεδόθεν, αι super prius ε scr., *N* | κεφαλά *BN*, cfr. schol. ὦ ἐκ θεῶν δυσδαίμων κεφαλὴ γεγονυῖα, unde variam sed vitiosam lectionem θεόθεν κεφαλή monente Bartholdo elicuit E. Schwartz 99 δέρην τ' Musgrave 100 κοὐ Bothe | βασιλεῖς libri 101 ἀνσχοῦ Nauck 102 δαίμονα] πνεύματα F. Gu. Schmidt 103 προσίστη *P* 105 *ΕΚ.* praefixit *P*

τί γὰρ οὐ πάρα μοι μελέᾳ στενάχειν,
ᾗ πατρὶς ἔρρει καὶ τέκνα καὶ πόσις;
ὦ πολὺς ὄγκος συστελλόμενος
προγόνων, ὡς οὐδὲν ἄρ' ἦσθα.
τί με χρὴ σιγᾶν; τί δὲ μὴ σιγᾶν;
τί δὲ θρηνῆσαι;
δύστηνος ἐγὼ τῆς βαρυδαίμονος
ἄρθρων κλίσεως, ὡς διάκειμαι,
νῶτ' ἐν στερροῖς λέκτροισι ταθεῖσ'.
οἴμοι κεφαλῆς, οἴμοι κροτάφων
πλευρῶν θ', ὥς μοι πόθος εἱλίξαι
καὶ διαδοῦναι νῶτον ἄκανθάν τ'
εἰς ἀμφοτέρους τοίχους μελέων
ἐπὶ τοὺς αἰεὶ δακρύων ἐλέγους.
μοῦσα δὲ χαὔτη τοῖς δυστήνοις
ἄτας κελαδεῖν ἀχορεύτους.

πρῷραι ναῶν ὠκεῖαι,
Ἴλιον ἱερὰν αἳ κώπαις
δι' ἅλα πορφυροειδέα καὶ λιμένας
Ἑλλάδος εὐόρμους
αὐλῶν παιᾶνι στυγνῷ
συρίγγων τ' εὐφθόγγων φωνᾷ
βαίνουσαι πλεκτὰν Αἰγύπτου
παιδείαν ἐξηρτήσασθ',
αἰαῖ, Τροίας ἐν κόλποις
τὰν Μενελάου μετανισόμεναι
στυγνὰν ἄλοχον, Κάστορι λώβαν

108 πολλὺς *P* | συστελλόμενος] Victorius, συστελλομένων *OP* 109 ὡς om. *C* 111 δὲ μὴ θρηνῆσαι *O* 113 κλίσεως] Musgrave, κλισίας *O*, κλίσιος *P* | ἧς δὴ κεῖμαι Herwerden 114 στέρνοις *P* | ταθεῖσ' *H*, ταθεῖσα *OP* 119 ἐλέγχους *P* 120 καὐτὴ *O* post 120 collocat 119 Bernhardy, fort. μοῦσα δὲ χαὔτη τοῖς δυστήνοις πιτύλοις αἰεὶ δακρύων ἐλέγους ἄτας κελαδεῖν ἀχορεύτους, cfr. Hipp. 1464 122 ναῶν] λιαῶν *P* | ὠκείαις Tyrrell 123 ἱερὸν *O*, ἱρὰν Lenting 123 sq. κώπαισι δι' | ἅλα Kirchhoff 124 πορφυρίδεα *P* | cfr. Hesych. δι' ἅλα πορφυροειδῆ· διὰ τῆς μελαίνης θαλάσσης | λίμνας Hartung 125 sq. fort. λίμνας Ἑλλάδος εὐόρμους ⟨ἀκτὰς⟩ 127 εὐφώνων mut. in εὐφθόγγων *C*, εὐφθόγγῳ Aldina | φωνᾷ *P*, φωναῖς *O* 129 ἐξηρτήσασθε *OP* 131 μετανισόμεναι *BN*, μετανισσόμεναι *CP*

τῷ τ᾽ Εὐρώτᾳ δυσκλείαν,
ἃ σφάζει μὲν
τὸν πεντήκοντ᾽ ἀροτῆρα τέκνων
Πρίαμον, ἐμέ τε μελέαν Ἑκάβαν
ἐς τάνδ᾽ ἐξώκειλ᾽ ἄταν.
ὤμοι θάκους οἵους θάσσω
σκηναῖς ἐφέδρους Ἀγαμεμνονίαις.
δούλα δ᾽ ἄγομαι γραῦς ἐξ οἴκων
κουρᾷ ξυρήκει πενθήρει
κρᾶτ᾽ ἐκπορθηθεῖσ᾽ οἰκτρῶς.
ἀλλ᾽, ὦ τῶν χαλκεγχέων Τρώων
ἄλοχοι μέλεαι καὶ κόραι δύσνυμφοι,
τύφεται Ἴλιον, αἰάζωμεν·
μάτηρ δ᾽ ὡσεί τις πτανοῖς κλαγγὰν
ὄρνισιν ὅπως ἐξάρξω ᾿γὼ
μολπὰν οὐ τὰν αὐτὰν
οἵαν ποτὲ δὴ
σκήπτρῳ Πριάμου διερειδομένου
ποδὸς ἀρχεχόρου πλαγαῖς Φρυγίαις
εὐκόμποις ἐξῆρχον θεούς.

ΗΜΙΧΟΡΙΟΝ.

Ἑκάβη, τί θροεῖς; τί δὲ θωΰσσεις; stroph.
ποῖ λόγος ἥκει; διὰ γὰρ μελάθρων

133 *δυσκλείαν*] Nauck, *δύσκλειαν* libri 135 *τὸν*] *ὧν* (vel *ὧν*) *B*, *ὣν* *N* 136 *ἐμὲ τὰν μελέαν δ᾽* vel *ἐμὲ δ᾽ αὖ μελέαν*, ceteris deletis, Lenting 137 *ἐς* hic *P* 138 *οἵους*] *οὓς* *P* 139 *ἐφέδρους*] Bothe, *ἔφεδρος* libri | *Ἀγαμεμνονίαις*] Valckenaer (fort. *Ἀγαμεμνονίοις*), *ἀγαμεμνονείαις* *OP* 140 *δοῦλ᾽ ἄγομαι* *O* 141 *ξυρήκει* delet Burges | *πενθήρει* *O*, *πενθήρη* *P*, cfr. schol. *τὴν πενθίμην κεφαλήν* 142 *ἐκπορθησεῖσ᾽* *P* | *ἐκπορθεῖσ᾽ αἰκτρῶς* *N*, fort. *ἐκπορθηθεῖσ᾽ αἰκῶς* 143 *χαλκεχέων* *BN* 144 *καὶ* om. *N* | *δύσνυμφοι* *H*, *δύσνυμφαι* *OP* | *ἄλοχοι μέλεαι, μέλεαι κοῦραι καὶ δύσνυμφοι* Hermann, *ἄλοχοι μέλεαι καὶ δύσνυμφοι* Kirchhoff 145 *αἰάζωμεν*] Aldina, *αἰάζομεν* *OP* 146 sq. *μήτηρ* *P* | *τις* om. *O* | *ὄρνισιν ὅπως*] *ὄρνις* Dindorf | *μολμὰν* *BN* *π* super alterum *μ* scr. B^2N | fort. *μάτηρ δ᾽ ὡσεί τις πτανοῖς ὄρνις ἐξάρξω ᾿γὼ κλαγγὰν οὐ τὰν αὐτὰν*, cfr. schol. *καθάπερ δὲ ὄρνισιν ἡ μήτηρ ἐξάρχει τὴν πτῆσιν, οὕτως κἀγὼ τὴν κλαγγὴν καὶ τὸν θρῆνον ἐξάρξω κτέ.* 149 *οἱάν ποτε* *BN* | *ποτὲ* delet Hartung 150 *διερειδομένου*] Herwerden, *διερειδομένα* libri (*δ᾽ ἐρειδομένα* *P*) 151 *παιδὸς* *O* | *ἀρχαιχόρου πληγαῖς* *P* | fort. *Φρυγίοις* 153 *ΧΟ.* libri, sed vid. ad v. 164 et cfr. schol. ad v. 166 *λέγει πρὸς τὰς λοιπὰς τὰς ἔσω, ἵνα τὸ ἡμιχόριον ἐξέλθῃ* et ad v. 176 *τὸ λοιπὸν ἡμιχόριον ἐξῆλθεν* 154 sq. *ποῖ*

ἄιον οἴκτους οὓς οἰκτίζῃ.
διὰ δὲ στέρνων φόβος ἀίσσει
Τρῳάσιν, αἳ τῶνδ' οἴκων εἴσω
δουλείαν αἰάζουσιν.
ΕΚ. *ὦ τέκν', Ἀργείων πρὸς ναῦς ἤδη*
κινεῖται κωπήρης χείρ.
ΗΜΙΧ. *οἳ 'γὼ τλάμων, τί θέλουσ'; ἦ πού μ' ἤδη*
ναυσθλώσουσιν πατρίας ἐκ γᾶς;
ΕΚ. *οὐκ οἶδ', εἰκάζω δ' ἄταν.*
ΗΜΙΧ. *ἰὼ ἰώ.*
μέλεαι μόχθων ἐπακουσόμεναι
Τρῳάδες, ἔξω κομίζεσθ' οἴκων·
στέλλουσ' Ἀργεῖοι νόστον.
ΕΚ. *ἒ ἕ.*
μή νύν μοι τὰν
ἐκβακχεύουσαν Κασάνδραν
πέμψητ' ἔξω,
αἰσχύναν Ἀργείοισιν,
μαινάδ', ἐπ' ἄλγει δ' ἀλγυνθῶ.
[ἰὼ] Τροία Τροία δύσταν', ἔρρεις,
δύστανοι δ' οἵ σ' ἐκλείποντες
καὶ ζῶντες καὶ δμαθέντες.

ΗΜΙΧΟΡΙΟΝ.

οἴμοι. τρομερὰ σκηνὰς ἔλιπον antistr.
τάσδ' Ἀγαμέμνονος ἐπακουσομένα,

λόγος ἥκει et *ἄιον οἴκ* om. *P* | *ἥκει* mut. in *ἵκει B* | *σοὶ μόγος ἥκει* F. Gu. Schmidt 156 *φόβος*] fort. *τάρβος*, quod aspernatur Seidler 158 *αἰάζουσϊ P* 159 *ὦ τέκνον* Hartung (*τέκν'*, deleto *ὦ*, olim Nauck, *τέκνον* Paley) | *ναῦς ἤδη*] *νόστον* Wilamowitz 161 *ΧΟ. O*, nulla nota in *P*, corr. Musgrave | *οἲ ἐγὼ O* | *τλάμων P*, *μελέα O* | *μ' ἤδη O*, *γε δὴ P*, *με δὴ H*, *τλάμων* delet Kirchhoff, *τί θέλουσ'* eicit Hartung, fort. *οἲ 'γὼ τλάμων, τί θέλουσ'; οὔ που ναυσθλώσουσ' ἐκ πατρίας ἐμὲ γᾶς* 162 *ναυσθλώσουσι OP* | *πατρίας*] Bothe, *πατρῴας* libri | *ἐκ O*, *ἐπὶ P*, unde *ἀπὸ* Aldina 163 *ΕΚ.* om. *OP*, habet *H* 164 *ΗΜΙΧ. O*, *ΧΟ. P* 165 *μόχθον O* | *ἐπακουσέμεναι N* 166 *ἔξω κομίσασθ'* Aldina, *ἐξορμίζεσθ'* Headlam 169 *μή νύν*] Hermann, *μὴ νῦν OP* 170 *βακχεύουσαν* Aldina | *κασσάνδραν P* 171 *πέμψετ' P* | *ἔξω πέμψητ'* Nauck | *αἰσχύνην P* | *Ἀργείοισιν*] Heath, *ἀργείοισι OP* 172 *ἄλγεσι P* | *ἀλγυνθῶ ἰώ BN* 173 *ἰὼ* delevit Seidler 174 *δύστανον P* | *σε P* | *ἐκλείποντες*] Burges, *ἐκλιπόντες OP* 176 *ΧΟ. OP*, vide ad v. 153 | *τρομερὰς C* | 177 *ἐπακουσομέναν C*, *ἐκπευσομένα* Nauck

βασίλεια, σέθεν, μή με κτείνειν
δόξ' Ἀργείων κεῖται μελέαν,
ἢ κατὰ πρύμνας ἤδη ναῦται
στέλλονται κινεῖν κώπας.
ΕΚ. ὦ τέκνον, ὀρθρεύου σὰν ψυχάν·
ἐκπληχθεῖσ' ἦλθες φρίκᾳ.
ΗΜΙΧ. ἤδη τις ἔβα Δαναῶν κῆρυξ;
τῷ πρόσκειμαι δούλα τλάμων;
ΕΚ. ἐγγύς που κεῖσαι κλήρου.
ΗΜΙΧ. ἰὼ ἰώ.
τίς μ' Ἀργείων ἢ Φθιωτᾶν
ἢ νησαίαν μ' ἄξει χώραν
δύστανον πόρσω Τροίας;
ΕΚ. φεῦ φεῦ.
τῷ δ' ἁ τλάμων
ποῦ πᾷ γαίας δουλεύσω γραῦς,
ὡς κηφήν, ἁ
δειλαία νεκροῦ μορφά,
νεκύων ἀμενηνὸν ἄγαλμ', ἢ
τὰν παρὰ προθύροις φυλακὰν κατέχουσ'
ἢ παίδων θρέπτειρ', ἃ Τροίας
ἀρχαγοὺς εἶχον τιμάς;

ΧΟ. αἰαῖ αἰαῖ, οἵοις οἴκτοις stroph.
τὰν σὰν λύμαν ἐξαιάζεις·
οὐκ Ἰδαίοις ἱστοῖς κερκίδα
δινεύουσ' ἐξαλλάξω.

---

182 ὀρθεύου *C* 183 *ΧΟ. OP*, om. Aldina | ἦλθες] Hartung, ἦλθον libri 184 *ΗΜΙΧ.* om. *OP*, praefixit Seidler 185 τλάμον *P* 186 κεῖται *C* 187 *ΗΜΙΧ.*] Seidler, *ΧΟ. OP* | ante τίς Hecubae nota in *P* | με *P* | φθιωτᾶν *H*, φθιωτάν *P*, φθιωτῶν *O* 188 fort. νησαίας vel potius νησαίου . . χώρας | μ' ἄξει *O*, ἥξει *P* 189 πόρσω] Dindorf, πόρρω *P*, πρόσω *BN*, γρ. πόρρω superscr. B^2N, πρόσω *C* 190 personae notam om. *O*, *ΧΟ. P* 191 ποῦ πᾶ *BC*, ποῦ παῖ *NP*, ποῦ ποῦ Ald., fort. ποῦ 192 κηφῆνα *O*, σκηφήν ἁ *P* 193—5 habet nihil nisi νεκύων ἀμενηνὰ | παρὰ προθύροις | ἢ παίδων θρέπτηρας *P* 194 παρά τε *O*, πὰρ olim Nauck 195 θέπτειρ' *BN* 197 *ΕΚ. O* | οἵοις] scripsi, ποίοις δ' libri 198 ἐξετάζεις *P* 199 *ΧΟ. O*, *ΕΚ. P* | ἱστοῖς] Aldina, ἱστοῖσι *OP* 200 ἐξαλάξω *BN*, ἐξολολύξω Barthold

νέατον τεκέων σώματα λεύσσω,
νέατον· μόχθους ἕξω κρείσσους,
ἢ λέκτροις πλαθεῖσ' Ἑλλάνων·
ἔρροι νὺξ αὕτα καὶ δαίμων·
ἢ Πειρήνας ὑδρευομένα
πρόσπολος οἰκτρὰ σεμνῶν ὑδάτων [ἔσομαι].
τὰν κλεινὰν εἴθ' ἔλθοιμεν
Θησέως εὐδαίμονα χώραν.
μὴ γὰρ δὴ δίναν γ' Εὐρώτα,
τὰν ἐχθίσταν θεράπναν Ἑλένας,
ἔνθ' ἀντάσω Μενέλᾳ δούλα,
τῷ τᾶς Τροίας πορθητᾷ.

τὰν Πηνειοῦ σεμνὰν χώραν, antistr.
κρηπῖδ' Οὐλύμπου καλλίσταν,
ὄλβῳ βρίθειν φάμαν ἤκουσ'
εὐθαλεῖ τ' εὐκαρπείᾳ·
τάδε δεύτερά μοι μετὰ τὰν ἱερὰν
Θησέως ζαθέαν ἐλθεῖν χώραν.
καὶ τὰν Αἰτναίαν Ἡφαίστου
Φοινίκας ἀντήρη χώραν,
Σικελῶν ὀρέων ματέρ', ἀκούω
καρύσσεσθαι στεφάνοις ἀρετᾶς.
τάν τ' ἀγχιστεύουσαν γᾶν
Ἰονίῳ ναύτα πόντῳ,
ἃν ὑγραίνει καλλιστεύων

---

201 *ΕΚ.* *B*, haec nota erasa in *N* 201 sq. *νέατον*] Seidler, *νέα τοι* libri 202 *μόχθους δ'* Seidler 203 *πλασθεῖσ'* *BN* 204 *αὕτα*] Seidler, *αὐτὰ* *OP* 205 *ὑδρευομένα*] J. Heiland, *ὑδρευσομένα* libri (*ὑδρευσομένᾳ* *B*, *ἱδρευσομένα* *C*) 206 *οἰκτρὰ* om. *O* | *ἔσομαι* delevit Hermann | *πρόπολος σεμνῶν ὑδάτων ἔσομαι* Dindorf 207 *ΧΟ.* *P* 210 *ΕΚ.* *μὴ γὰρ ἐν δίνᾳ γ'* *P* 211 *τᾶς ἐχθίστας* Hartung | *θεράπαν* *BN*, *θεράπεναν* corr. in *θεράπαιναν* *P* 212 *μενελάου* *N* 213 *τῆς* *BC*, om. *N* 215 *κρϊπίδ'* *B*, *κρηπίδ'* *N* | *ὀλύμπου* *P* 216 *ὄλβον* *P*
217 *εὐθαλεῖ*] *εὐαλδεῖ* Dobree | *εὐκαρπείᾳ*] Burges, *εὐκαρπίᾳ* *BNP*, *ἀκαρπία* *C* 219 *ἐλθεῖν* om. *P* 220 *ἀτναίαν* *C* et ut vid. *B* et ex *αἰτναίαν* rasura factum *N* 221 *φοίνικας* *BN* 223 *καρύσσεσθε* *BN* et fin. *ε* ex *α* correcto *C*, *κηρύσσεσθαι* *P* | *στεφάνοις τ' ἀρετὰς* *P* 225 *ναύται* *P* | *Ἰονίου λαίτματι πόντου* Herwerden 226 *τὰν* Nauck | *ὑδραίνει* *P*

ὁ ξανθὰν χαίταν πυρσαίνων
Κρᾶθις ζαθέαις παγαῖσι τρέφων
εὔανδρόν τ' ὀλβίζων γᾶν.

καὶ μὴν Δαναῶν ὅδ' ἀπὸ στρατιᾶς
κῆρυξ νεοχμῶν μύθων ταμίας
στείχει ταχύπουν ἴχνος ἐξανύων.
τί φέρει; τί λέγει; δοῦλαι γὰρ δὴ
Δωρίδος ἐσμὲν χθονὸς ἤδη.

ΤΑΛΘΥΒΙΟΣ.

Ἑκάβη, πυκνὰς γὰρ οἶσθά μ' ἐς Τροίαν ὁδοὺς
ἐλθόντα κήρυκ' ἐξ Ἀχαιικοῦ στρατοῦ,
[ἐγνωσμένος δὲ καὶ πάροιθέ σοι, γύναι,]
Ταλθύβιος ἥκω καινὸν ἀγγελῶν λόγον.
ΕΚ. τόδε [τόδε], φίλαι Τρῳάδες, ὃ φόβος ἦν πάλαι.
ΤΑ. ἤδη κεκλήρωσθ', εἰ τόδ' ἦν ὑμῖν φόβος.
ΕΚ. αἰαῖ, τίν' ἢ Θεσσαλίας πόλιν
Φθιάδος εἶπας ἢ Καδμείας χθονός;
ΤΑ. κατ' ἄνδρ' ἑκάστη κοὐχ ὁμοῦ λελόγχατε.
ΕΚ. τίν' ἄρα τίς ἔλαχε; τίνα πότμος εὐτυχὴς
Ἰλιάδων μένει;
ΤΑ. οἶδ'· ἀλλ' ἕκαστα πυνθάνου, μὴ πάνθ' ὁμοῦ.
ΕΚ. τοὐμὸν τίς ἄρ' ἔλαχε τέκος, ἔννεπε,
τλάμονα Κασάνδραν;

---

227 *πυρσαίνων*, superscr. *πυρσεύων BN*, *πυρσεύων*, scripto *αιν* super *εύ C*, *πυρδεύων P* 228 *κράνθις P* | fort. *ζαθέοις*, cfr. 1075 | *πηγαῖσι BNP* 229 *εὔδενδρον* F. Gu. Schmidt | *τ'* om. *N* 230 *ΧΟ. OP* 231 *νεογμῶν P* 232—4 nihil nisi verba *ἐξανύων* | *δοῦλαι γὰρ δὴ* | *χθονὸς ἤδη* in fine versuum scripta initiis versuum vacuis relictis habet *P* 232 *ἐξανύτων* Porson 233 *δοῦλαι γὰρ δὴ*] fort. *δουριάλωτοι* 236 *ἀχαιικοῦ* Aldina] *ἀχαϊκοῦ* libri 237 *ἐγνωσμένως BN* | *πάροιθεν O* | versum delevit Dobree (loco versus Hec. 504 ponit R. Prinz) 238 *καινὸν O*, *κοινὸν P* | *ἀγγελῶν H*, *ἀγγέλων* mut. in *ἀγγέλλων P*, *ἀγγέλων B*, *ἀγγέλλων C*, *ἀγγέλω N* 239 alterum *τόδε* delevit Nauck | *τρῳάδες P*, *γυναῖκες O* 240 *κεκλήρωσθ' BN*, *κεκλήρωτ' C* | *εἰς τόδ' O* | *τόδ' ἡμῖν φόβος C* 241 *τίνα P* | *πόλιν*] Hartung, *πόλιν ἢ* libri 242 *ἢ καὶ O* 243 *λελόχατε N* 244 *ἔλαχον P* | *εὐτυχὴς*] fort. *εὐμαρὴς* 245 *μένει*] Hermann, *μενεῖ OP* 246 *οἴδ'* mut. in *οἶδ' B* 247 *ἄρ'* om. *O* | *ἆρ' ἔλαχε τέκος, ἔνεπε* Kirchhoff (*ἔνεπε* iam Seidler) 248 *κασσάνδραν P*

ΤΑ. ἐξαίρετόν νιν ἔλαβεν Ἀγαμέμνων ἄναξ.
ΕΚ. ἦ τᾷ Λακεδαιμονίᾳ νύμφᾳ δούλαν;
ἰώ μοί μοι.
ΤΑ. οὔκ, ἀλλὰ λέκτρων σκότια νυμφευτήρια.
ΕΚ. ἦ τὰν τοῦ Φοίβου παρθένον, ᾇ γέρας ὁ
χρυσοκόμας ἔδωκ' ἄλεκτρον ζόαν;
ΤΑ. ἔρως ἐτόξευσ' αὐτὸν ἐνθέου κόρης.
ΕΚ. ῥῖπτε, τέκνον, ζαθέους
κλῇδας καὶ ἀπὸ χροὸς
ἐνδυτῶν στεφέων ἱεροὺς στολμούς.
ΤΑ. οὐ γὰρ μέγ' αὐτῇ βασιλικῶν λέκτρων τυχεῖν;
ΕΚ. τί δ' ὃ νεοχμὸν ἀπ' ἐμέθεν ἐλάβετε τέκος [ποῦ μοι];
ΤΑ. Πολυξένην ἔλεξας, ἢ τίν' ἱστορεῖς;
ΕΚ. ταύταν τῷ πάλος ἔζευξεν;
ΤΑ. τύμβῳ τέτακται προσπολεῖν Ἀχιλλέως.
ΕΚ. ὤμοι ἐγώ· τάφῳ πρόσπολον ἐτεκόμαν.
ἀτὰρ τίς ὅδ' ἢ νόμος ἢ
τί θέσμιον, ὦ φίλος, Ἑλλάνων;
ΤΑ. εὐδαιμόνιζε παῖδα σήν· ἔχει καλῶς.
ΕΚ. τί τόδ' ἔλακες; ἆρά μοι ἀέλιον λεύσσει;
ΤΑ. ἔχει πότμος νιν, ὥστ' ἀπηλλάχθαι πόνων.
ΕΚ. τί δ' ἁ τοῦ χαλκεομήστορος Ἕκτορος δάμαρ,
Ἀνδρομάχα τάλαινα, τίν' ἔχει τύχαν;
ΤΑ. καὶ τήνδ' Ἀχιλλέως ἔλαβε παῖς ἐξαίρετον.
ΕΚ. ἐγὼ δὲ τῷ πρόσπολος ἁ τριτοβάμονος χερὶ
δευομένα βάκτρου γεραιῷ κάρᾳ;
ΤΑ. Ἰθάκης Ὀδυσσεὺς ἔλαχ' ἄναξ δούλην σ' ἔχειν.

---

249 ἄναξ] γέρας Nauck 250 ἦ *BN* ˜ super ʽ scr. B^2N | νύμφη *P* 254 ζόαν] Seidler, ζωάν libri 255 κούρης *BN* 257 κληΐδας *P*, κλειΐδας *O*, κλάδας J. Stanley | καὶ om. *C* 259 αὐτὴ *B*, αὐτὴν *H* 260 τί δ' ὃ] Tyrwhitt, τί δὲ τὸ *BC*, τί δὲ τὸν *NP* | ἀπεμέθεν *B*, ἀπεθέμεν *N* | ἔλαβε *N* | ποῦ μοι delevit Dindorf 263 ταύτην *O*, delet cum Burgesio Dindorf | ἔζευξε *O* 264 ἀχιλέως *B* 265 οἴμοι *BN* 266 ὅδ' ἦν *P* 267 τί om. *P* 268 ἔχει mut. in ἔχειν *B*, ἔχειν *CN* 269 fort. ἔλακες ἔλακες; 269 sq. delet E. Bruhn 270 πόνων *O*, κακῶν *P* 271 ἁ] Dindorf, ἡ libri | χαλκεομήστορος] Burges, χαλκεομήτορος *O*, χαλκεομίτορος *P* 272 ἀνδρομάχη *BCP* 273 καὶ τήνδ'] ταύτην Herwerden 275 τριτοβάμονος *P*, τριβάμονος *O* | χερὶ *H*, χειρὶ *OP* 276 δευομένᾳ *B*, δουλευομένᾳ *N* 277 Ἴθακος Nauck | σ' erasum in *P*

ΕΚ. ἒ ἔ.
ἄρασσε κρᾶτα κούριμον,
ἕλκ' ὀνύχεσσι δίπτυχον παρειάν.
ἰώ μοί μοι.
μυσαρῷ δολίῳ λέλογχα φωτὶ δουλεύειν,
πολεμίῳ δίκας, παρανόμῳ δάκει,
ὃς πάντα τἀκεῖθεν ἐνθάδ'
ἀντίπαλ' αὖθις ἐκεῖσε διπτύχῳ γλώσσᾳ
φίλα τὰ πρότερ' ἄφιλα τιθέμενος πάντων.
γοᾶσθ', ὦ Τρῳάδες, με.
βέβακα δύσποτμος. οἴχομαι
ἁ τάλαινα, δυστυχεστάτῳ
προσέπεσον κλήρῳ.

ΧΟ. τὸ μὲν σὸν οἶσθα, πότνια, τὰς δ' ἐμὰς τύχας
τίς ἆρ' Ἀχαιῶν ἢ τίς Ἑλλήνων ἔχει;
ΤΑ. ἴτ', ἐκκομίζειν δεῦρο Κασάνδραν χρεὼν
ὅσον τάχιστα, δμῶες, ὡς στρατηλάτῃ
ἐς χεῖρα δούς νιν, εἶτα τὰς εἰληγμένας
καὶ τοῖσιν ἄλλοις αἰχμαλωτίδων ἄγω.
ἔα· τί πεύκης ἔνδον αἴθεται σέλας;
πιμπρᾶσιν, ἢ τί δρῶσι, Τρῳάδες μυχούς,
ὡς ἐξάγεσθαι τῆσδε μέλλουσαι χθονὸς
πρὸς Ἄργος, αὑτῶν τ' ἐκπυροῦσι σώματα
θανεῖν θέλουσαι; κάρτα τοι τοὐλεύθερον
ἐν ταῖς τοιαύταις δυσλόφως φέρει κακά.

---

280 *ὀνύχεσι BNP* 282 *δολίῳ τε* Aldina 285 *τἀκεῖσ' P* 286 *ἀντίπαλ'*] fort. *ἀνετίθει πάλιν τ'* 287 *φίλα τὰ πρότερ' ἄφιλα*] Seidler, *ἄφιλα τὰ πρότερα φίλα OP* | *πάντως* Bothe, fort. *πάντᾳ* 288 *γοᾶσθέ μ', ὦ Τρῳάδες* Hartung 290 *ἁ* delet Seidler | *ἁ τάλαινα ἃ P* 291 *προσέπεσα P*, unde *προσέπαισα* Hermann, fort. *προσέπταισα* 292 *σὸν* om. *C* 293 *τί N* | *ἆρ' H*, *ἄρ' OP* 294 *κασάνδραν P κασσάνδραν p* 296 *χεῖρας O* | *δούς νιν P*, *δῶμεν O* | *εἰληγμένας*] Heath, *εἰλεγμένας OP* 297 *αἰχμαλωτίδας λέγω P* 298 *αἴθεται P*, *ἵσταται O*, huc refert glossam Hes. *αἴθεται· καίεται λαμπρῶς* Wesseling ratus verba *Εὐριπίδης Τρῳάσιν* glossae praecedenti *αἰθέρα· ἐμπυρισμόν, ἀπὸ τοῦ αἴθεσθαι*, quam quidem ad v. 1079 refert Alberti, adscripta ad hanc spectare 300 *μέλλουσι O* 301 *αὑτῶν*] Brodeau, *αὐτῶν OP* | versum delet F. Gu. Schmidt 303 *ταῖς τοιαύταις*] scripsi, *τοῖς τοιούτοις* libri | *κακά*] fort. *ζυγόν*

ἄνοιγ' ἄνοιγε, μὴ τὸ ταῖσδε πρόσφορον,
ἐχθρὸν δ' Ἀχαιοῖς εἰς ἔμ' αἰτίαν βάλῃ.
ΕΚ. οὐκ ἔστιν, οὐ πιμπρᾶσιν, ἀλλὰ παῖς ἐμὴ
μαινὰς θοάζει δεῦρο Κασάνδρα δρόμῳ.

ΚΑΣΑΝΔΡΑ.

ἄνεχε, πάρεχε, φῶς φέρε· σέβω, φλέγω stroph.
λαμπάσι τόδ' ἱερόν.
[Ὑμήν, ὦ Ὑμέναι' ἄναξ,] ἰδοὺ ἰδού.
μακάριος ὁ γαμέτας,
* * *
μακαρία δ' ἐγὼ βασιλικοῖς λέκτροις
κατ' Ἄργος ἁ γαμουμένα.
Ὑμήν, ὦ Ὑμέναι' ἄναξ.
ἐπεὶ σύ, μᾶτερ, ἐπὶ δάκρυσι καὶ
γόοισι τὸν θανόντα πατέρα πατρίδα τε
φίλαν καταστένουσ' ἔχεις,
ἐγὼ δ' ἐπὶ γάμοις ἐμοῖς
ἀναφλέγω πυρὸς φῶς
ἐς αὐγάν, ἐς αἴγλαν,
διδοῦσ', ὦ Ὑμέναιε, σοί,
διδοῦσ', ὦ Ἑκάτα, φάος,
παρθένων ἐπὶ λέκτροις ἃ νόμος ἔχει.

πάλλε πόδ' αἰθέριον, ἄναγε χορόν, εὐᾶν εὐοῖ, antistr.
ὡς ἐπὶ πατρὸς ἐμοῦ

---

305 λάβῃ mut. in βάλῃ *C* 308 φέρε schol. Aristoph. Av. 1720 (cfr. schol. ὡς πρός τινα ποιεῖται τὸν λόγον δᾳδουχοῦντα), φέρω *OP* | post φλέγω interponit ex 310 ἰδοὺ ἰδού Hermann, scribendum autem ex Musgravi coniectura ἰοὺ ἰού 310 ὑμήν om. *P* | ὦ ὑμὴν ὑμέναι' *O* | versum delevit Hermann 311 μακάριος μὲν Hermann | post 311 lacunam (μακάριος ὅδε) statuit Hermann 312 βασιλικοῖς λέκτροις om. *P* 313 ἀγα μένα m. 1 scr., spiritum mutavit et in spatio vacuo μου scr. m. 3 in *P*, ἀγουμένα *BN*, ἀγομένα *C* 314 ὑμῖν ὑμέναι' *P* 316 θανέντα *B* 319 ἐγὼ δ' *P*, ἐγὼ τόδ' *O*, fort. ἐγὼ δὲ τοῦτ' 321 εἰς αὐγάν, ἐς *P*, ἐς αὐγάν, ἐς ceteri 322 διδοῦσ' om. *P* | σοὶ *P*, σύ *O* | post hunc v. habent παρθένων (παρθένῳ *P*) ἐπὶ λέκτροις e v. 324 *OP* 423 φάους *P* 324 παρθένων ἐπὶ λέκτροις om. *O* | ᾶ *P* 325 πάλαι *P* | ἄναγε *P*, ἄνεχε *O*, ἄναγ' ἄναγε Hermann | εὐᾶν, εὐοῖ] Aldina, εὖ ἂν εὖ οἷ (vel οἷ vel οἱ) libri (εὖ ἂν οἱ *N*)

μακαριωτάταις τύχαις.
ὁ χορὸς ὅσιος,
ἄγε σύ, Φοῖβέ, νυν· κατὰ σὸν ἐν δάφναις
ἀνάκτορον θυηπολῶ,
Ὑμήν, ὦ Ὑμέναι', Ὑμήν.
χόρευε, μᾶτερ, ἄναγε, πόδα σὸν
ἕλισσε τᾷδ' ἐκεῖσε μετ' ἐμέθεν ποδῶν
φέρουσα φιλτάταν βάσιν.
βοάσατ' εὖ τὸν Ὑμέναιον, ὤ,
μακαρίαις ἀοιδαῖς
ἰαχαῖς τε νύμφαν.
ἴτ', ὦ καλλίπεπλοι Φρυγῶν
κόραι, μέλπετ' ἐμῶν γάμων
τὸν πεπρωμένον εὐνᾷ πόσιν ἐμέθεν.

ΧΟ. βασίλεια, βακχεύουσαν οὐ λήψῃ κόρην,
μὴ κοῦφον ἄρῃ βῆμ' ἐς Ἀργείων στρατόν;
ΕΚ. Ἥφαιστε, δᾳδουχεῖς μὲν ἐν γάμοις βροτῶν,
ἀτὰρ λυγράν γε τήνδ' ἀναιθύσσεις φλόγα
ἔξω τε μεγάλων ἐλπίδων. οἴμοι, τέκνον,
ὡς οὐχ ὑπ' αἰχμῆς σ' οὐδ' ὑπ' Ἀργείου δορὸς
γάμους γαμεῖσθαι τούσδ' ἐδόξαζόν ποτε.
παράδος ἐμοὶ φῶς· οὐ γὰρ ὀρθὰ πυρφορεῖς
μαινὰς θοάζουσ', οὐδέ σ' αἱ τύχαι, τέκνον,
ἐσωφρονήκασ', ἀλλ' ἔτ' ἐν ταὐτῷ μένεις.
ἐσφέρετε πεύκας δάκρυά τ' ἀνταλλάξατε
τοῖς τῆσδε μέλεσι, Τρῳάδες, γαμηλίοις.

---

329 ἄγε] fort. ἄρχε, cfr. schol. ἡγοῦ σὺ τοῦ θυηπόλου (l. τῇ θυηπόλῳ) | σοι *O* | νῦν *OP* 331 Ὑμήν, ὦ Ὑμέναι'] Seidler, ὦ ὑμήν, ὦ ὑμὴν (factum ex ὑμέν, superscr. αι) *P*, ὑμὴν ὦ ὑμὴν *O* 332 χόρευε μᾶτερ χόρευ' *P* | ἄναγε πόδα σὸν *P*, ἀναγέλασον *O* 333 τᾷδ'] Scaliger, τάδ' libri 334 φέρουσα corr. in φέρουσαι *P* 335 βάσατ' εὖ *P*, βοάσατε *O* 336 fort. μακαρίοις 338 ὦ *P*, ἔξω *O* 341 schol. ταῦτά τινες τῷ Ταλθυβίῳ, τινὲς δὲ τῷ χορῷ ἐπιμερίζουσιν 342 ἄρῃ] scripsi, αἴρῃ libri (αἶρε *B*) | ἐς hic libri 344 λυγράν τε *O*, πικράν γε *P* | ἀναιθύσεις *P* 345 τέκνων *BN* 346 σ' om. libri, addidit Musgrave 350 ἐσωφρονήκασ'] σοφὴν ἔθηκαν Hartung cl. frgm. 458, νενουθετήκασ' Herwerden, fort. ἐσωφρόνιζον | μενεῖς *N* 351 δάκρυα *P*, δάκρυσι *O* | ἀνταλλάξατε schol., ἀνταλλάσσετε libri (ἀνταλάσσατε *N*) 352 τοῖσδε *P*

ΚΑ. μῆτερ, πύκαζε κρᾶτ' ἐμὸν νικηφόρον
καὶ χαῖρε τοῖς ἐμοῖσι βασιλικοῖς γάμοις
καὶ πέμπε, κἂν μὴ τἀμά σοι πρόθυμά γ' ᾖ,
ὤθει βιαίως· εἰ γὰρ ἔστι Λοξίας,
Ἑλένης γαμεῖ με δυσχερέστερον γάμον
ὁ τῶν Ἀχαιῶν κλεινὸς Ἀγαμέμνων ἄναξ.
κτενῶ γὰρ αὐτὸν κἀντιπορθήσω δόμους
ποινὰς ἀδελφῶν καὶ πατρὸς λαβοῦσ' ἐμοῦ.
ἀλλ' αὔτ' ἐάσω· πέλεκυν οὐχ ὑμνήσομεν,
ὃς ἐς τράχηλον τὸν ἐμὸν εἶσι χἀτέρων,
μητροκτόνους τ' ἀγῶνας, οὓς οὑμοὶ γάμοι
θήσουσιν, οἴκων τ' Ἀτρέως ἀνάστασιν·
πόλιν δὲ δείξω τήνδε μακαριωτέραν
ἢ τοὺς Ἀχαιούς, ἔνθεος μέν, ἀλλ' ὅμως
[τοσόνδε γ' ἔξω στήσομαι βακχευμάτων·]
οἳ διὰ μίαν γυναῖκα καὶ μίαν Κύπριν
θηρῶντες Ἑλένην μυρίους ἀπώλεσαν.
ὁ δὲ στρατηγὸς ὁ σοφὸς ἐχθίστων ὕπερ
τὰ φίλτατ' ὤλεσ', ἡδονὰς τὰς οἴκοθεν
τέκνων ἀδελφῷ δοὺς γυναικὸς εἵνεκα,
καὶ ταῦθ' ἑκούσης κοὐ βίᾳ λελῃσμένης.
ἐπεὶ δ' ἐπ' ἀκτὰς ἤλυθον Σκαμανδρίους,
ἔθνῃσκον, οὐ γῆς ὅρι' ἀποστερούμενοι
οὐδ' ὑψίπυργον πατρίδ'· οὓς δ' Ἄρης ἕλοι,
οὐ παῖδας εἶδον, οὐ δάμαρτος ἐν χεροῖν
πέπλοις συνεστάλησαν, ἐν ξένῃ δὲ γῇ
κεῖνται. τὰ δ' οἴκοι τοῖσδ' ὅμοι' ἐγίγνετο·
χῆραί τ' ἔθνῃσκον, οἳ δ' ἄπαιδες ἐν δόμοις
ἄλλως τέκν' ἐκθρέψαντες, οὐδὲ πρὸς τάφοις

355 πέμπετε P | καὶ μὴ BN | καί μ', ἢν τἀμὰ μὴ πρόθυμ' ἔτ' ᾖ Heimsoeth 356 ὤθει βιαίως P, ὤθει αἰσίας O | εἰ O, οὐ P 357 δυσχερέστερον O, δυστυχέστερον P 361 ἀλλ' αὔτ'] Musgrave, ἄλλά (vel ἄλλα) τ' OP (in P m. 3 σ inter α et τ inseruit et ποινὰς superscripsit) | ὑμνήσομαι P 362 fort. χἀτέρου 365—83 delet Wilamowitz 367 τοσόνδε δ' ἐκτὸς schol. Or. 268 | versum delevi 368 κύπριν O, πόλιν P 371 οὕνεκα vel οὕνεκα libri 376 ὑψίπυργον πατρίδ'] Lenting, ὑψιπύργου πατρίδος libri | ἕλοι superscr. η B, ἕλκ superscr. οι N 377 παῖδες P 378 δὲ τῇ P 379 ἐγίνετο O, ἐγένετο P ante 380 versum excidisse putat Matthiae 381 ἄλλως] Tyrwhitt, ἄλλοις libri | ἐθρέψαντες P | τάφοις P, τάφους O

ἔσθ᾽ ὅστις αὐτῶν αἷμα γῇ δωρήσεται.
ἦ τοῦδ᾽ ἐπαίνου τὸ στράτευμ᾽ ἐπάξιον.
σιγᾶν ἄμεινον τἀσχρά, μηδὲ μοῦσά μοι
γένοιτ᾽ ἀοιδὸς ἥτις ὑμνήσει κακά.
Τρῶες δὲ πρῶτον μέν, τὸ κάλλιστον κλέος,
ὑπὲρ πάτρας ἔθνῃσκον· οὓς δ᾽ ἕλοι δόρυ,
νεκροί γ᾽ ἐς οἴκους φερόμενοι φίλων ὕπο
ἐν γῇ πατρῴᾳ περιβολὰς εἶχον χθονός,
χερσὶν περισταλέντες ὧν ἐχρῆν ὕπο·
ὅσοι δὲ μὴ θάνοιεν ἐν μάχῃ Φρυγῶν,
ἀεὶ κατ᾽ ἦμαρ σὺν δάμαρτι καὶ τέκνοις
ᾤκουν, Ἀχαιοῖς ὧν ἀπῆσαν ἡδοναί.
τὰ δ᾽ Ἕκτορός σοι λύπρ᾽ ἄκουσον ὡς ἔχει·
δόξας ἀνὴρ ἄριστος οἴχεται θανών,
καὶ τοῦτ᾽ Ἀχαιῶν ἵξις ἐξεργάζεται·
εἰ δ᾽ ἦσαν οἴκοι, χρηστὸς ὢν ἐλάνθανεν.
Πάρις δ᾽ ἔγημε τὴν Διός· γήμας δὲ μή,
σιγώμενον τὸ κῆδος εἶχεν ἐν δόμοις.
φεύγειν μὲν οὖν χρὴ πόλεμον ὅστις εὖ φρονεῖ·
εἰ δ᾽ ἐς τόδ᾽ ἔλθοι, στέφανος οὐκ αἰσχρὸς πόλει
καλῶς ὀλέσθαι, μὴ καλῶς δὲ δυσκλεές.
ὧν εἵνεκ᾽ οὐ χρή, μῆτερ, οἰκτείρειν σε γῆν,
οὐ τἀμὰ λέκτρα· τοὺς γὰρ ἐχθίστους ἐμοὶ
καὶ σοὶ γάμοισι τοῖς ἐμοῖς διαφθερῶ.

ΧΟ. ὡς ἡδέως κακοῖσιν οἰκείοις γελᾷς
μέλπεις θ᾽ ἃ μέλπουσ᾽ οὐ σαφῆ δείξεις ἴσως.

---

382 *αὐτῶν P*, *αὐτοῖς O* | *αἷμα*] fort. *λουτρὰ* 383 *ἦ τοῦδ᾽*] *τοιοῦδ᾽* (vel *καὶ τοῦδ᾽*) Dobree 384 *σιγᾶν δ᾽* Dobree 387 *ἕλοι δόρυ P*, *ἄρης ἕλοι O* 388 *γ᾽ O*, *δ᾽ P* | versum delet Dobree 390 *χερσὶ O* 393 *ἀπῆσαν P* *ὑπῆσαν p* 395 *δόξας*] *φανεὶς* Christ. pat. 1656 396 *τοῦτ᾽ P*, *ταῦτ᾽ O* et Christ. pat. 1652 | *ἵξις C*, *ἴξις BNP*, *ἧξις ἀντὶ τοῦ ἄφιξις. Εὐριπίδης Τρῳάσιν* Bekk. Anecd. I 99, *γράφεται καὶ ἡ ῾ρξις, ἵν᾽ ᾖ ἡ ἔρξις καὶ ἡ πρᾶξις* schol., cfr. Hesych. *ἶξις· παρουσία, ἄφιξις* 397 *ὢν ἐλάνθανεν P* et Christ. pat. 1658, *ἔλαθεν ἂν γεγώς O* 398 *δ᾽ P*, *τ᾽ O* 399 *κῆδος CP*, *κῦδος BN* et Christ. pat. 1660 | *εἶχεν P* et Christ. pat., *εἶδεν O* 400 *οὖν* om. *BN* 401 *ἐς* hic *BCP* | fort. *στέφανος ἀπολέσθαι καλῶς*, versu proximo deleto 402 *ὀρέγεσθαι N* | *δυσκλεές P*, *δυσκλεής BC*, *δυσκλαιὴς N* 403 *οὕνεκ᾽* vel *οὕνεκ᾽* libri 404 *οὐ O*, *ἢ P* 406 *γελᾷς*] fort. *χλιδᾷς*

ΤΑ. εἰ μή σ' Ἀπόλλων ἐξεβάκχευεν φρένας,
οὔ τἂν ἀμισθὶ τοὺς ἐμοὺς στρατηλάτας
τοιαῖσδε φήμαις ἐξέπεμπες ἂν χθονός.
ἀτὰρ τὰ σεμνὰ καὶ δοκήμασιν σοφὰ
οὐδέν τι κρείσσω τῶν τὸ μηδὲν ἦν ἄρα.
ὁ γὰρ μέγιστος τῶν Πανελλήνων ἄναξ,
Ἀτρέως φίλος παῖς, τῆσδ' ἔρωτ' ἐξαίρετον
μαινάδος ὑπέστη· καὶ πένης μέν εἰμ' ἐγώ,
ἀτὰρ λέχος γε τῆσδ' ἂν οὐκ ἐκτησάμην.
καὶ σοῦ μέν· οὐ γὰρ ἀρτίας ἔχεις φρένας·
Ἀργεῖ' ὀνείδη καὶ Φρυγῶν ἐπαινέσεις
ἀνέμοις φέρεσθαι παραδίδωμ'· ἕπου δέ μοι
πρὸς ναῦς, καλὸν νύμφευμα τῷ στρατηλάτῃ.
σὺ δ', ἡνίκ' ἄν σε Λαρτίου χρῄζῃ τόκος
ἄγειν, ἕπεσθαι· σώφρονος δ' ἔσῃ λάτρις
γυναικός, ὥς φασ' οἱ μολόντες Ἴλιον.
ΚΑ. ἦ δεινὸς ὁ λάτρις. τί ποτ' ἔχουσι τοὔνομα
κήρυκες ἓν ἀπέχθημα πάγκοινον βροτοῖς,
οἱ περὶ τυράννους καὶ πόλεις ὑπηρέται;
σὺ τὴν ἐμὴν φῂς μητέρ' εἰς Ὀδυσσέως
ἥξειν μέλαθρα; ποῦ δ' Ἀπόλλωνος λόγοι,
οἵ φασιν αὐτὴν εἰς ἔμ' ἡρμενευμένοι
αὐτοῦ θανεῖσθαι; τἄλλα δ' οὐκ ὀνειδιῶ.
δύστηνος, οὐκ οἶδ' οἷά νιν μένει παθεῖν·
ὡς χρυσὸς αὐτῷ τἀμὰ καὶ Φρυγῶν κακὰ
δόξει ποτ' εἶναι. δέκα γὰρ ἐκπλήσας ἔτη
πρὸς τοῖσιν ἐνθάδ', ἵξεται μόνος πάτραν
— — — — — — — — —
οὗ δὴ στενὸν δίαυλον ᾤκισται πέτρας
δεινὴ Χάρυβδις, ὠμοβρώς τ' ὀρειβάτης

408 ἐξεβάκχευε *BNP*, ἐξεβάκχευσε *C* 409 οὔ τἂν] Lenting, οὐκ ἂν *O*, οὔκουν *P* 411 δοκήμασι *OP*, δοκήμασιν *p* 412 κρείσσων *P* | ἄρα ex ἄγαν factum in *B* 415 μὲν om. *N* 417 σοῦ] Hermann, σοὶ libri 421 ἡνίκ' ἄν *P*, ἢν κάν *B*, ἢν κἄν *N*, οὖν κἂν οὔ *C* | λαερτίου *P* | χρῄζει *BN*, χρῄζοι *P* 422 ἕπεσθαι *O*, φέρεσθαι *P*
429 ἡνρμηνευμένοι vel ἡυρμηνευμένοι *P* 431 μιν *C* 433 δόξει] δείξει *C* | ἐκπλήσας *O*, ἀντλήσας *P* 434 ἥξεται corr. in ἵξεται *P* | post hunc v. nonnulla excidisse monuit Heath 435 στενών *C* | ᾤκισται *P*, ᾤκιστα *O* | πέρας *P* 436 ὠμοβρώς τ' ὀρειβάτης] Scaliger,

Κύκλωψ, Λιγυστίς θ' ἡ συῶν μορφώτρια
Κίρκη, θαλάσσης θ' ἁλμυρᾶς ναυάγια,
λωτοῦ τ' ἔρωτες, Ἡλίου θ' ἁγναὶ βόες,
αἳ σάρκα φωνήεσσαν ἕξουσίν ποτε,
πικρὰν Ὀδυσσεῖ γῆρυν. ὡς δὲ συντέμω,
ζῶν εἶσ' ἐς Ἅιδου κἀκφυγὼν λίμνης ὕδωρ
κάκ' ἐν δόμοισι μυρί' εὑρήσει μολών.

ἀλλὰ γὰρ τί τοὺς Ὀδυσσέως ἐξακοντίζω πόνους;
στεῖχ' ὅπως τάχιστ'· ἐν Ἅιδου νυμφίῳ γημώμεθα.
ἦ κακὸς κακῶς ταφήσῃ νυκτός, οὐκ ἐν ἡμέρᾳ,
ὦ δοκῶν σεμνόν τι πράσσειν, Δαναϊδῶν στρατηλάτα.
κἀμέ τοι νεκρὸν φάραγγες γυμνάδ' ἐκβεβλημένην
ὕδατι χειμάρρῳ ῥέουσαι νυμφίου πέλας τάφου
θηρσὶ δώσουσιν δάσασθαι, τὴν Ἀπόλλωνος λάτριν.
ὦ στέφη τοῦ φιλτάτου μοι θεῶν, ἀγάλματ' εὔια,
χαίρετ'· ἐκλέλοιφ' ἑορτάς, αἷς πάροιθ' ἠγαλλόμην.
ἴτ' ἀπ' ἐμοῦ χρωτὸς σπαραγμοῖς, ὡς ἔτ' οὖσ' ἁγνὴ χρόα
δῶ θοαῖς αὔραις φέρεσθαί σοι τάδ', ὦ μαντεῖ' ἄναξ.
ποῦ σκάφος τὸ τοῦ στρατηγοῦ; ποῖ ποτ' ἐμβαίνειν με χρή;
οὐκέτ' ἂν φθάνοις ἂν αὔραν ἱστίοις καραδοκῶν,
ὡς μίαν τριῶν Ἐρινὺν τῆσδέ μ' ἐξάξων χθονός.
χαῖρέ μοι, μῆτερ, δακρύσῃς μηδέν· ὦ φίλη πατρίς
οἵ τε γῆς ἔνερθ' ἀδελφοὶ χὠ τεκὼν ἡμᾶς πατήρ,
οὐ μακρὰν δέξεσθέ μ'· ἥξω δ' ἐς νεκροὺς νικηφόρος
καὶ δόμους πέρσασ' Ἀτρειδῶν, ὧν ἀπωλόμεσθ' ὕπο.

ὠμοβροστορειβάτης P, *ὠμόφρων ἐπιστάτης O*, cfr. Hesych. *χάρυβδις ὠμόβροτος· ἡ ἀναπινομένη θάλασσα* 437 *θ' ἡ*] *χ' ἡ C* | *μορφάτρια P* 438 *θ' ἁλμυρᾶς CN*, *θ' ἁλμηρᾶς B*, *δ' ἁλμυρὰ P* 439 *θ' ἔρωτες ἰλίου P* 440 *φονήεσσαν P* *φωνήεσσαν p*, *φωνήεσαν B* | *ἕξουσιν*] Kirchhoff, *ἥσουσι* vel *ἥσουσιν* libri 441 *δὴ P* | *συντεμῶ P*, *συνδέτω N* 442 *ζῶν εἶσ' H*, *ζῶν εἷς P* *ζῶν εἶσ' p*, *ζῶν BN*, *καὶ ζῶν C* | *ἅδου P*, *ἅδην O* (*ην* ex *ου* fecit *B*) 444 *τ* P* *τί p* | *ὀδυσέως B* | *ἐξαντίζω O* | *πόνους*] fort. *λόγους* 445 *ἐν*] J. Heiland, *ἐς* libri | *γημώμεθα P*, *γαμώμεθα O* 447 *πράττειν P*, fort. *πράξειν* | *στρατηλάτα P*, *ἀρχηγέτα O* 448 *τι C* | *νεκρῶν B*, *νεκρὸς N* | *γυμνάν θ' P* 450 *δώσουσι OP* 452 *ἐκλέλοιπα δ' O* 455 *ποῦ P*, *ποῖ O* | *τὸ* om. *C* | *τοῦ στρατηγοῦ*] *τῶν Ἀτρειδῶν* Cic. ad Att. VII 3, 5 | *ποῖ ποτ' C*, *ποί ποτ' P*, *ποῦ ποτ' B*, *ποῦ τ' N* | *ποτ'*] *πόδ'* Elmsley | *με* om. *P* 457 *ἐρινὴν* ut videtur *B*, *ἐριννῦν C*, *ἐρινὺν* corr. in *ἐριννὺν N* 458 *δακρύσῃς P*, *δακρύση O* 459 *χὁ B*, *καὶ ὁ P* | *ὑμᾶς C* 460 *μακρὰν P*, *μακρὰ O* | *ἥξω P*, *ἥκω O* 461 *ἀπωλόμεθ'* (*ω* ex *ολ* facto) *P*

ΧΟ. Ἑκάβης γεραιᾶς φύλακες, οὐ δεδόρκατε
δέσποιναν ὡς ἄναυδος ἐς πέδον πίτνει;
οὐκ ἀντιλήψεσθ᾽; ἢ μεθήσετ᾽, ὦ κακαί,
γραῖαν πεσοῦσαν; αἴρετ᾽ εἰς ὀρθὸν δέμας.
ΕΚ. ἐᾶτέ μ᾽ οὕτω· φίλα τὰ μὴ φίλ᾽, ὦ κόραι·
κεῖσθαι πεσοῦσαν· πτωμάτων γὰρ ἄξια
πάσχω τε καὶ πέπονθα κἄτι πείσομαι.
ὦ θεοί· κακοὺς μὲν ἀνακαλῶ τοὺς συμμάχους,
ὅμως δ᾽ ἔχει τι σχῆμα κικλήσκειν θεούς,
ὅταν τις ἡμῶν δυστυχῆ λάβῃ τύχην.
πρῶτον μὲν οὖν μοι τἀγάθ᾽ ἐξᾶσαι φίλον·
τοῖς γὰρ κλύουσι πλείον᾽ οἶκτον ἐμβαλῶ.
ἦ μὲν τύραννος κἀς τύραννν᾽ ἐγημάμην,
κἀνταῦθ᾽ ἀριστεύοντ᾽ ἐγεινάμην τέκνα,
οὐκ ἀριθμὸν ἄλλως, ἀλλ᾽ ὑπερτάτους Φρυγῶν·
οὐ Τρῳὰς οὐδ᾽ Ἑλληνὶς οὐδὲ βάρβαρος
γυνὴ τεκοῦσα κομπάσειεν ἄν ποτε.
κἀκεῖνά τ᾽ εἶδον δορὶ πεσόνθ᾽ Ἑλληνικῷ
τρίχας τ᾽ ἐτμήθην τάσδε πρὸς τύμβοις νεκρῶν,
καὶ τὸν φυτουργὸν Πρίαμον οὐκ ἄλλων πάρα
κλύουσ᾽ ἔκλαυσα, τοῖσδε δ᾽ εἶδον ὄμμασιν
αὐτὴ κατασφαγέντ᾽ ἐφ᾽ ἑρκείῳ πυρᾷ,
πόλιν θ᾽ ἁλοῦσαν. ἃς δ᾽ ἔθρεψα παρθένους
ἐς ἀξίωμα νυμφίων ἐξαίρετον,

---

462 *γηραιᾶς N* 463 *ἐς* hic *BC* | *πέδον O, ἄδην P* | *πιτνεῖ* libri 464 *ἀντιλήψετ᾽ O* | *μεθήσεσθ᾽ P* 465 fort. *ἄρατ᾽* | *δέμας O, πάλιν P* 466 *οὕτω*] Bothe, *οὕτοι* libri, *οὔτι* Christ. pat. 1034 468 *καὶ ἔτι P* 471 *λάχῃ* Naber 472 *φίλον*] *δέον* Christ. pat. 535 473 *τοῖ B, τοὶ N* | *κλύουσι*] scripsi, *κακοῖσι* libri et Christ. pat. 536 (*πρὸς γὰρ κακοῖσι* Apsines rhet. I p. 405 Sp.) 474 *ἦ μὲν τύραννος*] Elmsley, *ἦμεν* (*ἦ μὲν N*) *τύραννοι* libri, *ἤμην τύραννος* Apsines p. 394 (*ἤμην ἄνανδρος* Christ. pat. 537) | *κείς* libri | *τύραννʼ O, τυραννʼ* (os supra) *P* ς in ν mut. *p* 475 *ἐγεινόμην P* 476 *οὔκουν ἀριθμὸν*, omisso *ἄλλως*, *C* | *ἀλλ᾽* om. *BN* 477 *οὐ τοιάδ᾽ οὔθ᾽ Ἑλληνὶς οὔτε* Weil, fort. *τοιαῦτα δ᾽ οὔθ᾽ Ἑλληνὶς οὔτε*, at 477 sq. delet Dindorf 479 *καὶ ταῦτ᾽ ἐπεῖδον* Apsines, fort. *κἀκεῖν᾽ ἐπεῖδον* et in v. proximo *τρίχας δ᾽* 480 *τ᾽ P, δ᾽ O* | *τάσδε*] fort. *τῶνδε* | *τύμβον P* | versum om. Apsines 482 *ἤκουον, ἀλλὰ τοῖσδ᾽ ἐπεῖδον ὄμμασι* Apsines | *τοῖσδ᾽ εἶδον P* 483 *αὐτὰ N* | *ἑρκίο P ἑρκείω p, ἑρκίῳ O* | *ἑρκείου Διός* Apsines, qui subiungit Androm. 401, unde *Ἑρκείου πυρᾷ* Lenting 484 *πόλιν θανοῦσαν P* 485 *νυμφίον BN*

ἄλλοισι θρέψασ᾽ ἐκ χερῶν ἀφῃρέθην.
κοὔτ᾽ ἐξ ἐκείνων ἐλπὶς ὡς ὀφθήσομαι,
αὐτή τ᾽ ἐκείνας οὐκέτ᾽ ὄψομαί ποτε.
τὸ λοίσθιον δέ, θριγκὸς ἀθλίων κακῶν,
δούλη γυνὴ γραῦς Ἑλλάδ᾽ εἰσαφίξομαι.
ἃ δ᾽ ἐστὶ γήρᾳ τῷδ᾽ ἀσυμφορώτατα,
τούτοις με προσθήσουσιν, ἢ θυρῶν λάτριν
κλῇδας φυλάσσειν, τὴν τεκοῦσαν Ἕκτορα,
ἢ σιτοποιεῖν, κἀν πέδῳ κοίτας ἔχειν
ῥυσοῖσι νώτοις βασιλικῶν ἐκ δεμνίων,
τρυχηρὰ περὶ τρυχηρὸν εἱμένην χρόα
πέπλων λακίσματ᾽, ἀδόκιμ᾽ ὀλβίοις ἔχειν.
οἲ ᾽γὼ τάλαινα, διὰ γάμον μιᾶς ἕνα
γυναικὸς οἵων ἔτυχον ὧν τε τεύξομαι.
ὦ τέκνον, ὦ σύμβακχε Κασάνδρα θεοῖς,
οἵαις ἔλυσας συμφοραῖς ἅγνευμα σόν.
σύ τ᾽, ὦ τάλαινα, ποῦ ποτ᾽ εἶ, Πολυξένη;
ὡς οὔτε μ᾽ ἄρσην οὔτε θήλεια σπορὰ
πολλῶν γενομένων τὴν τάλαιναν ὠφελεῖ.
τί δῆτά μ᾽ ὀρθοῦτ᾽; ἐλπίδων ποίων ὕπο;
ἄγετε τὸν ἁβρὸν δήποτ᾽ ἐν Τροίᾳ πόδα,
νῦν δ᾽ ὄντα δοῦλον, στιβάδα πρὸς χαμαιπετῆ
πέτρινά τε κρήδεμν᾽, ὡς πεσοῦσ᾽ ἀποφθαρῶ
δακρύοις καταξανθεῖσα. τῶν δ᾽ εὐδαιμόνων
μηδένα νομίζετ᾽ εὐτυχεῖν, πρὶν ἂν θάνῃ.

ΧΟ. ἀμφί μοι Ἴλιον, ὦ — stroph.
Μοῦσα, καινῶν ὕμνων
ἄεισον ἐν δακρύοις

486 ἄλλως ἔθρεψα κἀκ Burges | χειρῶν *BN* 489 θριγγὸς *P*, fort. θριγκὸν 490 ἑλλάδ᾽ εἰσαφίξομαι *O*, εἰσαφίξομαι *P* δόμους superscr. *p* (i. e. εἰς δόμους ἀφίξομαι) 491 τῷδε συμφορώτατα *P* 493 κληῗδας mut. in κλῇδας *P*, κλείδας *O* | φυλάττειν *BN*, φυλά *C* | τεκοῦσαν θ᾽ *C* 494 καὶ πέδῳ (ε ex alia lit. fecit *p*) *P* 496 τρυχηλὸν εἱμένη *P* 497 πλακίσματ᾽ *C* | versus suspectus 498 οἲ (vel οἶ) ἐγὼ *OP* | γάμων *P* 500 σὺ βάκχε κασάνδρα (κασσάνδρα *p*) *P* 506 αὖρον *P* ἁβρὸν *p* 507 χαμαιπετῆ *P*, χαμερπτῆ *BN*, χαμερπῆ *C* 508 κρήδεμν᾽] δέμνι᾽ Dobree | ἀποφ (θ add. *p*) αρῶ *P* 509 fort. καταναvθεῖσα, cfr. Hipp. 274 510 θάνῃ (η factum ex οι) *P* 513 ἐν δακρύοις] δακρύουσ᾽ Kirchhoff, fort. σὺν θρήνοις

ᾠδὰν ἐπικήδειον·
νῦν γὰρ μέλος ἐς Τροίαν
ἰαχήσω,
τετραβάμονος ὡς ὑπ' ἀπήνας
Ἀργείων ὀλόμαν τάλαινα δοριάλωτος,
ὅτ' ἔλιπον ἵππον οὐράνια
βρέμοντα χρυσεοφάλαρον ἔνοπλον
ἐν πύλαις Ἀχαιοί·
ἀνὰ δ' ἐβόασεν λεὼς
Τρῳάδος ἀπὸ πέτρας σταθείς·
ἴτ', ὦ πεπαυμένοι πόνων,
τόδ' ἱερὸν ἀνάγετε ξόανον
Ἰλιάδι Διογενεῖ κόρᾳ.
τίς οὐκ ἔβα νεανίδων,
τίς οὐ γεραιὸς ἐκ δόμων;
κεχαρμένοι δ' ἀοιδαῖς
δόλιον ἔσχον ἄταν.

πᾶσα δὲ γέννα Φρυγῶν — antistr.
πρὸς πύλας ὡρμάθη,
πεύκᾳ ἐν οὐρείᾳ
ξεστὸν λόχον Ἀργείων
καὶ Δαρδανίας ἄταν
θεᾷ δώσων
χάριν ἄζυγος ἀμβροτοπώλου·
κλωστοῦ δ' ἀμφιβόλοις λίνοιο ναὸς ὡσεὶ

514 ἐπικήδειον] ut habet schol. ad v. 511, Barnes, ἐπιτήδειον libri, cfr. Hesych. ἐπικήδειον· ἐπιθανάτιον 515 ἐς hic *O* 516 ἰαχήσω (ἰα ex ἰσ ut videtur corr. *p*) *P*, fort. ἀχήσω 517 ἀπήνης *P* 518 ὀλόμαν] Musgrave, ὀλοίμαν libri | δωριάλωτος *B* 519 ἔλειπον *BN* 520 χρυσοφάλαρον Seidler 522 ἐβόασεν *H*, ἐβόασε *OP*, cfr. Hesych. ἀνὰ δ' ἐβόασ' ὁ λεώς· ἀνεβόησε δὲ ὁ λαός 523 ὁ τρῳάδος *P* | πέτρας] fort. σκοπᾶς 525 τόδε *N* | ἱρὸν *P* | ἄγετε *O* | ξοάνων *P*

527 fort. τίς δ' | νεανιῶν Bothe, fort. νεανιᾶν 528 γεραιὸν mut. in γεραιὸς *B* 533 πευκάεντ' οὔρειον Fix, fort. πυκάεντ' οὔρειον (ὄρειον Kirchhoff) | οὐρανεία *C* 534 λόχων *P* 536 θεᾷ] Aldina, θέα *OP* i. e. θέᾳ, cfr. schol. θεασόμενος | fort. θεᾶς θήσων (i. e. ἀναθήσων) 537 χάριν] Aldina, καὶ χάριν libri | ἀμβροτοπώλου] Musgrave (auctore Barnesio), ἀμβρότα (ἄμβροτα *C*) πώλου (πάλου *N*) *O*, ἀμβρῶτα πόλου *P* 538 λίνοιο] Bothe, λίνοισι libri (λίνοι *C*), cfr. schol. κλωστοῦ λίνου ἀμφιβόλοις | ὡσεὶ] Matthiae, ὡς εἰς *O*, ὡς *P*, cfr. schol. καθάπερ

σκάφος κελαινὸν εἰς ἕδρανα
λάινα δάπεδά τε φόνια πατρίδι
Παλλάδος θέσαν θεᾶς.
ἐπὶ δὲ πόνῳ καὶ χαρᾷ
νύχιον ἐπεὶ κνέφας παρῆν,
Λίβυς τε λωτὸς ἐκτύπει
Φρύγιά τε μέλεα, παρθένοι δ'
ἀέριον ἀνὰ κρότον ποδῶν
βοὰν ἔμελπον εὔφρον', ἐν
δόμοις δὲ παμφαὲς σέλας
πυρὸς μέλαιναν αἴγλαν
ἔδωκεν ὕπνῳ.

ἐγὼ δὲ τὰν ὀρεστέραν
τότ' ἀμφὶ μέλαθρα παρθένον
Διὸς κόραν ["Αρτεμιν] ἐμελπόμαν
χοροῖσι· φοινία δ' ἀνὰ
πτόλιν βοὰ κατεῖχε Περ-
γάμων ἕδρας· βρέφη δὲ φίλι-
α περὶ πέπλους ἔβαλλε μα-
τρὶ χεῖρας ἐπτοημένας·
λόχου δ' ἐξέβαιν' Ἄρης,
κόρας ἔργα Παλλάδος.
σφαγαὶ δ' ἀμφιβώμιοι
Φρυγῶν, ἔν τε δεμνίοις
καρατόμος ἐρημία
νεανίδων στέφανον ἔφερεν
Ἑλλάδι κουροτρόφῳ,
Φρυγῶν δὲ πατρίδι πένθος.

540 *πέδα C* | *τε φόνια*] Aldina, *τε φοίνια P*, *τε φοίνια τε BN*, *φοίνιά τε C*, *φόνιά τε* lemma scholii 542 *ἐπὶ P*, *ἐν O* 543 *νύκτερον* Bothe | *ἐπεὶ*] Reiske, *ἐπὶ* libri 546 fort. *αἰθέριον*, cfr. 325 547 *βοὰν*] Burges, *βοάν τ'* libri | *ἐνὶ O* 549 *αἴγλαν*] *ἀχλὺν* Bothe 550 *ἀπεδίωκε νυκτός* Heimsoeth (*ἀπεδίωκεν* Hermann) 554 *"Αρτεμιν* delevit Seidler 556 *κατεῖχεν P* 557 *θήλια* superscr. *φι C* 558 *περὶ πλέκους* (i. e. *περιπλέκουσ'*) *C* | *ἔβαλλε N*, *ἔβαλε* mut. in *ἔβαλλε B*, *ἔβαλε CP* | *μητρὶ O*, *μ͞ρὶ P*, *ματρὶ* Aldina 560 *ἐξέβαινεν OP* 562 *ἀμφὶ βωμοῖσιν P* 564 *καρατόμος P*, *καράτομος O* 565 *νεανιῶν* Bothe, fort. *νεανιᾶν* 566 *κουροτρόφω P*, *κουροτρόφον O*, fort. *νικηφόρον* 567 *δὲ* om. *P* | *πένθη P*

Ἑκάβη, λεύσσεις τήνδ' Ἀνδρομάχην
ξενικοῖς ἐπ' ὄχοις πορθμευομένην;
παρὰ δ' εἰρεσίᾳ μαστῶν ἕπεται
φίλος Ἀστυάναξ, Ἕκτορος ἶνις.
ποῖ ποτ' ἀπήνης νώτοισι φέρῃ,
δύστηνε γύναι, πάρεδρος χαλκέοις
Ἕκτορος ὅπλοις σκύλοις τε Φρυγῶν
δοριθηράτοις,
οἷσιν Ἀχιλλέως παῖς Φθιώτης
στέψει ναοὺς ἀπὸ Τροίας;

AN. *Ἀχαιοὶ δεσπόται μ' ἄγουσιν.* stroph.
EK. *ὤμοι.* *AN.* *τί παιᾶν' ἐμῶν στενάζεις*
EK. *αἰαῖ.* *AN.* *τόνδ' ἀλγέων*
EK. *ὦ Ζεῦ.* *AN.* *καὶ συμφορᾶς;*
EK. *τέκεα,* *AN.* *πρίν ποτ' ἦμεν.*

EK. *βέβακ' ὄλβος, βέβακε Τροία* antistr.
AN. *τλάμων.* *EK.* *ἐμῶν τ' εὐγένεια παίδων.*
AN. *φεῦ φεῦ.* *EK.* *φεῦ δῆτ' ἐμῶν*
AN. *κακῶν.* *EK.* *οἰκτρὰ τύχα*
AN. *πόλεος,* *EK.* *ἃ καπνοῦται.*

AN. *μόλοις, ὦ πόσις, μοι,* stroph.
EK. *βοᾷς τὸν παρ' Ἅιδᾳ*
παῖδ' ἐμόν, ὦ μελέα.
AN. *σᾶς δάμαρτος ἄλκαρ.*

EK. *σύ τ', ὦ λῦμ' Ἀχαιῶν* antistr.

568 *χο.* praefixit *B*, *ἡμιχ.* *N* 572 *ἑκ.* praefigunt *OP*, delevit Kirchhoff 573 *δύστηνε*] Dindorf, *δύστανε* libri 575 *ἀχιλέως* *BN* | *Φθιώτης*] Dindorf, *φθιώτας* libri 578 *ὤμοι*] Seidler (*οἴμοι* Burges), *ἰώ μοί μοι* libri, cfr. schol. *ἐπειδὴ εἶπεν οἴμοι κτέ.* | *ἐμῶν*] Jacobs et Hermann, *ἐμὸν* libri 579 *αἰαῖ*] Burges, *αἶ αἶ αἶ αἶ* libri | *τόνδ'*] Jacobs et Hermann, *τῶνδ'* libri 580 *ὦ*] Seidler, *ἰὼ* libri 581 *τέκνα* mut. in *τέκεα* *P* 582 *βέβακ'*] Burges, *βέβακεν* *OP* | *βέβακε*] *βέβηκε* *N* 583 *τλᾶμον* *C*, *τλήμων* *P* 584 *φεῦ δῆτ', ἐμᾶς τ'* Hermann 585 *AN.* om. *O* | *κακῶν*] *ὤμοι* Dindorf | *EK.* *P*, *AN.* *O* | *οἰκτρὰ*] Burges, *οἰκτρά γε* libri, *λαμπρὰ* Hermann 586 *AN.* *P*, *EK.* *O* | *πόλεος*] Burges, *πόλεως* libri | *EK.* *P*, *AN.* *O* | *καπνοῦτα* *N* 587 *AN.* om. *O* | *μόλις* *NP* | *πόσις*] Burges, *πόσι* vel *ποσί* libri 588 *τί βοᾷς* *C* | *Ἅιδᾳ*] Seidler, *ᾅδη* libri 591 *EK.* om. *O* | *σύ τε ὦ* *P*

ΑΝ. τέκνων δέ ποθ' ἁμῶν
πρεσβυγενὲς Πρίαμε.
ΕΚ. κοίμισαί μ' ἐς Ἅιδου.
ΑΝ. οἵδε πόθοι μεγάλοι· σχέτλια τάδε πάσχομεν ἄλγη, stroph.
οἰχομένας πόλεως, ἐπὶ δ' ἄλγεσιν ἄλγεα κεῖται
δυσφροσύναισι θεῶν, ὅτε σὸς γόνος ἔκφυγεν Ἅιδαν,
ὃς λεχέων στυγερῶν χάριν ὤλεσε πέργαμα Τροίας.
αἱματόεντα δὲ θεᾷ παρὰ Παλλάδι σώματα νεκρῶν
γυψὶ φέρειν τέταται· ζυγὰ δ' ἤνυσε δούλια Τροία.
ΕΚ. ὦ πατρὶς ὦ μελέα, κατερειπομέναν σε δακρύω· antistr.
νῦν τέλος οἰκτρὸν ὁρᾷς· καὶ ἐμὸν δόμον ἔνθ' ἐλοχεύθην.
ὦ τέκν', ἔρημος πόλις μάτηρ ἀπολείπεται ὑμῶν
οἷος ἰάλεμος οἷά τε πένθη
δάκρυά τ' ἐκ δακρύων καταλείβεται
ἁμετέροισι δόμοισιν. ὁ θανὼν δ' ἐπι-
λάθεται ἀλγέων ἀδάκρυτος.

ΧΟ. ὡς ἡδὺ δάκρυα τοῖς κακῶς πεπραγόσι
θρήνων τ' ὀδυρμοὶ μοῦσά θ' ἣ λύπας ἔχει.
ΑΝ. ὦ μῆτερ ἀνδρός, ὅς ποτ' Ἀργείων δορὶ
πλείστους διώλεσ', Ἕκτορος, τάδ' εἰσορᾷς;
ΕΚ. ὁρῶ τὰ τῶν θεῶν, ὡς τὰ μὲν πυργοῦσ' ἄνω
τὸ μηδὲν ὄντα, τὰ δὲ δοκοῦντ' ἀπώλεσαν.

---

592 *ΑΝ.* et 594 *ΕΚ.* om. libri, praescripsit Kirchhoff 592 δέποθ' *P*, δέσποθ' *O* | fort. τεκὼν δὴ πόσιν μοι 594 κοίμισσαι *C*, κοίμισε *P*, κόμισαι *BN* | μ' εἰς *O*, με εἰς *P* 595—600 Andromachae, 601—607 Hecubae tribuit Seidler, *ΧΟ.* ante οἵδε *OP*, *ΑΝ.* *BN*, *ΕΚ.* *P* ante σχέτλια, 596 *ΧΟ.* ante οἰχομένας et *ΕΚ.* ante ἐπὶ *P*, 597 *ΧΟ.* ante δυσφροσύναισι *P*, 601 *ΕΚ.* *OP*, 602 *ΧΟ.* ante νῦν et *ΕΚ.* ante καὶ *OP*, 603 *ΑΝ.* et 604 *ΕΚ.* *P* 595 σχέτλι' αἳ τάδε Hermann, σχετλιώτατα Nauck, σχέτλι' ὡς τάδε Kirchhoff 596 κεῖται *P*, κεῖνται *O* 597 ὅτε *O*, ὁ δὲ *P* | ἔκφυγεν] Aldina, ἔφυγεν *OP* | ᾅδην *BN* 600 τέτακται *O* | δούλεια *O* 601 κατερειπομέναν] Jacobs, καταλειπομέναν *BN*, καταλιπομέναν *C*, καταλειπομένα *P* 602 καὶ ἐγὼ δόμων *P* | ὁρᾷς καὶ ἐμοῦ δόμου C. Busche, fort. ὁρᾷ καὶ ἐμὸς δόμος (ἐμὸς δόμος etiam Herwerden) 603 ὦ τέκν', ἔρημα πολίσματ', ἔρ⟨ημα δὲ δώματα πατρός⟩ Nauck 604 fort. ὧν ἀπολείπεται οἷος ἰάλεμος οἷά τε πένθη 605 τ'] fort. δ' 606 sq. ἁμετέροισι δόμοις (sic Burges). ὁ θανὼν δ' ἐπιλάθεται ἀλγέων Seidler et Dobree, fort. ἁμετέροισι δόμοισι. μόνος δ' ὁ θανὼν ἀδάκρυτος 608 πεπραγόσι *O*, πεπονθόσι *P* et Stob. fl. 122, 4 609 θ' ἃ *O* 610 ὅπποτ' *B*, ὁππότ' *N* et priore π ex alia litera facto *C* 613 τὸ] Elmsley, τὰ libri | ἀπώλεσα *P*

ΑΝ. ἀγόμεθα λεία σὺν τέκνῳ, τὸ δ' εὐγενὲς
ἐς δοῦλον ἥκει, μεταβολὰς τοσάσδ' ἔχον.
ΕΚ. τὸ τῆς ἀνάγκης δεινόν· ἄρτι κἀπ' ἐμοῦ
βέβηκ' ἀποσπασθεῖσα Κασάνδρα βίᾳ.
ΑΝ. φεῦ φεῦ·
ἄλλος τις Αἴας, ὡς ἔοικε, δεύτερος
παιδὸς πέφηνε σῆς· νοσεῖς δὲ χἄτερα.
ΕΚ. ὧν γ' οὔτε μέτρον οὔτ' ἀριθμὸς ἔστι μοι·
κακῷ κακὸν γὰρ εἰς ἅμιλλαν ἔρχεται.
ΑΝ. τέθνηκέ σοι παῖς πρὸς τάφῳ Πολυξένη
σφαγεῖσ' Ἀχιλλέως, δῶρον ἀψύχῳ νεκρῷ.
ΕΚ. οἲ 'γὼ τάλαινα. τοῦτ' ἐκεῖν' ὅ μοι πάλαι
Ταλθύβιος αἴνιγμ' οὐ σαφῶς εἶπεν σαφές.
ΑΝ. εἶδόν νιν αὐτὴ κἀποβᾶσα τῶνδ' ὄχων
ἔκρυψα πέπλοις κἀπεκοψάμην νεκρόν.
ΕΚ. αἰαῖ, τέκνον, σῶν ἀνοσίων προσφαγμάτων·
αἰαῖ μάλ' αὖθις, ὡς κακῶς διόλλυσαι.
ΑΝ. ὄλωλεν ὡς ὄλωλεν, ἀλλ' ὅμως ἐμοῦ
ζώσης γ' ὄλωλεν εὐτυχεστέρῳ πότμῳ.
ΕΚ. οὐ ταὐτόν, ὦ παῖ, τῷ βλέπειν τὸ κατθανεῖν·
τὸ μὲν γὰρ οὐδέν, τῷ δ' ἔνεισιν ἐλπίδες.
ΑΝ. [ὦ μῆτερ ὦ τεκοῦσα, κάλλιστον λόγον]
ἄκουσον, ὥς σοι τέρψιν ἐμβαλῶ φρενί.
τὸ μὴ γενέσθαι τῷ θανεῖν ἴσον λέγω,
τοῦ ζῆν δὲ λυπρῶς κρεῖσσόν ἐστι κατθανεῖν.
[ἀλγεῖ γὰρ οὐδὲν τῶν κακῶν ᾐσθημένος·]
ὁ δ' εὐτυχήσας ἐς τὸ δυστυχὲς πεσὼν
ψυχὴν ἀλᾶται τῆς πάροιθ' εὐπραξίας.
κείνη δ' ὁμοίως ὥσπερ οὐκ ἰδοῦσα φῶς

---

615 τοσάσδ' *P*, τοιάσδ' *O* 617 κασσάνδρα *p*, κασάνδρας *N* 620 ἐστί τις Christ. pat. 41 621 κακῷ κακῶν *P* 623 ἀχιλέως *B* 624 οἶ ἐγὼ *BN*, οἶ (οἲ) ἐγὼ *CP* | τοῦτ' *CP*, τοῦ *BN* | ἐκεῖν' ὃ] Fix, ἐκεῖνο libri 625 εἶπε *O* 626 αὐτὴ κἀποβᾶσα *CP*, αὐτὴν ἀποβᾶσα *BN* 627 νεκρῷ Ge. Schmid 628 τέκνων *BN* | προσφαγμάτων *BN* 632 τὸ βλέπειν *BN* 633 ἄνεισιν *N* 634 quem om. *P*, delevit Matthiae (Stob. fl. 120, 1 exhibet 635 sq., Dindorf delet 634 sq.) 635 οἷς σοι vel ᾧ σοι Seidler | ἐμβαλῶ *P* et Stobaeus, ἐμβάλω *O* 638 delevi | ἠσθημένος *P* ᾐσθημένος *p* 641 ἐκείνη *BN*, 'κείνη *C* | ὥσπερ *CP*, ὡς *BN*, schol. ὥσπερ μὴ ἰδοῦσα

τέθνηκε κοὐδὲν οἶδε τῶν αὑτῆς κακῶν.
ἐγὼ δὲ τοξεύσασα τῆς εὐδοξίας
λαχοῦσα πλεῖστον τῆς τύχης ἡμάρτανον.
ἃ γὰρ γυναιξὶ σώφρον' ἔσθ' ηὑρημένα,
ταῦτ' ἐξεμόχθουν Ἕκτορος κατὰ στέγας.
πρῶτον μέν, ἔνθα κἂν προσῇ κἂν μὴ προσῇ
ψόγος γυναιξίν, αὐτὸ τοῦτ' ἐφέλκεται
κακῶς ἀκούειν, ἥτις οὐκ ἔνδον μένει,
τούτου παρεῖσα πόθον ἔμιμνον ἐν δόμοις
ἔσω τε μελάθρων κομψὰ θηλειῶν ἔπη
οὐκ εἰσεφριέμην, τὸν δὲ νοῦν διδάσκαλον
οἴκοθεν ἔχουσα χρηστὸν ἐξήρκουν ἐμοί.
γλώσσης τε σιγὴν ὄμμα θ' ἥσυχον πόσει
παρεῖχον· ᾔδη δ' ἁμὲ χρῆν νικᾶν πόσιν,
κείνῳ τε νίκην ὧν ἐχρῆν παριέναι.
καὶ τῶνδε κληδὼν ἐς στράτευμ' Ἀχαιικὸν
ἐλθοῦσ' ἀπώλεσέν μ'· ἐπεὶ γὰρ ᾑρέθην,
Ἀχιλλέως με παῖς ἐβουλήθη λαβεῖν
δάμαρτα· δουλεύσω δ' ἐν αὐθεντῶν δόμοις.
κεἰ μὲν παρώσασ' Ἕκτορος φίλον κάρα
πρὸς τὸν παρόντα πόσιν ἀναπτύξω φρένα,
κακὴ φανοῦμαι τῷ θανόντι· τόνδε δ' αὖ
στυγοῦσ' ἐμαυτῆς δεσπόταις μισήσομαι.
καίτοι λέγουσιν ὡς μί' εὐφρόνη χαλᾷ
τὸ δυσμενὲς γυναικὸς εἰς ἀνδρὸς λέχος·
ἀπέπτυσ' αὐτήν, ἥτις ἄνδρα τὸν πάρος
καινοῖσι λέκτροις ἀποβαλοῦσ' ἄλλον φιλεῖ.
ἀλλ' οὐδὲ πῶλος ἥτις ἂν διαζυγῇ
τῆς συντραφείσης, ῥᾳδίως ἕλκει ζυγόν.
καίτοι τὸ θηριῶδες ἄφθογγόν τ' ἔφυ

---

642 *τέθνηκ' οὐδὲν C*, *κέκευθε κοὐδὲν* F. Gu. Schmidt 644 *πλεῖστον*] ex schol. *ἐγὼ . . κατὰ τὸ πλεῖστον τῆς τύχης ἥμαρτον* Hartung, *πλεῖον* libri 645 *γυναικὶ* Christ. pat. 538 | *εὑρημένα* libri 647—56 delet Seidler 647 *ἔνθα*] *οὖν γε* Christ. pat. 541 651 *εἴσω τε P*, *εἴσω O* | *θηλειῶν δ'* Christ. pat. 545 652 *εἰσεφριέμην*] Nauck, *εἰσεφρούμην* libri 655 *ᾔδη*] Heath, *ᾔδειν* libri | *ἅμε χρῆν P*, *ἅμε χρὴ BN*, *ἅμ' ἐχρῆν Cp* 657 *ἀχαϊκὸν* libri, corr. Aldina 658 *ἀπώλεσέ B* 659 *ἀχιλέως B* 665 sq. post 668 collocat C. Busche 670 *ἕλκει P*, *ἕλξει O* 671 sq. delendi videntur

ξυνέσει τ' ἄχρηστον τῇ φύσει τε λείπεται.
σὲ δ', ὦ φίλ' Ἕκτορ, εἶχον ἄνδρ' ἀρκοῦντά μοι
ξυνέσει γένει πλούτῳ τε κἀνδρείᾳ μέγαν·
ἀκήρατον δέ μ' ἐκ πατρὸς λαβὼν δόμων
πρῶτος τὸ παρθένειον ἐξεύξω λέχος.
καὶ νῦν ὄλωλας μὲν σύ, ναυσθλοῦμαι δ' ἐγὼ
πρὸς Ἑλλάδ' αἰχμάλωτος ἐς δοῦλον ζυγόν.
ἆρ' οὐκ ἐλάσσων τῶν ἐμῶν ἔχειν κακῶν
Πολυξένης ὄλεθρος, ἣν καταστένεις;
ἐμοὶ γὰρ οὐδ' ὃ πᾶσι λείπεται βροτοῖς
ξύνεστιν ἐλπίς, οὐδὲ κλέπτομαι φρένας
πράξειν τι κεδνόν· ἡδὺ δ' ἐστὶ καὶ δοκεῖν.
ΧΟ. ἐς ταὐτὸν ἥκεις συμφορᾶς· θρηνοῦσα δὲ
τὸ σὸν διδάσκεις μ' ἔνθα πημάτων κυρῶ.
ΕΚ. αὐτὴ μὲν οὔπω ναὸς εἰσέβην σκάφος.
γραφῇ δ' ἰδοῦσα καὶ κλύουσ' ἐπίσταμαι.
ναύταις γὰρ ἢν μὲν μέτριος ᾖ χειμὼν φέρειν,
προθυμίαν ἔχουσι σωθῆναι πόνων,
ὃ μὲν παρ' οἴαχ', ὃ δ' ἐπὶ λαίφεσιν βεβώς,
ὃ δ' ἄντλον εἴργων ναός· ἢν δ' ὑπερβάλῃ
πολὺς ταραχθεὶς πόντος, ἐνδόντες τύχῃ
παρεῖσαν αὑτοὺς κυμάτων δραμήμασιν.
οὕτω δὲ κἀγὼ πόλλ' ἔχουσα πήματα
ἄφθογγός εἰμι καὶ παρεῖσ' ἐῶ στόμα·
νικᾷ γὰρ οὑκ θεῶν με δύστηνος κλύδων.
ἀλλ', ὦ φίλη παῖ, τὰς μὲν Ἕκτορος τύχας
ἔασον· οὐ μὴ δάκρυά νιν σώσῃ τὰ σά·
τίμα δὲ τὸν παρόντα δεσπότην σέθεν,
φίλον διδοῦσα δέλεαρ ἀνδρὶ σῶν τρόπων.
κἂν δρᾷς τάδ', ἐς τὸ κοινὸν εὐφρανεῖς φίλους

672 φύση B 674 καὶ ἀνδρείᾳ P, κἀνδρείᾳ Cp, καὶ ἀνδρείαν BN 675 δόμον B 676 παρθένϊον BN 679 ἐλάσσων] scripsi, ἐλάσσω libri | ἔχει P 680 ὄλεθρος P, ὄλεθρον O 683 ἕξειν τι κεδνόν Christ. pat. 593 (cfr. Soph. Ai. 663) 687 γραφὴν O | κλαίουσ' C 690 λαίφεσιν H, λαίφεσι OP et Christ. pat. 626 691 νηὸς O 692 ἐνδόντες φορᾷ Christ. pat. 628 693 παρῆσαν C, παρῆκαν Christ. pat. 629 | αὐτοὺς BNP et Christ. pat. | δραμήμασιν] scripsi, δρομήμασιν libri 695 παρεῖσ' ἐῶ] fort. παρειμένη 696 οὐ'κ NP, οὐκ BC 698 οὐ μὴ . . σώσῃ P, οὐ γὰρ . . σώσει O, fort. οὔ νιν δάκρυ' ἀναστήσει 701 φίλος O

καὶ παῖδα τόνδε παιδὸς ἐκθρέψειας ἂν
Τροίᾳ μέγιστον ὠφέλημ', ἵν' εἴ ποτε
ἐξ οὗ γενόμενοι παῖδες Ἴλιον πάλιν
κατοικίσειαν, καὶ πόλις γένοιτ' ἔτι.
ἀλλ' ἐκ λόγου γὰρ ἄλλος ἐκβαίνει λόγος,
τίν' αὖ δέδορκα τόνδ' Ἀχαιικὸν λάτριν
στείχοντα καινῶν ἄγγελον βουλευμάτων;

ΤΑΛΘΥΒΙΟΣ.

Φρυγῶν ἀρίστου πρίν ποθ' Ἕκτορος δάμαρ,
μή με στυγήσῃς· οὐχ ἑκὼν γὰρ ἀγγελῶ
Δαναῶν τε κοινὰ Πελοπιδῶν τ' ἀγγέλματα.
ΑΝ. τί δ' ἔστιν; ὥς μοι φροιμίων ἄρχῃ κακῶν.
ΤΑ. ἔδοξε τόνδε παῖδα· πῶς εἴπω λόγον;
ΑΝ. μῶν οὐ τὸν αὐτὸν δεσπότην ἡμῖν ἔχειν;
ΤΑ. οὐδεὶς Ἀχαιῶν τοῦδε δεσπόσει ποτέ.
ΑΝ. ἀλλ' ἐνθάδ' αὐτοῦ λείψανον Φρυγῶν λιπεῖν;
ΤΑ. οὐκ οἶδ' ὅπως σοι ῥᾳδίως εἴπω κακά.
ΑΝ. ἐπῄνεσ' αἰδῶ, πλὴν ἐὰν λέγῃς καλά.
ΤΑ. κτενοῦσι σὸν παῖδ', ὡς πύθῃ κακὸν μέγα.
ΑΝ. οἴμοι, γάμων τόδ' ὡς κλύω μεῖζον κακόν.
ΤΑ. νικᾷ δ' Ὀδυσσεὺς ἐν Πανέλλησιν λέγων.
ΑΝ. αἰαῖ μάλ'· οὐ γὰρ μέτρια πάσχομεν κακά.
ΤΑ. λέξας ἀρίστου παῖδα μὴ τρέφειν πατρός,
ΑΝ. τοιαῦτα νικήσειε τῶν αὑτοῦ πέρι.
ΤΑ. ῥῖψαι δὲ πύργων δεῖν σφε Τρωικῶν ἄπο.

703—705 delet Dindorf 703 τροίας *P* | ὠφέλιμ' *N* | ὠφέλημ' εἶναί ποτε Nauck 704 ἐκ σοῦ . . παῖδες ὕστερον πάλιν *O* 705 κατοικίσειαν *P* et mut. in κατοικήσειαν *B*, κατοικήσειαν *CN* | ἔτι] fort. ἔτ' ἄν 706 ἀλλ' om. *N* 707 ἀχαιικὸν *p*, ἀχαϊκὸν ceteri 708 cfr. Med. 270 | καινὸν *P* καινῶν *p* 709 schol. μήποτε οὐχ ὁ Ταλθύβιος, ἀλλ' ἄλλος τις ταῦτα λέγει. καὶ γὰρ οὐ λάτριν, ἀλλ' ὀνομαστὶ Ταλθύβιον καλεῖν εἴωθεν, cfr. 787 | ἀρίστϊ *P* ἀρίστου *p* 710 μὴ 'μὲ Nauck | οὐθ' *P* 711 δαναῶν δὲ *P* | καινὰ R. Prinz | τ' om. *P* | τ' ἀγγέλματα] fort. τε δόγματα | versum delet Wilamowitz 712 ἀρχὴ *O* 713 λόγον] fort. τέλος 714—717 et 720—723 personarum notas praefixit m. 2 in *B* (puncta praefixerat m. 1) 716 αὐτὸν *P* | λυπεῖν mut. in λιπεῖν *P* 718 καλά *p*, κακά *OP* 719 κτείνουσι *P* | τὸν παῖδ' *O* | παῖδα *P* 720 γάμων] κακῶν Burges 721 πανέλλησι *BNP* 724 sq. personarum notas om. *BN* 724 τὸν αὐτοῦ *BN* (αὐτοῦ etiam *P*) 725 δεῖν] Jacobs, δεῖ libri

ἀλλ' ὡς γενέσθω, καὶ σοφωτέρα φανῇ·
μήτ' ἀντέχου τοῦδ', εὐγενῶς δ' ἄλγει κακοῖς,
μήτε σθένουσα μηδὲν ἰσχύειν δόκει.
ἔχεις γὰρ ἀλκὴν οὐδαμῇ. σκοπεῖν δὲ χρή·
πόλις τ' ὄλωλε καὶ πόσις, κρατῇ δὲ σύ,
ἡμεῖς δὲ πρὸς γυναῖκα μάρνασθαι μίαν
οἷοί τε. τούτων εἵνεκ' οὐ μάχης ἐρᾶν
οὐδ' αἰσχρὸν οὐδὲν οὐδ' ἐπίφθονόν σε δρᾶν,
οὐδ' αὖ σ' Ἀχαιοῖς βούλομαι ῥίπτειν ἀράς.
εἰ γάρ τι λέξεις ᾧ χολώσεται στρατός,
οὔτ' ἂν ταφείη παῖς ὅδ' οὔτ' οἴκτου τύχοι.
σιγῶσα δ' εὖ τε τὰς τύχας κεκτημένη
τὸν τοῦδε νεκρὸν οὐκ ἄθαπτον ἂν λίποις
αὐτή τ' Ἀχαιῶν πρευμενεστέρων τύχοις.

ΑΝ. *ὦ φίλτατ', ὦ περισσὰ τιμηθεὶς τέκνον,*
θανῇ πρὸς ἐχθρῶν μητέρ' ἀθλίαν λιπών,
ἡ τοῦ πατρὸς δέ σ' εὐγένει' ἀποκτενεῖ,
ἣ τοῖσιν ἄλλοις γίγνεται σωτηρία,
τὸ δ' ἐσθλὸν οὐκ ἐς καιρὸν ἦλθε σοὶ πατρός.
ὦ λέκτρα τἀμὰ δυστυχῆ τε καὶ γάμοι,
οἷς ἦλθον ἐς μέλαθρον Ἕκτορός ποτε,
οὐ σφάγιον υἱὸν Δαναΐδαις τέξουσ' ἐμόν,
ἀλλ' ὡς τύραννον Ἀσιάδος πολυσπόρου.
ὦ παῖ, δακρύεις; αἰσθάνῃ κακῶν σέθεν;
τί μου δέδραξαι χερσὶ κἀντέχῃ πέπλων,
νεοσσὸς ὡσεὶ πτέρυγας ἐσπίτνων ἐμάς;

---

728 *ἰσχύειν P, ἰσχύσειν O* 731 *δὲ O, τε P* 731 sq. *ἡμῖν τε πῶς . . οἷόν τε;* Nauck 732 *οὕνεκ'* vel *οὔνεκ'* libri 733 *δρᾶν O, χρή P* 734 *οὐδ'*] Hartung, *οὔτ'* libri | *ἀχαιοῖς P, ἀχαιῶν O* | *ῥιπτεῖν P* 735 *ᾧ C, ὧν BNP* 736 *ταφοίη P* | *παῖς ὅδ' οὔτ' P, παῖς οὐδ' O* | *οἶκτος ἔχοι P οἴκτου τύχοι p* | *τύχη BN* 737 *ταῖς τύχαις κεχρημένη* Hartung 738 *λοιποις P λιποις p* 739 *πλευμενεστέρων P πρευμενεστέρων p* 740 *τιμηθεὶς*] *τιθεὶς N* 741 *ἐχθρῶν* (*ε* ex *αι* ut videtur correcto) *P* 742 sq. delet Nauck, cfr. Hipp. 1390 et fragm. 58, 2 742 *ἀποκτενεῖ P* et Christ. pat. 1515 (*ἀποκτένει*), *ἀπώλεσεν O* 743 *τοῖς ἄλλοισι C* | *γίνεται OP* 745 *καὶ γάμοι*] fort. *κἄγαμα* 746 *ἐς* hic *C* 747 *οὐ σφάγιον υἱὸν*] Nauck, *οὐχ* (*οὐχ* om. *N*) *ὡς σφάγιον* libri, *οὐχὶ σφάγιον* Christ. pat. 77 | *τέξουσα δή* Fix 748 *ἀσιάδος P, ἀσιάτιδος O, Ἀσίδος* Nauck | *πολυσπόρου*] fort. *στρόφου* 751 *ὡσεὶ P, ὡς O*

οὐκ εἶσιν Ἕκτωρ κλεινὸν ἁρπάσας δόρυ
γῆς ἐξανελθὼν σοὶ φέρων σωτηρίαν,
οὐ συγγένεια πατρός, οὐκ ἰσχὺς Φρυγῶν·
λυγρὸν δὲ πήδημ᾽ ἐς τράχηλον ὑψόθεν
πεσὼν ἀνοίκτως, πνεῦμ᾽ ἀπορρήξεις σέθεν.
ὦ νέον ὑπαγκάλισμα μητρὶ φίλτατον,
ὦ χρωτὸς ἡδὺ πνεῦμα· διὰ κενῆς ἄρα
ἐν σπαργάνοις σε μαστὸς ἐξέθρεψ᾽ ὅδε,
μάτην δ᾽ ἐμόχθουν καὶ κατεξάνθην πόνοις.
νῦν, οὔποτ᾽ αὖθις, μητέρ᾽ ἀσπάζου σέθεν,
πρόσπιτνε τὴν τεκοῦσαν, ἀμφὶ δ᾽ ὠλένας
ἕλισσ᾽ ἐμοῖς νώτοισι καὶ στόμ᾽ ἅρμοσον.
ὦ βάρβαρ᾽ ἐξευρόντες Ἕλληνες κακά,
τί τόνδε παῖδα κτείνετ᾽ οὐδὲν αἴτιον;
ὦ Τυνδάρειον ἔρνος, οὔποτ᾽ εἶ Διός,
πολλῶν δὲ πατέρων φημί σ᾽ ἐκπεφυκέναι,
Ἀλάστορος μὲν πρῶτον, εἶτα δὲ Φθόνου,
Φόνου τε Θανάτου θ᾽ ὅσα τε γῆ τρέφει κακά.
οὐ γάρ ποτ᾽ αὐχῶ Ζῆνά γ᾽ ἐκφῦσαί σ᾽ ἐγώ,
πολλοῖσι κῆρα βαρβάροις Ἕλλησί τε.
ὄλοιο· καλλίστων γὰρ ὀμμάτων ἄπο
αἰσχρῶς τὰ κλεινὰ πεδί᾽ ἀπώλεσας Φρυγῶν.
ἀλλ᾽ ἄγετε φέρετε ῥίπτετ᾽, εἰ ῥίπτειν δοκεῖ·
δαίνυσθε τοῦδε σάρκας. ἔκ τε γὰρ θεῶν
διολλύμεσθα παιδί τ᾽ οὐ δυναίμεθ᾽ ἂν
θάνατον ἀρῆξαι. κρύπτετ᾽ ἄθλιον δέμας
καὶ ῥίπτετ᾽ ἐς ναῦς· ἐπὶ καλὸν γὰρ ἔρχομαι
ὑμέναιον, ἀπολέσασα τοὐμαυτῆς τέκνον.

---

752 *κλεινὸν P*, *κλεινὸς O* 754 *οὐ* mut. in *ὦ N* | *ἰσχρὺς N* 756 fort. *πεσὼν ἀεικῶς* | *ἀπορρήξει P ἀπορρήξεις p* 759 *σπαργάνοις σε P*, *σπαργάνοισι O* 760 delet Valckenaer, cfr. Med. 1030. Osann, qui Med. 1030 eicit, hic *ἄλλως* pro *μάτην* ponit 761 *οὔποτ᾽*] H. Stephanus, *εἶποτ᾽* libri 762 *πρόσπιτνε BN*, *πρόσπιπτε CP* | *ὠλένας P*, *ὠλέναις O* 769 *ὅσα γῆ P* 770 sq. delet Dindorf 770 *Ζῆνά σ᾽ BN* | *ἐκφῦναι* (*υ* ex *η* facto) *P*, cfr. Christ. pat. 337 773 *τὰ*] *τε N* | *ἀπώλεσας*] fort. *ἐπόρθησας* 774 *ἀλλ᾽ ἄγετε*] Hermann, *ἄγετε* libri | *καὶ ῥίπτετ᾽ C* | *εἰ ῥιπτεῖν P* 775 *δαίννυσθε P* | *γὰρ* om. *N* 776 *διολλύμεθα P* | *δυναίμεθα* (omisso *ἄν*) *P* 777 *κρύπτετ᾽*] *μάρπτετ᾽* A. Palmer 778 *ναῦς* (*υ* ante *ς* rasura ex *σ* facto) *P* 779 *ἀπωλέσασα C*, *ἀπολέσα P ἀπολέσασα p*

ΧΟ. τάλαινα Τροία, μυρίους ἀπώλεσας
μιᾶς γυναικὸς καὶ λέχους στυγνοῦ χάριν.

ΤΑ. ἄγε παῖ, φίλιον πρόσπτυγμα μεθεὶς
μητρὸς μογερᾶς, βαῖνε πατρῴων
πύργων ἐπ' ἄκρας στεφάνας, ὅθι σοι
πνεῦμα μεθεῖναι ψῆφος ἐκράνθη.
λαμβάνετ' αὐτόν. τὰ δὲ τοιάδε χρῆν
κηρυκεύειν, ὅστις ἄνοικτος
καὶ ἀναιδείᾳ τῆς ἡμετέρας
γνώμης μᾶλλον φίλος ἐστίν.
ΕΚ. ὦ τέκνον, ὦ παῖ παιδὸς μογεροῦ,
συλώμεθα σὴν ψυχὴν ἀδίκως
μήτηρ κἀγώ. τί πάθω; τί σ' ἐγώ,
δύσμορε, δράσω; τάδε σοι δίδομεν
πλήγματα κρατὸς στέρνων τε κόπους·
τῶνδε γὰρ ἄρχομεν. οἲ 'γὼ πόλεως,
οἴμοι δὲ σέθεν· τί γὰρ οὐκ ἔχομεν,
τίνος ἐνδέομεν μὴ οὐ πανσυδίᾳ
χωρεῖν ὀλέθρου διὰ παντός;

ΧΟ. μελισσοτρόφου Σαλαμῖνος ὦ βασιλεῦ Τελαμών, stroph.
νάσου περικύμονος οἰκήσας ἕδραν
τᾶς ἐπικεκλιμένας ὄχθοις ἱεροῖς, ἵν' ἐλαίας
πρῶτον ἔδειξε κλάδον γλαυκᾶς Ἀθάνα,
οὐράνιον στέφανον λιπαραῖσί τε κόσμον Ἀθήναις,
ἔβας ἔβας τῷ τοξοφόρῳ συναρι-
στεύων ἅμ' Ἀλκμήνας γόνῳ

782 *ΤΑ.*] Tyrwhitt, *ΑΝ.* libri 783 om. *O* 785 ψῆθος *N* 786 τοιαῦτα *P* | χρῆν] Herwerden, χρὴ libri 788 ἀναιδείας *NP* | ἡμετέρας] Tyrwhitt, ὑμετέρας *BCP* et ὑ ex ἡ facto *N* 790 μογεροῦ *P*, μονογενοῦ *BN*, μονογενοῦς *C* 793 σοι om. *N* | δίδωμεν *C* 794 κόπους] Seidler, κτύπους libri 795 τόνδε *N* | οἲ (οἴ' *BN*) ἐγὼ *O* 796 verba τί γὰρ οὐκ ἔχομεν delet Bothe 800 ἕδρας *O* 801 τὰς *N* | ἐπικεκλημένας *NP* | ἱεροῖσιν ἐλαίας *P* 802 κ*λάδον (erasum ε) γλαυκὰς *P* | Ἀθάνα] Aldina (cfr. schol. ἐν ᾗ πόλει ἡ Ἀθηνᾶ τὸν γλαυκῆς ἐλαίας κλάδον ἔδειξε), ἀθάνας *OP* 803 λιπαραῖσί τε] Seidler, λιπαραῖς *O*, λιπαραῖσϊ *P* 804 τῷ om. *P* 805 συναριστεύσων *P* | ἅμ' om. *O*

Ἴλιον Ἴλιον ἐκπέρσων πόλιν
ἁμετέραν τὸ πάροιθεν [ὅτ᾽ ἔβας ἀφ᾽ Ἑλλάδος]·

ὅθ᾽ Ἑλλάδος ἄγαγε πρῶτον ἄνθος ἀτυζόμενος antistr.
πώλων, Σιμόεντι δ᾽ ἐπ᾽ εὐρείτᾳ πλάταν
ἔσχασε ποντοπόρον καὶ ναύδετ᾽ ἀνήψατο πρυμνᾶν
καὶ χερὸς εὐστοχίαν ἐξεῖλε ναῶν,
Λαομέδοντι φόνον· κανόνων δὲ τυκίσματα Φοίβου
. . πυρὸς φοίνικι πνοᾷ καθελὼν
Τροίας ἐπόρθησε χθόνα,
δὶς δὲ δυοῖν πιτύλοιν τείχη περὶ
Δαρδανίας φονία κατέλυσεν αἰχμά.

μάταν ἄρ᾽, ὦ χρυσέαις stroph.
σὺν οἰνοχόαις ἁβρὰ βαίνων,
Λαομεδόντιε παῖ,
Ζηνὸς ἔχεις κυλίκων
πλήρωμα, καλλίσταν λατρείαν·
ἁ δέ σε γειναμένα πυρὶ δαίεται·
ἠιόνες δ᾽ ἅλιαι
ἴαχον οἷον οἰωνὸς
ὑπὲρ τεκέων, βοῶσ᾽
ἃ μὲν εὐνάτορας, ἃ δὲ παῖδας,
αἳ δὲ ματέρας γεραιάς.
τὰ δὲ σὰ δροσόεντα λουτρὰ
γυμνασίων τε δρόμοι
βεβᾶσι, σὺ δὲ πρόσωπα νεα-

---

807 τὸ πάροιθ᾽ *P* | verba ὅτ᾽ ἔβας ἀφ᾽ Ἑλλάδος delevit et lacunam (⏑ – ⏑ – –) indicavit Dindorf 808 ὅτε *P* 809 ἀτεμβόμενος Herwerden 810 εὐρείτα *P*, εὐρείταο *O* 811 πρύμναν *O* 812 χειρὸς *P* | νεῶν *C* 814 τυκίσματα] Aldina, τυκτίσματα *O*, τεκίσματα *P* 815 πυρὸς πυρὸς Meineke | πνοᾷ *P*, βοᾷ *O* 817 τείχη περὶ *O*, τείχη παρὰ *P*, πυργώματα Heimsoeth 819 δαρδάνας *P* | φονία] Aldina, φοινία libri | αἰχμά] fort. ὁρμά, cfr. 1080 820 μάτην *O* 821 σὺν] scripsi, ἐν libri (etiam *B*) 822 λαομεδόντειε *P* 823 Ζανὸς Dindorf 825 γᾶ δέ Burges | γειναμένα] Musgrave, γειναμένα τροία libri 826 κίονες ἅλιαι *P* 829 sq. ἴσχον *P*, fort. ἀχοῦσιν | τεκέων] H. Stephanus, τέκνων *O*, τοκέων *P* | οἷον δ᾽ ὑπὲρ οἰωνὸς τεκέων Seidler | βοῶσ᾽] scripsi, βοᾷ libri 831 ἁ μὲν . . ἁ δὲ *P*, αἱ μὲν . . αἱ δὲ *O* | εὐνάτορας] εὐνάτορ᾽ olim Hermann 833 προσόεντα *P* 835 νεαρὰ] fort. θαλερὰ

ρὰ χάρισι παρὰ Διὸς θρόνοις
καλλιγάλανα τρέφεις·
Πριάμοιο δὲ γαῖαν
Ἑλλὰς ὤλεσ' αἰχμά.

Ἔρως Ἔρως, ὃς τὰ Δαρ- antistr.
δάνεια μέλαθρά ποτ' ἦλθες
οὐρανίδαισι μέλων,
ὡς τότε μὲν μεγάλως
Τροίαν ἐπύργωσας, θεοῖσιν
κῆδος ἀναψάμενος. τὸ μὲν οὖν Διὸς
οὐκέτ' ὄνειδος ἐρῶ·
τὸ τᾶς δὲ λευκοπτέρου
ἁμέρας φίλιον βροτοῖς
φέγγος ὀλοὸν εἶδε γαίας,
εἶδε περγάμων ὄλεθρον
τεκνοποιὸν ἔχουσα τᾶσδε
γᾶς πόσιν ἐν θαλάμοις,
ὃν ἀστέρων τέθριππος ἔλα-
βε χρύσεος ὄχος ἀναρπάσας,
ἐλπίδα γᾷ πατρίᾳ
μεγάλαν· τὰ θεῶν δὲ
φίλτρα φροῦδα Τροίᾳ.

ΜΕΝΕΛΑΟΣ.

ὦ καλλιφεγγὲς ἡλίου σέλας τόδε,
ἐν ᾧ δάμαρτα τὴν ἐμὴν χειρώσομαι
[Ἑλένην· ὁ γὰρ δὴ πολλὰ μοχθήσας ἐγὼ
Μενέλαός εἰμι καὶ στράτευμ' Ἀχαιικόν].
ἦλθον δὲ Τροίαν οὐχ ὅσον δοκοῦσί με

840 τὰ] παρὰ *P* | Δαρδάνεια] Dindorf, δαρδάνια libri 844 θεοῖσι *O* 845 τὸν *C* 846 ὄνειδος οὐκέτ' *P* 847 τᾶσδε *BNP* 849 φίλιον *O*, φίλας *P* 850 ὀλοὸν] fort. ἀτηρὸν | γαίας] Lenting et Bothe, γαῖαν libri, cfr. schol. ἡ Ἡμέρα περιεῖδε τὸν ὀλοὸν τοῦτον ὄλεθρον τὸν κατὰ ταύτην τὴν γῆν ἐπηρμένον καὶ τὸν τῶν Περγάμων 853 τάδε *C* 854 θαλάμοισιν *P* 857 πατρίᾳ *P*, πατρίδι *O* 862 sq. delevit Herwerden, cfr. 869 sq. et schol. περισσὸν τὸ Μενέλαός εἰμι· αὔταρκες γὰρ τὸ δάμαρτα τὴν ἐμὴν χειρώσομαι 863 ἀχαϊκόν libri | post 863 lacunam statuit Porson

γυναικὸς εἵνεκ᾽, ἀλλ᾽ ἐπ᾽ ἄνδρ᾽ ὃς ἐξ ἐμῶν
δόμων δάμαρτα ξεναπάτης ἐλῄσατο.
κεῖνος μὲν οὖν δέδωκε σὺν θεοῖς δίκην
αὐτός τε καὶ γῆ δορὶ πεσοῦσ᾽ Ἑλληνικῷ.
ἥκω δὲ τὴν Λάκαιναν· οὐ γὰρ ἡδέως
ὄνομα δάμαρτος ἥ ποτ᾽ ἦν ἐμὴ λέγω·
ἄξων· δόμοις γὰρ τοῖσδ᾽ ἐν αἰχμαλωτικοῖς
κατηρίθμηται Τρῳάδων ἄλλων μέτα.
οἵπερ γὰρ αὐτὴν ἐξεμόχθησαν δορί,
κτανεῖν ἐμοί νιν ἔδοσαν, εἴτε μὴ κτανὼν
θέλοιμ᾽ ἄγεσθαι πάλιν ἐς Ἀργείαν χθόνα.
ἐμοὶ δ᾽ ἔδοξε τὸν μὲν ἐν Τροίᾳ μόρον
Ἑλένης ἐᾶσαι, ναυπόρῳ δ᾽ ἄγειν πλάτῃ
Ἑλληνίδ᾽ ἐς γῆν κᾆτ᾽ ἐκεῖ δοῦναι κτανεῖν,
ποινὰς ὅσοι τεθνᾶσ᾽ ἐν Ἰλίῳ φίλοι.
ἀλλ᾽ εἶα χωρεῖτ᾽ ἐς δόμους, ὀπάονες,
κομίζετ᾽ αὐτὴν τὴν μιαιφονωτάτην
κόμης ἐπισπάσαντες· οὔριοι δ᾽ ὅταν
πνοαὶ μόλωσι, πέμψομέν νιν Ἑλλάδα.
ΕΚ. ὦ γῆς ὄχημα κἀπὶ γῆς ἔχων ἕδραν,
ὅστις ποτ᾽ εἶ σύ, δυστόπαστος εἰδέναι,
Ζεύς, εἴτ᾽ ἀνάγκη φύσεος εἴτε νοῦς βροτῶν,
προσηυξάμην σε· πάντα γὰρ δι᾽ ἀψόφου
βαίνων κελεύθου κατὰ δίκην τὰ θνήτ᾽ ἄγεις.
ΜΕ. τί δ᾽ ἔστιν; εὐχὰς ὡς ἐκαίνισας θεῶν.
ΕΚ. αἰνῶ σε, Μενέλα᾽, εἰ κτενεῖς δάμαρτα σήν.
ὁρᾶν δὲ τήνδε φεῦγε, μή σ᾽ ἕλῃ πόθῳ.

---

865 οὕνεκ᾽ vel οὔνεκ᾽ libri 866 ξεναπατήσ *P* et corr. in ξεναπατήσας *B*, ξεναπατήσας *CN* | ἐλῄσατο *H*, ἐληΐσατο *OP* 867 δέδωκε *P*, ἔδωκε *O*, fort. ἔτισε 868 γῇ *B* 869 λάκαιναν *P*, τάλαιναν *O* 871 ἄξω *C* 872 μετά *BP* 873 ἐξεμόχθευσαν *O* 875 ἀργείων *O* 876 ἐμοί γ᾽ *P* 877 ἕλληνες *N*, αὐτῆς Herwerden, κείνης F. Gu. Schmidt 878 ἐς hic *O* | δοῦναι κτανεῖν] δεῖ νιν τίνειν Burges 879 ποὰς *O* | ὅσοι *P*, ὅσων *BN*, ὅσον *C*, ὅσοις Canter | τέθνασ᾽] Heath, τέθνασιν *OP* 880 εἶα *BP* 881 τὴν μιαιφονωτάτην] Paley, τῆς μιαιφονωτάτης libri 882 οὔρειοι *C* 883 νιν om. *C* 885 εἰδέναι] εἰσιδεῖν Clem. Alex. Protr. p. 7 et Sext. Emp. p. 219, 1. 666, 5 886 φύσεος *H*, Clemens, alii, φύσεως *OP* 887 προσευξάμην *OP*, ἐπευξάμην Sext. Emp. p. 219, 3 | σε] σοι J. Heiland 888 δίκης *N* 890 μενέλαε *BN* 891 ὁρᾶν] Stanley et Reiske, ὁρῶν libri | πόθος J. Heiland

αἱρεῖ γὰρ ἀνδρῶν ὄμματ', ἐξαιρεῖ πόλεις,
πίμπρησι δ' οἴκους· ὧδ' ἔχει κηλήματα.
ἐγώ νιν οἶδα καὶ σὺ χοἱ πεπονθότες.

ΕΛΕΝΗ.

Μενέλαε, φροίμιον μὲν ἄξιον φόβου
τόδ' ἐστίν· ἐν γὰρ χερσὶ προσπόλων σέθεν
βίᾳ πρὸ τῶνδε δωμάτων ἐκπέμπομαι.
ἀτὰρ σχεδὸν μὲν οἶδά σοι στυγουμένη,
ὅμως δ' ἐρέσθαι βούλομαι· γνῶμαι τίνες
Ἕλλησι καὶ σοὶ τῆς ἐμῆς ψυχῆς πέρι;
ΜΕ. *οὐκ εἰς ἀκριβὲς ἦλθες, ἀλλ' ἅπας στρατὸς*
κτανεῖν ἐμοί σ' ἔδωκεν, ὅνπερ ἠδίκεις.
ΕΛ. *ἔξεστιν οὖν πρὸς ταῦτ' ἀμείψασθαι λόγῳ,*
ὡς οὐ δικαίως, ἢν θάνω, θανούμεθα;
ΜΕ. *οὐκ ἐς λόγους ἐλήλυθ', ἀλλά σε κτενῶν.*
ΕΚ. *ἄκουσον αὐτῆς, μὴ θάνῃ τοῦδ' ἐνδεής,*
Μενέλαε, καὶ δὸς τοὺς ἐναντίους λόγους
ἡμῖν κατ' αὐτῆς· τῶν γὰρ ἐν Τροίᾳ κακῶν
οὐδὲν κάτοισθα. συντεθεὶς δ' ὁ πᾶς λόγος
κτενεῖ νιν οὕτως ὥστε μηδαμῶς φυγεῖν.
ΜΕ. *σχολῆς τὸ δῶρον· εἰ δὲ βούλεται λέγειν,*
ἔξεστι. τῶν σῶν δ' εἵνεχ', ὡς μάθω, λόγων
δώσω τόδ' αὐτῇ, τῇσδε δ' οὐ δώσω χάριν.
ΕΛ. *ἴσως με, κἂν εὖ κἂν κακῶς δόξω λέγειν,*
οὐκ ἀνταμείψῃ πολεμίαν ἡγούμενος.
ἐγὼ δ', ἅ σ' οἶμαι διὰ λόγων ἰόντ' ἐμοῦ
κατηγορήσειν, ἀντιθεῖσ' ἀμείψομαι
τοῖς σοῖσι τἀμὰ καὶ τὰ σ' αἰτιάματα.
πρῶτον μὲν ἀρχὰς ἔτεκεν ἥδε τῶν κακῶν
Πάριν τεκοῦσα· δεύτερον δ' ἀπώλεσε

893 *δ'*] *δι' P* | *δ' οἴκους*] *δόμους C* 894 *γ' οἱ N* 896 *τΐδ'* (*τόδ' p*) *ἔστι πρὸς γὰρ P* 898 *στυγουμένη O, μισουμένη P* 900 *σὺ P* 901 *ἦλθεν* schol. | *ἀλλὰ πᾶς O* 903 *οὖν*] *ὖν N* 905 *κτενῶν*] H. Stephanus, *κτανών P, κτενῶ O* 910 fort. *τενεῖ*, cfr. Med. 585 | *μηδαμῶς P, μηδαμοῦ O, μηδαμῇ* Fix, fort. *μηδάμ' ἐκφυγεῖν* 912 *οὕνεκ'* vel *οὕνεχ'* libri | *μάθω*] scripsi, *μάθῃ BNP, μάθης C* 914 *ἴσως μὲν κἂν BN, ἴσως μὲν μὲν οὖν C* | *δόξῃ C* 916 *λόγον BN* 918 *τοῖ σοῖσι B* | *καὶ τὰ σ'*] *πάνδικ'* Herwerden | versum delet Paley

Τροίαν τε κἄμ᾽ ὁ πρέσβυς οὐ κτανὼν βρέφος,
δαλοῦ πικρὸν μίμημ᾽, Ἀλέξανδρόν ποτε.
ἐνθένδε τἀπίλοιπ᾽ ἄκουσον ὡς ἔχει.
ἔκρινε τρισσὸν ζεῦγος ὅδε τριῶν θεῶν·
καὶ Παλλάδος μὲν ἦν Ἀλεξάνδρῳ δόσις
Φρυξὶ στρατηγοῦνθ᾽ Ἑλλάδ᾽ ἐξανιστάναι,
Ἥρα δ᾽ ὑπέσχετ᾽ Ἀσιάδ᾽ Εὐρώπης θ᾽ ὅρων
τυραννίδ᾽ ἕξειν, εἴ σφε κρίνειεν Πάρις·
Κύπρις δὲ τοὐμὸν εἶδος ἐκπαγλουμένη
δώσειν ὑπέσχετ᾽, εἰ θεὰς ὑπερδράμοι
κάλλει. τὸν ἐνθένδ᾽ ὡς ἔχει σκέψαι λόγον·
νικᾷ Κύπρις θεάς, καὶ τοσόνδ᾽ οὑμοὶ γάμοι
ὤνησαν Ἑλλάδ᾽· οὐ κρατεῖσθ᾽ ἐκ βαρβάρων,
οὔτ᾽ ἐς δόρυ σταθέντες, οὐ τυραννίδι.
ἃ δ᾽ ηὐτύχησεν Ἑλλάς, ὠλόμην ἐγὼ
εὐμορφίᾳ πραθεῖσα κὠνειδίζομαι
ἐξ ὧν ἐχρῆν με στέφανον ἐπὶ κάρᾳ λαβεῖν.
οὔπω με φήσεις αὐτὰ τἀν ποσὶν λέγειν,
ὅπως ἀφώρμησ᾽ ἐκ δόμων τῶν σῶν λάθρᾳ.
ἦλθ᾽ οὐχὶ μικρὰν θεὸν ἔχων αὑτοῦ μέτα
ὁ τῆσδ᾽ ἀλάστωρ, εἴτ᾽ Ἀλέξανδρον θέλεις
ὀνόματι προσφωνεῖν νιν εἴτε καὶ Πάριν·
ὅν, ὦ κάκιστε, σοῖσιν ἐν δόμοις λιπὼν
Σπάρτης ἀπῆρας νηὶ Κρησίαν χθόνα.
εἶεν.
οὐ σ᾽, ἀλλ᾽ ἐμαυτὴν τοὐπὶ τῷδ᾽ ἐρήσομαι·

---

921 *κἄμ᾽ ὁ*] Burges, *κἀμὲ* libri 922 *Ἀλέξανδρον λέγω* Hartman 923 *ἔνθεν δὲ P*, *ἐνθέδε B* 924 *τρισσῶν P τρισσὸν p* | *ὁ δὲ P ὅδε p* | *τριῶν*] Wunder, *τρισσῶν* libri 927 *δ᾽ P* et Tzetzes Exeg. Il. p. 39, 29, *θ᾽ O* | *ἀσιάδ᾽ P*, *ἀσίας BN* et Tzetzes, *ἀσίας τ᾽ C*, *Ἀσίδ᾽* Nauck | *ὅρων*] scripsi, *ὅρους BCP*, *ὅρα N* 928 *κρίνειε* mut. in *κρίνειεν B*, *κρίνειε P* | *κρίνειεν πάρος* Faust | versum om. Tzetzes 930 *δώσεις P δώσειν p* | *ὑπερδράμοι* Tzetzes, *ὑπεκδράμοι OP* 931 *ἔνθεν δ᾽* Tyrrell | *ἔχεις P* 932 *θεάς P*, *θεά O* | *οὔ μοι P οὑμοὶ p*, *οἱ ᾽μοὶ* vel *οἱμοὶ O* 935 *ἃρ P ἃδ᾽ p*, *ἄρ᾽* O | *εὐτύχησεν* libri (*εὐτυχήσειν N*) | *ὠλόμην* (*ὠλώμην C*) *δ᾽ O* 936 *κῴνειδίζομαι C*, *καὶ ὀνειδίζομαι BN*, *κὀνειδίζομαι P* 937 *ἐπὶ κάρᾳ*] *εὐκλείας* Nauck 938 *οὔπω*] fort. *οὔ που* | *τἀμ BN* | *ποσὶ CP* 940 *μακρὰ* corr. in *μικρὰν N* | *θεῶν BN* | *αὐτοῦ OP* 942 *νιν* om. *C* 945 *σε BN*

τί δὴ φρονοῦσά γ' ἐκ δόμων ἅμ' ἑσπόμην
ξένῳ, προδοῦσα πατρίδα καὶ δόμους ἐμούς;
τὴν θεὸν κόλαζε καὶ Διὸς κρείσσων γενοῦ,
ὃς τῶν μὲν ἄλλων δαιμόνων ἔχει κράτος,
κείνης δὲ δοῦλός ἐστι· συγγνώμη δ' ἐμοί.
ἔνθεν δ' ἔχοις ἂν εἰς ἔμ' εὐπρεπῆ λόγον·
ἐπεὶ θανὼν γῆς ἦλθ' Ἀλέξανδρος μυχούς,
χρῆν μ', ἡνίκ' οὐκ ἦν θεοπόνητά μου λέχη,
λιποῦσαν οἴκους ναῦς ἐπ' Ἀργείων μολεῖν.
ἔσπευδον αὐτὸ τοῦτο· μάρτυρες δέ μοι
πύργων πυλωροὶ κἀπὸ τειχέων σκοποί,
οἳ πολλάκις μ' ἐφηῦρον ἐξ ἐπάλξεων
πλεκταῖσιν ἐς γῆν σῶμα κλέπτουσαν τόδε.
βίᾳ δ' ὁ καινός μ' οὗτος ἁρπάσας πόσις
Δηίφοβος ἄλοχον εἶχεν ἀκόντων Φρυγῶν.
πῶς οὖν ἔτ' ἂν θνῄσκοιμ' ἂν ἐνδίκως, πόσι,
πρὸς σοῦ δικαίως, ἣν ὃ μὲν βίᾳ γαμεῖ,
τὰ δ' οἴκοθεν κεῖν' ἀντὶ νικητηρίων
πικρῶς ἐδούλευσ'; εἰ δὲ τῶν θεῶν κρατεῖν
βούλει, τὸ χρῄζειν ἀμαθές ἐστί σοι τόδε.
ΧΟ. *βασίλει', ἄμυνον σοῖς τέκνοισι καὶ πάτρᾳ*
πειθὼ διαφθείρουσα τῆσδ', ἐπεὶ λέγει
καλῶς κακοῦργος οὖσα· δεινὸν οὖν τόδε.
ΕΚ. *ταῖς θεαῖσι πρῶτα σύμμαχος γενήσομαι*
καὶ τήνδε δείξω μὴ λέγουσαν ἔνδικα.
ἐγὼ γὰρ Ἥραν παρθένον τε Παλλάδα
οὐκ ἐς τοσοῦτον ἀμαθίας ἐλθεῖν δοκῶ,
ὥσθ' ἡ μὲν Ἄργος βαρβάροις ἀπημπόλα,
Παλλὰς δ' Ἀθήνας Φρυξὶ δουλεύειν ποτέ·

---

946 *φρονοῦσά γ' P*, *φρονοῦσ'* (omisso *γ'*) *O*, *φρονήσασ'* Nauck 947 *δόμους*| fort. *φίλους* 949 *ἔχῃ N* 951 *ἔνθεν δ' P*, *ἐνθένδ' BN*, *ἐνθέν δ' C* | *εὐτρεπῆ N* 957 *ἐφεῦρον OP* 960 *εἰκόντων* Lenting 961 fort. *θνῄσκοιμι πανδίκως*, cfr. Rhes. 720, Soph. O. C. 1306 | *πόσει N* 962—965 suspectos habet R. Prinz 962 *πρὸ N* 965 *σοι* om. *P*, *σου* Dobree 966 *ἄμυνον* (*ει* super *υ* scr. schol.) *N*, *ἄμυνον* ex *ἄμεινον* factum in *P* | *τέκνοισιν N* | *πάτραν O* 969 *ταῖς* om. *C* | *τοῖς θεοῖς* Aristot. Rhet. III 17 p. 1418 b 20, unde *τοῖς θεοῖσι* Nauck 970 *ἔνδικα P*, *ἐνδίκως O* 971 *παλλάδα* ex *παλλάδος* factum in *P* 974 *δ' εὐθύνας P*

αἳ παιδιαῖσι κοὐ χλιδῇ μορφῆς πέρι
ἦλθον πρὸς Ἴδην. τοῦ γὰρ εἵνεκ' ἂν θεὰ
Ἥρα τοσοῦτον ἔσχ' ἔρωτα καλλονῆς;
πότερον ἀμείνον' ὡς λάβοι Διὸς πόσιν,
ἢ γάμον Ἀθάνα θεῶν τινος θηρωμένη,
ἣ παρθενείαν πατρὸς ἐξῃτήσατο
φεύγουσα λέκτρα; μὴ ἀμαθεῖς ποίει θεὰς
τὸ σὸν κακὸν κοσμοῦσα· μὴ οὐ πείσῃς σοφούς.
Κύπριν δ' ἔλεξας· ταῦτα γὰρ γέλως πολύς·
ἐλθεῖν ἐμῷ ξὺν παιδὶ Μενέλεω δόμους.
οὐκ ἂν μένουσ' ἂν ἥσυχός σ' ἐν οὐρανῷ
αὐταῖς Ἀμύκλαις ἤγαγεν πρὸς Ἴλιον;
ἦν οὑμὸς υἱὸς κάλλος ἐκπρεπέστατος,
ὁ σὸς δ' ἰδών νιν νοῦς ἐποιήθη Κύπρις·
τὰ μῶρα γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς,
καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς.
ὃν εἰσιδοῦσα βαρβάροις ἐσθήμασι
χρυσῷ τε λαμπρὸν ἐξεμαργώθης φρένας.
ἐν μὲν γὰρ Ἄργει μίκρ' ἔχουσ' ἀνεστρέφου,
Σπάρτης δ' ἀπαλλαχθεῖσα τὴν Φρυγῶν πόλιν
χρυσῷ ῥέουσαν ἤλπισας κατακλύσειν
δαπάναισιν· οὐδ' ἦν ἱκανά σοι τὰ Μενέλεω
μέλαθρα ταῖς σαῖς ἐγκαθυβρίζειν τρυφαῖς.
εἶεν· βίᾳ γὰρ παῖδα φής σ' ἄγειν ἐμόν·
τίς Σπαρτιατῶν ᾔσθετ', ἢ ποίαν βοὴν
ἀνωλόλυξας, Κάστορος νεανίου

---

975 *παιδιαῖς BC* et corr. in *παιδιαῖσι N* | *κοὐ*] Lenting, *καὶ* libri 976 *ἦλθον πρὸς P*, *ἦλθον ἐπ' O*, unde *ἤλυθον ἐπ'* Kirchhoff | *οὕνεκ'* vel *οὕνεκ'* libri 978 *λάβοι*] Hermann, *λάβῃ OP* 979 *γάμων C* | *Ἀθάνα*] Seidler, *ἀθηνᾶ* libri | *πειρωμένη P* 980 *παρθενίαν O* 982 *μὴ οὐ*] Seidler, *μὴ* libri 984 *ξυμ B* et corr. in *ξὺν N* 985 *οὔκουν* Paley | *μένουσα* (om. *ἂν*) *N* | *σ'*] Hermann, *γ'* libri | *ἥσυχος κατ' οὐρανὸν* Dobree, tum in v. proximo cum Reiskio *Ἀμύκλαις σ'* scribendum 986 *ἤγαγε OP* 988—990 delet R. Prinz (989 sq. iam delevit Bothe, versum 990 Aristoteles Rhet. II 23 p. 1400 b 24 habet, v. 989 afferunt Etym. Gud. p. 97 et schol. Hes. Theog. 196) 991 *εἰσιδοῦσα P*, *ἰδοῦσα BN*, *σὺ γ' ἰδοῦσα C* | *ἐσθήμασιν P* | *βαρβάρῳ χλιδήματι* ex Iph. A. 74 Burges, fort. *βαρβάροις σπαθήμασι*, cfr. ad Aesch. Suppl. 241 992 *ἐξεμαργώθη N* 993 fort. *σμίκρ'* 998 *φὴς παῖδα*, sed literis β α superscriptis *C* | *σ'* om. *BNP* 1000 *ἀνολώλυξας C*, fort. *ἀνωτότυξας*, cfr. Hel. 371

τοῦ συζύγου τ' ἀπόντος οὐ κατ' ἄστρα πω;
ἐπεὶ δὲ Τροίαν ἦλθες Ἀργεῖοί τέ σου
κατ' ἴχνος, ἦν δὲ δοριπετὴς ἀγωνία,
εἰ μὲν τὰ τοῦδε κρείσσον' ἀγγέλλοιτό σοι,
Μενέλαον ᾔνεις, παῖς ὅπως λυποῖτ' ἐμὸς
ἔχων ἔρωτος ἀνταγωνιστὴν μέγαν·
εἰ δ' εὐτυχοῖεν Τρῶες, οὐδὲν ἦν ὅδε.
ἐς τὴν τύχην δ' ὁρῶσα τοῦτ' ἤσκεις, ὅπως
ἕποι' ἅμ' αὐτῇ, τῇ ἀρετῇ δ' οὐκ ἤθελες.
κἄπειτα πλεκταῖς σῶμα σὸν κλέπτειν λέγεις
πύργων καθιεῖσ', ὡς μένουσ' ἀκουσίως;
ποῦ δῆτ' ἐλήφθης ἢ βρόχους ἀρτωμένη
ἢ φάσγανον θήγουσ', ἃ γενναία γυνὴ
δράσειεν ἂν ποθοῦσα τὸν πάρος πόσιν;
καίτοι γ' ἐνουθέτουν σε πολλὰ πολλάκις·
ὦ θύγατερ, ἔξελθ'· οἱ δ' ἐμοὶ παῖδες γάμους
ἄλλους γαμοῦσι, σὲ δ' ἐπὶ ναῦς Ἀχαιικὰς
πέμψω συνεκκλέψασα, καὶ παῦσον μάχης
Ἕλληνας ἡμᾶς τ'. ἀλλὰ σοὶ τόδ' ἦν πικρόν.
ἐν τοῖς Ἀλεξάνδρου γὰρ ὕβριζες δόμοις
καὶ προσκυνεῖσθαι βαρβάρων ὑπ' ἤθελες
μεγάλα γὰρ ἦν σοι. κἀπὶ τοῖσδε σὸν δέμας
ἐξῆλθες ἀσκήσασα κἄβλεψας πόσει
τὸν αὐτὸν αἰθέρ', ὦ κατάπτυστον κάρα·
ἣν χρῆν ταπεινὴν ἐν πέπλων ἐρειπίοις,
φρίκῃ τρέμουσαν, κρᾶτ' ἀπεσκυθισμένην
ἐλθεῖν, τὸ σῶφρον τῆς ἀναιδείας πλέον
ἔχουσαν ἐπὶ τοῖς πρόσθεν ἡμαρτημένοις.
Μενέλα', ἵν' εἰδῇς οἷ τελευτήσω λόγον,

1001 τ' ἀπόντος] J. Heiland, τ' ἔτ' (vel τὲ τ') ὄντος libri 1004 ἀγγέλοιτο *N* 1005 μενέλεων *C* 1008 εἰ *N* 1012 ποῖ *BN*, πῇ *C* | ἐλείφθης *P* ἐλήφθης *p* | βρόχοις amicus Burgesii cl. Hesych. ἀρτωμένη βρόχῳ· ἀπαγχομένη 1013 γεναία *P* γενναία *p* 1014 τὸ πάρος *BN* 1015 σ' ἐνουθέτουν γε Burges 1017 ἀχαϊκὰς libri 1018 πέμψω *C*, πέμπω *BNP* 1021 ἤθελες] fort. ἠθέων 1022 μέγ' ἀγαθὸν Nauck, ἀρεστὸν Dindorf, fort. μέγ' ἆθλον | καὶ πέπλοισι σὸν δέμας F. Gu. Schmidt 1025 ἐριϊπίοις *B* 1027 ἐλθεῖν] λαθεῖν Burges | ἀναιδΐας *P* ἀναιδείας *p* 1028 ἔχουσαν] fort. σέβουσαν, cfr. Iph. A. 824 1029 οἷ] ἧ *C*

σtεφάνωσον Ἑλλάδ᾽ ἀξίως τήνδε κτανὼν
σαυτοῦ, νόμον δὲ τόνδε ταῖς ἄλλαισι θὲς
γυναιξί, θνῄσκειν ἥτις ἂν προδῷ πόσιν.
ΧΟ. Μενέλαε, προγόνων ἀξίως δόμων τε σῶν
τῖσαι δάμαρτα κἀφελοῦ πρὸς Ἑλλάδος
ψόγον τὸ θῆλύ τ᾽, εὐγενὴς ἐχθροῖς φανείς.
ΜΕ. ἐμοὶ σὺ συμπέπτωκας ἐς ταὐτὸν λόγου,
ἑκουσίως τήνδ᾽ ἐκ δόμων ἐλθεῖν ἐμῶν
ξένας ἐς εὐνάς, χἠ Κύπρις κόμπου χάριν
λόγοις ἐνεῖται. βαῖνε λευστήρων πέλας
πόνους τ᾽ Ἀχαιῶν ἀπόδος ἐν μικρῷ μακροὺς
θανοῦσ᾽, ἵν᾽ εἰδῇς μὴ καταισχύνειν ἐμέ.
ΕΛ. μή, πρός σε γονάτων, τὴν νόσον τὴν τῶν θεῶν
προσθεὶς ἐμοὶ κτάνῃς με, συγγίγνωσκε δέ.
ΕΚ. μηδ᾽ οὓς ἀπέκτειν᾽ ἥδε συμμάχους προδῷς·
ἐγὼ πρὸ κείνων καὶ τέκνων σε λίσσομαι.
ΜΕ. παῦσαι, γεραιά· τῆσδε δ᾽ οὐκ ἐφρόντισα.
λέγω δὲ προσπόλοισι πρὸς πρύμνας νεῶν
τήνδ᾽ ἐκκομίζειν, ἔνθα ναυστολήσεται.
ΕΚ. μή νυν νεὼς σοὶ ταὐτὸν ἐσβήτω σκάφος.
ΜΕ. τί δ᾽ ἔστι; μεῖζον βρῖθος ἢ πάροιθ᾽ ἔχει;
ΕΚ. οὐκ ἔστ᾽ ἐραστὴς ὅστις οὐκ ἀεὶ φιλεῖ.
ΜΕ. ὅπως ἂν ἐκβῇ τῶν ἐρωμένων ὁ νοῦς.
ἔσται δ᾽ ἃ βούλει· ναῦν γὰρ οὐκ ἐσβήσεται
ἐς ἥνπερ ἡμεῖς· καὶ γὰρ οὐ κακῶς λέγεις·
ἐλθοῦσα δ᾽ Ἄργος ὥσπερ ἀξία κακῶς
κακὴ θανεῖται καὶ γυναιξὶ σωφρονεῖν
πάσαισι θήσει. ῥᾴδιον μὲν οὐ τόδε·

1033 ἀξίως τε *P* 1034 πρὸς] τὸν Herwerden 1035 ψόγον om. *P* 1048 εἰς *CN* 1039 ἐνεῖται *P* ἀρνεῖται *p* 1040 δ᾽ *P* 1041 suspectus 1042 νόσων *P* νόσον *p* ante 1044 versus intercidisse videtur 1046 γηραιά et τῆς δ᾽ οὐκ *N* 1047 προσπόλοισιν *P* 1048 ναυστολήσομαι Schenkl 1049 μὴ νῦν *OP* 1050 πάρος γ᾽ *P* 1051 κοὐκ *N* | οὐδεὶς ἐραστής Aristot. Rhet. II 21 p. 1394 b 16

1052 Menelai notam hic omissam ante proximum v. habent *OP*, correctum in *H* | fort. ὅπως γ᾽ 1053 ἔσται τάδ᾽ ἃ *BN*, ἔσται γ᾽ ἃ *C* | ὃ Herwerden | βολει *P* βούλει *p* 1053 sq. verba ναῦν . . ἡμεῖς delet Herwerden 1054 γὰρ οὖν καλῶς Paley 1055 sq. κακὴ κακῶς Lenting 1056 κατθανεῖν superscr. σωφρονεῖν *C*

ὅμως δ' ὁ τῆσδ' ὄλεθρος ἐς φόβον βαλεῖ
τὸ μῶρον αὐτῶν, κἂν ἔτ' ὦσ' αἰσχίονες.

ΧΟ. οὕτω δὴ τὸν ἐν Ἰλίῳ — stroph.
ναὸν καὶ θυόεντα βω-
μὸν προύδωκας Ἀχαιοῖς,
ὦ Ζεῦ, καὶ πελάνων φλόγα
σμύρνης αἰθερίας τε κα-
πνὸν καὶ Πέργαμον ἱρὰν
Ἰδαῖά τ' Ἰδαῖα κισσοφόρα νάπη
χιόνι κατάρυτα ποταμίᾳ
τέρμονά τε πρωτόβολον ἁλίῳ
τὰν καταλαμπομέναν ζαθέαν θεράπναν.

φροῦδαί σοι θυσίαι χορῶν τ' — antistr.
εὔφημοι κέλαδοι κατ' ὄρ-
φναν τε παννυχίδες θεῶν
χρυσέων τε ξοάνων τύποι
Φρυγῶν τε ζάθεοι σελᾶ-
ναι συνδώδεκα πλήθει.
μέλει μέλει μοι τάδ' εἰ φρονεῖς, ἄναξ,
οὐράνιον ἕδρανον ἐπιβεβὼς
αἰθέρα τε πόλεος ὀλομένας,
ἃν πυρὸς αἰθομένα κατέλυσεν ὁρμά.

ὦ φίλος ὦ πόσι μοι, — stroph.
οὐ μὲν φθίμενος ἀλαίνεις
ἄθαπτος ἄνυδρος, ἐμὲ δὲ πόντιον σκάφος
ἀίσσον πτεροῖσι πορεύσει

1058 τῆς *B N* 1059 αἰσχίονες] Hermann, ἐχθίονες libri 1062 προύδωκά σ' *P* 1063 πελάνων *C*, πελανῶν *B N P* 1064 fort. αἰθερίου 1065 περγάμων *C* | ἱρὰν] Heath, ἱερὰν libri 1066 κισσηφόρα *P* 1067 κατάρυτα] Seidler, κατάρρυτα libri 1069 προτόβολον *C* | ἀελίῳ Musgrave 1070 θεράπαιναν *P*, τ' ἐρίπναν Heath, malim ἐρίπναν 1072 εὔφαμοι Dindorf 1073 τε om. *Λ* | παννυχίδες θεῶν om. *P* 1076 συνδώδεκα] Barnes, σὺν δώδεκα libri 1077 μέλει μοι μέλει μοι *C* 1078 ἕδρανον *O*, ἕδραν *P* | ἐπιβεβὼς] Seidler, ἐπιβεβηκὼς libri 1079 αἰθέρα τ' ἐμᾶς Hermann, fort. αἰθέρος ἐμᾶς | πόλεος] Seidler, πόλεως libri 1081 *EK.* ante ὦ φίλος *B C P* (non *N*) 1082 φθίμενος] Aldina, φθιμένοις libri 1086 ᾄσσον Hermann | πτερῦσι, scripto οι super ῦ, *C*

ἱππόβοτον Ἄργος, ἵνα τείχεα
λάινα Κυκλώπι' οὐράνια νέμονται.
τέκνων δὲ πλῆθος ἐν πύλαις
δάκρυσι κατᾳοναμένον βοᾷ βοᾷ·
μᾶτερ, ὤμοι, μόνον δή μ' Ἀχαιοὶ κομί-
ζουσι σέθεν ἀπ' ὀμμάτων
κυανέαν ἐπὶ ναῦν
εἰναλίαισι πλάταις
ἢ Σαλαμῖν' ἱερὰν
ἢ δίπορον κορυφὰν
Ἴσθμιον, ἔνθα πύλας
Πέλοπος ἔχουσιν ἕδραι.

εἴθ' ἀκάτου Μενέλα antistr.
μέσον πέλαγος ἰούσας,
δίπαλτον ἱερὸν ἀνὰ μέσον πλατᾶν πέσοι
Αἰγαίου κεραυνοφαὲς πῦρ,
Ἰλιόθεν ὅτε με πολύδακρυν
Ἑλλάδι λάτρευμα γᾶθεν ἐξορίζοι,
χρύσεα δ' ἔνοπτρα, παρθένων
χάριτας, ἔχουσα τυγχάνοι Διὸς κόρα
μηδὲ γαῖάν ποτ' ἔλθοι Λάκαιναν πατρῷ-
όν τε θάλαμον ἑστίας,
μηδὲ πόλιν Πιτάνας
χαλκόπυλόν τε θεάν,
δύσγαμον αἶσχος ἑλὼν
Ἑλλάδι τᾷ μεγάλᾳ

1087 *ἵνα τε* Seidler | *τείχεα*] *τύκη* Hermann 1088 *Κυκλώπι'*] Burges, *κυκλώπεια O*, *κυκλώπια P* 1089 *τέκνον P* 1090 *κατᾳοναμένον*] scripsi, *κατάορα* (*κατάορα BNP*) *στένει* libri 1091 *μᾶτερ ἔμοι P* | *μόνον*] scripsi, *μόναν* libri 1095 *εἰναλίαισι H*, *ἐναλίαισι O*, *ἐν ἁλίαισι P*, fort. *εἰναλίοισι*, cfr. Hel. 526 1100 *εἴθ'*] H. Stephanus, *ἔνθ' OP* | *μενέλαε P* 1102 *δίπλατον P* | *πλατᾶν*] Seidler, *πλάταν* libri 1104 *Αἰγαίου*] *ἁγνὸν* Hermann, *Δῖον* Schenkl 1105 *ὅτε*] *εὖτε* Kirchhoff 1106 *ἐξορίζοι*] scripsi, *ἐξορίζει* libri 1109 *τυγχάνοι*] A. Levi, *τυγχάνει* libri 1113 *θεάν*] Musgrave (*θάλαμον* abiecit Aldina), *θεᾶς θάλαμον* libri, schol. *τινὲς θεᾶς μέλαθρον* 1114 *δύσγαμος αἶσθος N* | *ἑλὼν*] *ἔχων* (vel *ἄγων*) F. Gu. Schmidt 1115 *τὰ P*

καὶ Σιμοεντιάσιν
μέλεα πάθεα ῥοαῖσιν.

ἰὼ ἰώ,
καίν' ἐκ καινῶν μεταβάλλουσαι
χθονὶ συντυχίαι. λεύσσετε Τρώων
τόνδ' Ἀστυάνακτ' ἄλοχοι μέλεαι
νεκρόν, ὃν πύργων δίσκημ' ἀπ' ἄκρων
Δαναοὶ κτείναντες ἔχουσιν.

ΤΑΛΘΥΒΙΟΣ.

Ἑκάβη, νεὼς μὲν πίτυλος εἷς λελειμμένος
λάφυρα τἀπίλοιπ' Ἀχιλλείου τόκου
μέλλει πρὸς ἀκτὰς ναυστολεῖν Φθιώτιδας·
αὐτὸς δ' ἀνῆκται Νεοπτόλεμος, καινάς τινας
Πηλέως ἀκούσας συμφοράς, ὥς νιν χθονὸς
Ἄκαστος ἐκβέβληκεν, ὁ Πελίου γόνος.
οὗ θᾶσσον εἵνεκ', οὐ κόρον μονῆς ἔχων,
φροῦδος, μετ' αὐτοῦ δ' Ἀνδρομάχη, πολλῶν ἐμοὶ
δακρύων ἀγωγός, ἡνίκ' ἐξώρμα χθονὸς
πάτραν τ' ἀναστένουσα καὶ τὸν Ἕκτορος
τύμβον προσεννέπουσα. καί σφ' ᾐτήσατο
θάψαι νεκρὸν τόνδ', ὃς πεσὼν ἐκ τειχέων
ψυχὴν ἀφῆκεν Ἕκτορος τοῦ σοῦ γόνος,
φόβον τ' Ἀχαιῶν, χαλκόνωτον ἀσπίδα
τήνδ', ἣν πατὴρ τοῦδ' ἀμφὶ πλευρ' ἐβάλλετο,
μή νιν πορεῦσαι Πηλέως ἐφ' ἑστίαν,
μηδ' ἐς τὸν αὐτὸν θάλαμον, οὗ νυμφεύσεται
μήτηρ νεκροῦ τοῦδ' Ἀνδρομάχη, λύπας ὁρᾶν,

1116 Σιμοεντιάσιν] Hermann, σιμοεντίσιν *BP*, σιμοέντισι *CN* 1117 πάθη Nauck | ῥοαῖσιν] Musgrave, προῇσιν *P*, πρωῇσιν *O* 1118 καίν'] καινὰ *OP* | ἐκ om. libri, add. Dobree | καὶ νῶν *P* | μεταβάλλουσι Dobree 1119 λεύσετε *B* 1121 δίσκημ' ἀπ' ἄκρων] scripsi, δίσκημα πικρὸν libri 1122 κτείναντες *O*, κτείνοντες *P* 1123 λελειμένος *BN* 1126 Νεοπτόλεμος] δεσπότης Elmsley 1128 ἐμβέβηκεν *B* 1129 οὕνεκ' libri (οὕνεχ' *C*) | οὐ κόρον] scripsi (οὐ χάριν Seidler, ἢ κόρον F. Gu. Schmidt), ἢ χάριν libri 1130 τ' *P* 1131 ἐξορμᾶ *P*
1132 τ' om. *P* 1133 καὶ σ' Barnes, κἄμ' Nauck 1134 νεκρῶν τῶνδ' *P* νεκρὸν τόνδ' *p* 1136 ἀχεῶν superscr. αι *C* 1140 delet Paley

ἀλλ' ἀντὶ κέδρου περιβόλων τε λαΐνων
ἐν τῇδε θάψαι παῖδα· σὰς δ' ἐς ὠλένας
δοῦναι, πέπλοισιν ὡς περιστείλῃς νεκρὸν
στεφάνοις θ', ὅση σοι δύναμις, ὡς ἔχει τὰ σά,
ἐπεὶ βέβηκε καὶ τὸ δεσπότου τάχος
ἀφείλετ' αὐτὴν παῖδα μὴ δοῦναι τάφῳ.
ἡμεῖς μὲν οὖν, ὅταν σὺ κοσμήσῃς νέκυν,
γῆν τῷδ' ἐπαμπισχόντες ἀροῦμεν δόρυ·
σὺ δ' ὡς τάχιστα πρᾶσσε τἀπεσταλμένα.
ἑνὸς μὲν οὖν μόχθου σ' ἀπαλλάξας ἔχω·
Σκαμανδρίους γὰρ τάσδε διαπερῶν ῥοὰς
ἔλουσα νεκρὸν κἀπένιψα τραύματα.
ἀλλ' εἶμ' ὀρυκτὸν τῷδ' ἀναρρήξων τάφον,
ὡς σύντομ' ἡμῖν τἀπ' ἐμοῦ τε κἀπὸ σοῦ
ἐς ἓν ξυνελθόντ' οἴκαδ' ὁρμήσῃ πλάτην.
ΕΚ. *θέσθ' ἀμφίτορνον ἀσπίδ' Ἕκτορος πέδῳ,*
λυπρὸν θέαμα κοὐ φίλον λεύσσειν ἐμοί.
ὦ μείζον' ὄγκον δορὸς ἔχοντες ἢ φρενῶν,
τί τόνδ', Ἀχαιοί, παῖδα δείσαντες φόνον
καινὸν διειργάσασθε; μὴ Τροίαν ποτὲ
πεσοῦσαν ὀρθώσειεν; οὐδὲν ἦτ' ἄρα,
ὅθ' Ἕκτορος μὲν εὐτυχοῦντος ἐς δόρυ
διωλλύμεσθα μυρίας τ' ἄλλης χερός,
πόλεως δ' ἁλούσης καὶ Φρυγῶν ἐφθαρμένων
βρέφος τοσόνδ' ἐδείσατ'. οὐκ αἰνῶ φόβον,
ὅστις φοβεῖται μὴ διεξελθὼν λόγῳ.
ὦ φίλταθ', ὥς σοι θάνατος ἦλθε δυστυχής.
εἰ μὲν γὰρ ἔθανες πρὸ πόλεως, ἥβης τυχὼν
γάμων τε καὶ τῆς ἰσοθέου τυραννίδος,

1141 *τ' ἐλαΐνων O* 1142 *πέδα C* | *δέ σ' BN, σ' ἐσ P δ' ἐσ p* | *ὀλένας C* 1144 *ὡς ἔχει τὰ σά*] fort. *ἐκ λελειμμένων* 1145 *τὸ τοῦ O* 1148 *τόδ' P τῶδ' p* | *ἐπαμπισχόντες*] Elmsley, *ἐπαπίσχοντες* mut. in *ἐπαμπίσχοντες P, ἀμπισχόντες BN, ἐπισχόντες C* | *ἀροῦμεν*] Burges, *αἰροῦμεν BP, αἱροῦμεν CNp* 1149 *σὺ* om. *C* 1150 *ἀνταλλάξας BN* 1151 *σκαμανδρία N* 1153 *ἀναρήξων BN, ἀνορύξων C* 1154 *σὺν τὸ N* 1155 *ὁρμήσῃ*] Reiske, *ὁρμήσει O, ὁρμίσῃ P* 1157 fort. *λυγρὸν* | *λεύσειν B* 1158 *μεῖζον BNP* 1160 *διηργάσασθε P διειργάσασθε p* 1161 *ἦστ'* Nauck 1163 *διολλύμεσθα O* | *μυρίας P, μυρίους O* 1167 *δυστυχής*] fort. *δυσκλεής*

μακάριος ἦσθ' ἄν, εἴ τι τῶνδε μακάριον·
νῦν δ' αὔτ' ἰδὼν μὲν γνούς τε σῇ ψυχῇ, τέκνον,
οὐκ οἶσθ', ἐχρήσω δ' οὐδὲν ἐν δόμοις ἔχων.
δύστηνε, κρατὸς ὥς ἔκειρεν ἀθλίως
τείχη πατρῷα, Λοξίου πυργώματα,
ὃν πόλλ' ἐκήπευσ' ἡ τεκοῦσα βόστρυχον
φιλήμασίν τ' ἔδωκεν, ἔνθεν ἐκγελᾷ
ὀστέων ῥαγέντων φόνος, ἵν' αἰσχρὰ μὴ λέγω.
ὦ χεῖρες, ὡς εἰκοὺς μὲν ἡδείας πατρὸς
κέκτησθ', ἐν ἄρθροις δ' ἔκλυτοι πρόκεισθέ μοι.
ὦ πολλὰ κόμπους ἐκβαλὸν φίλον στόμα,
ὄλωλας, ἐψεύσω μ', ὅτ' ἐσπίτνων πέπλους,
ὦ μῆτερ, ηὔδας, ἦ πολύν σοι βοστρύχων
πλόκαμον κεροῦμαι πρὸς τάφον θ' ὁμηλίκων
κώμους ἐπάξω, φίλα διδοὺς προσφθέγματα.
σὺ δ' οὐκ ἔμ', ἀλλ' ἐγὼ σὲ τὸν νεώτερον
γραῦς ἄπολις ἄτεκνος ἄθλιον θάπτω νεκρόν.
οἴμοι, τὰ πόλλ' ἀσπάσμαθ' αἵ τ' ἐμαὶ τροφαὶ
ὕπνοι τ' ἐκεῖνοι φροῦδά μοι. τί καί ποτε
γράψειεν ἂν σῷ μουσοποιὸς ἐν τάφῳ;
τὸν παῖδα τόνδ' ἔκτειναν Ἀργεῖοί ποτε
δείσαντες; αἰσχρὸν τοὐπίγραμμά γ' Ἑλλάδι.
ἀλλ' οὖν πατρῴων οὐ λαχὼν ἕξεις ὅμως
ἐν ᾗ ταφήσῃ χαλκόνωτον ἰτέαν.
ὦ καλλίπηχυν Ἕκτορος βραχίονα
σῴζουσ', ἄριστον φύλακ' ἀπώλεσας σέθεν.

1171 *νῦν δ'*] Reiske, *νῦν* libri | *αὖτ'* libri | *μὲν* om. *N* | *γνοὺς δὲ C* | *σῇ*] *τῇ N* 1172 *σύνοισθ'* Hartung, *κάτοισθ'* Dindorf, *ᾔδησθ'* Schenkl 1173 *ὡς*] anonymus („Epitomae MS. α" Burges), *ὡς σ' P*, *ὃς BN*, *οὓς C* 1174 *τύχη πατρῴα P* 1176 *φιλήμασί BN* 1177 cfr. Hesych. *αἰσχρά· μυσαρὰ κακά. Εὐριπίδης Τρῳάσιν* 1178 *εἰκοῦς OP* (*εἰκόνας* suprascr. *p*) 1179 *πρόσῃ* pro *πρόκεισθέ μοι C* | *μοι* om. *BN* | *πρόκεισθε δή* Fix, *πρόκεισθε νῦν* Nauck 1180 *ἐκβαλὼν P* | *φίλιον O* 1181 *ἐσπίτνων*] scripsi, *εἰσπίπτων* libri (*εἰσπίπτον C*) | *πέπλους P*, *λέχος O* 1182 *σε N* 1183 *τάφων N* | *θ' O*, *δ' P* 1184 *ἐπάξω*] Nauck, *ἀπάξω* libri 1187 *ἀσπάσμαθ' B* 1188 *ὕπνοι τ' ἄυπνοι* Hermann (*πόνοι τ' ἄυπνοι* Burges), fort. *ἀγρυπνίαι τε* 1189 *σῷ*] Dobree, *σε* libri 1191 *τοὐπίγραμμ' ἐν P*, sed *ἐν* inseruit *p* 1193 *ἰταίαν*, superscr. *ε*, *C* 1194 *ᾧ BN* 1195 *θέθεν P* *σέθεν p*

ὡς ἡδὺς ἐν πόρπακι σὸς κεῖται τύπος
ἴτυός τ' ἐν εὐτόρνοισι περιδρόμοις ἱδρώς,
ὃν ἐκ μετώπου πολλάκις πόνους ἔχων
ἔσταζεν Ἕκτωρ προστιθεὶς γενειάδι.
φέρετε, κομίζετ' ἀθλίῳ κόσμον νεκρῷ
ἐκ τῶν παρόντων· οὐ γὰρ ἐς κάλλος τύχας
δαίμων δίδωσιν· ὧν δ' ἔχω, λήψῃ τάδε.
θνητῶν δὲ μῶρος ὅστις εὖ πράσσειν δοκῶν
βέβαια χαίρει· τοῖς τρόποις γὰρ αἱ τύχαι,
ἔμπληκτος ὡς ἄνθρωπος, ἄλλοτ' ἄλλοσε
πηδῶσι, κοὐδεὶς αὐτὸς εὐτυχεῖ ποτε.

ΧΟ. καὶ μὴν πρὸ χειρῶν αἵδε σοι σκυλευμάτων
Φρυγίων φέρουσι κόσμον ἐξάπτειν νεκρῷ.

ΕΚ. ὦ τέκνον, οὐχ ἵπποισι νικήσαντά σε
οὐδ' ἥλικας τόξοισιν, οὓς Φρύγες νόμους
τιμῶσιν, οὐκ ἐς πλησμονὰς θηρώμενοι,
μήτηρ πατρός σοι προστίθημ' ἀγάλματα
τῶν σῶν ποτ' ὄντων· νῦν δέ σ' ἡ θεοστυγὴς
ἀφείλεθ' Ἑλένη, πρὸς δὲ καὶ ψυχὴν σέθεν
ἔκτεινε καὶ πάντ' οἶκον ἐξαπώλεσεν.

ΧΟ. ἒ ἔ, φρενῶν
ἔθιγες ἔθιγες· ὦ μέγας ἐμοί ποτ' ὢν
ἀνάκτωρ πόλεως.

ΕΚ. ἃ δ' ἐν γάμοισι χρῆν σε προσθέσθαι χροῒ
Ἀσιατίδων γήμαντα τὴν ὑπερτάτην,
Φρύγια πέπλων ἀγάλματ' ἐξάπτω χροός.
σύ τ', ὦ ποτ' οὖσα καλλίνικε μυρίων
μῆτερ τροπαίων, Ἕκτορος φίλον σάκος,

1196 σῷ κεῖται Dobree, fort. σῴζεται 1199 ἔσταξεν O, ἔσταζέ σ' Bothe 1202 ὧν] fort. ὅσα 1203 ante versum ὥριον ζῇ C | μόρος N 1204 τοῖς τρόποις] fort. πολύτροποι 1206 αὐτὸς] Valckenaer, αὐτὸς libri | εὐτυχῇ P εὐτυχεῖ p | κοὐκ ἀεί ποθ' αὑτὸς εὐτυχεῖ J. Heiland, fort. κοὐδεὶς διὰ τέλους ὃς εὐτυχεῖ 1207 fort. πρόχειρον 1208 ἐξάπειν B | νεκροῦ Nauck 1210 οὓς] ὡς N 1211 inter οὐκ et ἐς versus intercidisse videtur (post hunc v. lacunam statuit Hermann) 1212 προστίθημ'] Herwerden, προστίθησ' libri 1215 ἐξαπώλεσε BN 1218 γάμοισι χρῆν] R. Prinz, γάμοις ἐχρῆν libri | προθέσθαι N 1220 om. O | χροός] νεκροῦ Lenting

στεφανοῦ· κάτει γὰρ οὐ θανοῦσα σὺν νεκρῷ·
ἐπεὶ σὲ πολλῷ μᾶλλον ἢ τὰ τοῦ σοφοῦ
κακοῦ τ' Ὀδυσσέως ἄξιον τιμᾶν ὅπλα.
ΧΟ. αἰαῖ αἰαῖ,
πικρὸν ὄδυρμα γαῖά σ', ὦ
τέκνον, δέξεται.

στέναζε, μᾶτερ, ΕΚ. αἰαῖ.
ΧΟ. νεκρῶν ἴακχον. ΕΚ. οἴμοι [μοι].
ΧΟ. οἴμοι δῆτα σῶν ἀλάστων κακῶν.
ΕΚ. τελαμῶσιν ἕλκη τὰ μὲν ἐγώ σ' ἰάσομαι,
τλήμων ἰατρός, ὄνομ' ἔχουσα, τἄργα δ' οὔ·
τὰ δ' ἐν νεκροῖσι φροντιεῖ πατὴρ σέθεν.
ΧΟ. ἄρασσ' ἄρασσε κρᾶτα
πιτύλους διδοῦσα χειρός,
ἰώ μοί μοι.
ΕΚ. ὦ φίλταται γυναῖκες.
ΧΟ. [Ἑκάβη] σὰς ἔνεπε, τίνα θροεῖς αὐδάν;
ΕΚ. οὐκ ἦν ἄρ' ἐν θεοῖσι πλὴν οὑμοὶ πόνοι
Τροία τε πόλεων ἔκκριτον μισουμένη,
μάτην δ' ἐβουθυτοῦμεν. εἰ δὲ μὴ θεὸς
ἔστρεψε τἄνω περιβαλὼν κάτω χθονός,
ἀφανεῖς ἂν ὄντες οὐκ ἂν ὑμνήθημεν ἂν
μούσαις ἀοιδὰς δόντες ὑστέραν βροτῶν.
χωρεῖτε, θάπτετ' ἀθλίῳ τύμβῳ νεκρόν·
ἔχει γὰρ οἷα δεῖ γε νερτέρων στέφη.

1201 ἐς καλὰς ταφὰς Badham, εἰς καλὸν τύχας olim Nauck, ὡς πάρος χλιδὰς F. Gu. Schmidt, εἰς κάλλος ταφὰς Blaydes 1202 ἂν δ' ἔχω F. Gu. Schmidt 1203 πράξειν Blaydes 1203 sq. πράσσων δοκεῖ βέβαια χαίρειν Bothe 1204 ἀβέβαια Porson | ταῖς τροπαῖς Grotius, τοῖς τροχοῖς Lenting, περιτροπαῖς Hermann, δύστροποι Nauck, τοῖς βροτοῖς F. Gu. Schmidt | ἡ τύχη et 1206 πηδῶσα Bothe 1206 κοὐδ' εἷς εἰσαεί ποτ' εὐτυχεῖ Burges, κοὐκ ἀεί τις (vel κοὐδεὶς αἰὲν) ηὐτύχει ποτέ Bothe | κοὐδάμ' Prinz | κοὐδεὶς αὐτὸς εὐτυχὴς ἀεί Blaydes, κοὔποθ' αὐτὸς εὐτυχὴς ἀεί Barthold 1207 προχείρων Scaliger, πρόχειρον aspernatur Dobree | αἴδε μοι, v. 1207 sq. Hecubae continuandos ratus, Kirchhoff 1208 etiam νεκρῶν Nauck

1211 τιμῶσ', ἐν οἴκοις Burges | τιμῶσιν, ὁσίας ἡδονὰς θηρώμενοι F. Gu. Schmidt, τιμῶσιν ἀγαθὰς (vel τιμῶσι χρηστὰς) ἡδονὰς θηρώμενοι Blaydes | οὐχὶ πλησμονὰς Schenkl | θηρώμενον Scaliger, ὁρμώμενοι Reiske, θ' ὁρώμενον Heath, θοινώμενοι Seidler, θοινωμένῳ Dobree, θεώμενοι Hartman 1213 τῶν σῶν] τόσων Bothe 1216—1239 chorica et 1251—1259 coryphaeo et ducibus hemichoriorum dat R. Arnoldt 1216 ἐὴ ἐὴ φρενῶν Paley 1218 χροΐ] τέκνον Paley

1220 lacunae explendae causae compositum putat Dindorf | χροός] νεκρῷ Fecht 1223 στεφανοῦ, φίλῳ κάτωθεν οὖσα σὺν νεκρῷ, delens v. 1224 sq., F. Gu. Schmidt | γὰρ οὐ, ταφεῖσα σὺν νεκρῷ vel γὰρ οὐ, ταφεῖσα, σὺν νεκρῷ Barthold 1226 sq. αἰαῖ ⏑ – πατρίδι, γᾶ πικρὸν ὄδυρμά σ', ὦ Hermann 1226 sqq. ΧΟ. αἶ αἶ. ΕΚ. πικρόν γ' ὄδυρμα. γαῖά σ', ἰὼ τέκνον, δέξεται. ΧΟ. στέναξ', ὦ μᾶτερ = ΕΚ. αἶ αἶ. ΧΟ. νεκρῶν ἴακχον. ᾤμοι (vel ἰώ) μοι· οἴμοι δῆτα σῶν ΕΚ. ἀλάστων κακῶν Seidler | αἰαῖ αἰαῖ τέκνον, πικρὸν ὄδυρμα γαῖα σὴ δέξεται, στέναξον μᾶτερ Paley ante 1229 tres versus Hecubae (= 1232—1234), post 1230 ἰώ μοι μοι et versum Hecubae (= 1238) excidisse suspicabatur olim, 1235 ἄρασσε ʽΕΚ. κρᾶτα, 1236 διδοῦσα ʽΕΚ. χειρός scribens, Kirchhoff 1229 μάτηρ olim Nauck

1230 et 1231 ὤ μοι Hermann 1232 τελαμῶσι δ' Kirchhoff 1235 ἔρεσσε χειρὶ κρᾶτ', ἔρεσσε κρᾶτα Burges 1235 sq. ΧΟ. ἄρασσ' ἄρασσε κρᾶτα. ΕΚ. πιτύλους . . μοι = 1238 sq. statuit, ʽΕκάβη, σάφ' (σάφ' cum Musgravio) ἔνεπε scribens, Seidler, ΧΟ. ἄρασσ' . . χειρός. ΕΚ. ὤ μοι μοι * * * = ὦ φίλταται γυναῖκες, * * * ΧΟ. θαρσήσασ' ἔνεπε . . αὐδάν Hermann 1236 τιθεῖσα Blaydes | χειρός] χειρί Wilamowitz 1239 τί δ', ʽΕκάβη, καλεῖς φίλας σάς; ἔνεπε κτἑ. Paley | ἐκχρήσασ' ἔνεπε O. Goram | σὰς] σάφ' Musgrave

1240 οὐκ ἤρεσεν θεούς τι πλὴν Burges, οὐκ ἦν ἀρεστὸν θεοῖσι πλὴν vel οὐκ ἤραρεν θεοῖσι πλὴν Stanley, οὐκ ἔμελεν ἄρα θεοῖς τι πλὴν F. Gu. Schmidt | πλὴν θυμοὶ μόνοι Musgrave, πλησμονὴ πόνων Jacobs 1241 ἐκκριδὸν Dindorf 1242 sq. εἰ δὲ μὴ θεὸς ἔστρεψ' ἄνωθεν περιβαλὼν H. Stephanus, εἰ δὲ μὴ θεὸς ἔστρεψε τἀμὰ χερὶ βαλὼν

F. Gu. Schmidt, εὖ δ' ἡμᾶς θεὸς ἔστρεψε, τἄνω . . χθονός. ⟨εἰ γὰρ τόδ' ἄστυ μὴ κατεσκάφη δόρει⟩ E. Bruhn 1243 ἔστρεψε τἄνω] ἔθηκ' ἀΐστους, olim coniciebam | ἔστρεψε τἄνω περιβολῶν κάτω χθονός Jacobs, ἔστρεψε τἄνω περιβαλὼν κάτω χθόνα Hermann (mallem χερὶ βαλὼν κάτω πόλιν), ἔστρεψε τἄνω περὶ κάτω βαλὼν χθονός Naber 1243 sqq. μὴ ἔστρεψε . . οὐκ ἄρ' (vel ἂν) ὑμνηθεῖμεν ἂν μοῦσαν διδόντες ὑστέραν σοφοῖς βροτῶν Barthold 1244 ἀφανεῖς μένοντες F. Gu. Schmidt | ἀνυμνήθημεν Musgrave, ἂν ὑμνηθεῖμεν Hermann | hoc versu deleto lacunam statuit C. Busche 1245 μούσαις ἀοιδὰς δόντες ὑστέροις βροτοῖς Aldina, μοῦσαν διδόντες ὑστέραν ᾠδοῖς βροτῶν Heimsoeth, μούσαις, ἀοιδὰς οὐ διδόντες ὕστερον Schenkl, μούσας ἀοιδοῖς δόντες ἂν τοῖς ὕστερον vel μοῦσαν διδόντες ὑστέροις ᾠδοῖς βροτῶν olim coniciebam, *Μούσαις* ἀοιδὰς θέντες ἐς τὸ πᾶν χρόνον F. Gu. Schmidt, μοῦσαν διδόντες τοῖσιν ὕστερον βροτοῖς J. Heiland | δόντες ἀφθίτους βροτῶν vel ἐνδιδόντες ἀφθίτους Nauck | versum delet Paley 1246 ἄθλιον Pierson, at cfr. Christ. pat. 1447 ὀλβίῳ τύμβῳ 1247 οἷ' ἔχει γε Burges | δεῖ σφε Dobree 1248—50 delet Oeri

1251 μᾶτέρ γ' Aldina 1252 κατέκναψε Porson, κατέγραψε Lenting 1254 ἐγένου] ἐπ' ἐμοῦ vel γεγονὼς Reiske 1255 θανάτῳ | πότμον Burges 1256 miratus quod in postrema demum fabula urbs Troia incenditur, dubitat num haec pars sit genuina Herwerden 1257 φλογέαις Blaydes (debebat certe φλογέοις)

1265 μορφὰς] μοίρας Seidler, μομφὰς Hermann 1267 ἠχὴν ὦσιν F. Gu. Schmidt 1269 σὺ δ' Blaydes

1273 ἐστὶ τῶν ἐμῶν κακῶν Barnes, εἶδον ὧν ἔχω κακῶν olim coniciebam 1275 ἐπίσπερξον Blaydes 1277 ποτ' ἐμπρέπουσ' Nauck | (ποτε πνέουσ' ἐν vel) ποτ' ἐμπρέπουσα Blaydes

1283 σὺν πατρίδι τῇμῇ Nauck 1284 τοῖς αὐτῆς Hermann 1287 ὀτοτοτοί Bothe | 1287—1293 = 1294—1299 et 1300 sq. mesodum statuit, scribens ὀτοτοτοτοτοτοτοῖ. ὦ Κρόνιε, πρύτανι Φρύγι', ἀνάξια, γενέτα, τῆς . . δέδορκας; vel ὦ Κρόνιε, πρύτανι Φρύγιε, γενέτα, πάτερ ἄναξ τῆς . . δέδορκας; Seidler, 1287—1293 = 1294—1301 statuit, scribens olim *ΕΚ.* ὀτοτοῖ ὀτοτοῖ * * * Κρόνιε . . ἀνάξι' ἄρα Δαρδάνου . . δέδορκας; *ΧΟ.* δέδορκεν . . Τροία = *ΕΚ.* ὀτοτοῖ, ὀτοτοῖ . . πόλις κατ' ἄκρα τειχέων (vel τά τ' ἄκρα τειχέων). πτέρυγι . . οὐράνια . . γᾶ. *ΧΟ.* καταφθίνει δὲ μαλερὰ . . λόγχα, postea *ΕΚ.* ὀτοτοῖ * *, | Κρόνιε, Κρόνιε . . πάτερ, ἀνάξια | πάθεα τᾶς σᾶς | Δαρδάνου γονᾶς τάδ' οἷα | πάσχομεν, δέδορκας; *ΧΟ.* δέδορκεν . . Τροία = *ΕΚ.* ὀτοτοῖ, λέλαμπεν Ἴλιος | Περγάμων . . τέρεμνα καὶ πόλις | ἄκρα τε τειχέων | μαλερὰ . . κατάδρομα δαίῳ τε λόγχᾳ (1300 sq.). *ΧΟ.* πτέρυγι . . γᾶ Hermann, *ΕΚ.* ὀτοτοτοτοτοτοτοῖ. Κρόνιε . . δέδορκας; *ΧΟ.* δέδορκεν· ἁ δὲ * * * μεγαλόπολις . . Τροία = *ΕΚ.* ὀτοτοτοτοτοτοῖ * * * * λέλαμπ' Ἴλιος * * Περγάμων . . τέραμνα. *ΧΟ.* πεσοῦσα . . λόγχᾳ Kirchhoff, fort. *ΕΚ.* ὀτοτοτοτοτοτοῖ. *ΧΟ.* Κρόνιε πρύτανι Φρύγιε, γενέτα, γονᾶς ἀναξίως Δαρδάνου τάδ' οἷα πάσχομεν δέδορκας; *ΧΟ.* δέδορκεν . . ἄπολις ὄλωλ' οὐδ' . . Τροία = *ΕΚ.* ὀτοτοτοτοτοῖ. μαλερὰ μέλαθρα πυρὶ κατάδρομα (1300) λέλαμπεν Ἰλίου περγάμων τε φλογὶ καταίθεται τέραμνα. *ΧΟ.* πτέρυγι δὲ καπνὸς ὥς τις αἰθέρ' ὀρόμενος δορὶ καταφθίνει γᾶ (deletis versibus 1297 et 1301) 1288 Κρόνιε γενέτα Musgrave | Φρυγίου γενέτα Bothe | γενέτα delet Paley 1288 sq. Κρόνιε πρύτανι, ⟨Ῥέας παῖ⟩, Φρύγιε γένετορ, ἀνάξια

Wilamowitz 1289 *πάτερ ἀναξίως γε τᾶς Δαρδάνου* Paley | *τᾶς* delet W. Headlam 1289 sq. *τῆς Δαρδάνου γονᾶς ἀνάξια πάτερ* Lachmann

1290 *τάδ'* delet Bothe 1291 *δέδορκ', ἃ δὲ μεγαλόπτολις ἄπτολις* Bothe 1295 *λέλαμπ'* Bothe | ⟨*τὰ*⟩ *περγάμων* Seidler 1296 sq. *πυρὶ τὰ περγάμων πυρὶ καταίθεται πόλις τέρεμνα τειχέων κατάκρας* Paley | *τέραμνα μαλερῷ πυρὶ κατάδρομα δαΐῳ τε λόγχᾳ* (1301 sq., deleto versu 1297) Wilamowitz 1297 *πόλισμ'* Seidler 1297 sqq. *τ' ἄκρα* (deletis verbis *καὶ πόλις*) *τε τειχέων πτέρυγι δὲ καπνὸς οὐράνια ποτᾶται. ΧΟ. δορὶ κτὲ.* Hartung 1298 *ὡς ἀρθεὶς οὐρανίᾳ* Musgrave 1299 *οὐράνια* Seidler, *οὐρίᾳ* Wilamowitz | *δουρὶ* Paley

1300 sq. post *τειχέων* 1297 transponit Hermann 1304 *ἰαλέμῳ τοι τοὺς θανόντας* vel *ἰαλέμῳ τοὺς κατθανόντας*, si 1319 *ἐμπεσεῖσθ'* legatur, Seidler 1305 *μέλε' ἐμὰ* (et 1320 *αἰθέρα*) Hermann, *ἀμαλὰ μέλη* Wilamowitz 1306 *καὶ χέρεσσι* olim Hermann | (*ὀρύττουσα* Reiske), etiam *κροτοῦσα* Musgrave, *δρύπτουσα* Dobree

1310 *ἄχος ἄχος βοᾶς* Seidler, *ἄλγος ἄλγος αὖ βοᾶς* Hermann, *ἄλγος ἀμβοᾶς* Nauck, *ἄλγος ἄλγος αὐδᾶς* Heimsoeth 1311 (et 1326) *ΧΟ.* delet Seidler | *γ'* delet Hermann 1312 *Πρίαμε* (et 1328 *τρομερὰ*) semel Hartung 1313 *ἄταφος ἄφιλος* * * * Kirchhoff, *ἄταφος ἄταφος ἄφιλος ἄφιλος* W. Headlam 1313 sq. *ἄταφος, ὦ φίλος, ἀγνὼς ἄτας ἐμᾶς, ἄϊστος εἶ* Hartung 1314 *ἄτας δ'* Paley 1315 *γάρ σ'* H. Stephanus 1316 *θάνατος ἀνοσίων ἀνοσίαις σφαγαῖς* Dobree 1319 *ἐμπεσεῖσθ'* Aldina

1320 *ἰσοκάπνῳ περῶσ' αἰθέρα* Musgrave | *ἴσῃ* Paley | *καπνοῦ* Seidler | *καπνῷ πτερυσθεῖσαι* (vel *πτερωθεῖσα*) *πρὸς αἰθέρα* Reiske, *καπνῷ φερομένη πρὸς αἰθέρα* Herwerden, *καπνῷ πετοῦσ' εἰς τὸν ἀερ'* E. Heydenreich 1320 sq. *πρὸς αἰθέρ' ἀΐσσουσ' οἴκων ἐμῶν μεθεῖται* Hartung 1321 *ἀΐστορ'* Musgrave, *ἄοικον* Blaydes | *ἄιστος οἴκους ἐμοὺς μεθήσει* Paley 1322 *δ' αἴας* (et 1307 *διάδοχόν*) Seidler | *εἴσιν*] *εἰσαεὶ* vel *αἲ αἴ* Musgrave 1322 sq. *ἄλλο δ' ἄλλᾳ* Bothe 1325 *ἐκλύετε* delet Bothe | *Περγάμων κλύω κτύπον* Hermann | *Περγάμων* ⟨*δὴ*⟩ *κτύπον* J. H. H. Schmidt, *περγάμων ὁ κτύπος* Wilamowitz | *κτύπημα* Heimsoeth 1326 *ἐπέκλυσεν* Musgrave 1328 sq. *τρομερὰ* (semel) *μέλεα φέρ' ἐμὸν . . τάλαιναν* Seidler 1329 *ἴχνος ἐπὶ τάλαιναν* Hartung | *ἴχνος ἐπὶ τάλαιναν ἴτ' ἴτε* W. Headlam

1330 *δούλειον* et *βίον* delet Bothe | *ἀμέραι βίᾳ* Musgrave 1331 sq. Talthybio (vel choro) tribuit Seidler 1331 *τάλαιν' ἄπολις* Bothe 1332 post hunc versum lacunam statuit, qua narratio de classe Graecorum pereunte a deo ex machina explicata inciderit, Odofr. Mueller

I

EURIPIDIS

FABULAE

EDIDERUNT

R. PRINZ ET N. WECKLEIN.

VOL. III. PARS VI.

RHESUS.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MCMII.

EURIPIDIS

RHESUS

EDIDIT

N. WECKLEIN.

ACCEDUNT ADDENDA ET CORRIGENDA,
VITA EURIPIDIS, TABULA.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MCMII.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

Notarum index.

B = codex Vaticanus 909 bombycinus saec. XIII, ex quo foliis perditis exciderunt v. 112—151, 551—630, 898—996

*B*² = manus antiqua correctrix

*B*² etiam = apogr. Palat. inter Vaticanos 98 in eis qui ex *B* exciderunt versibus

b = manus recentior

c = codex Laurentianus 31, 10 chartaceus saec. XIV, qui continet v. 1—714

C = codex Havniensis 417 chartaceus saec. XV

L = codex Laurentianus 32, 2 chartaceus saec. XIV

l = manus correctrices

P = codex Palatinus inter Vaticanos 287 membranaceus saec. XIV

p = manus correctrices

Passim commemorantur:

D = fragmenta Ambrosiana libri bombycini saec. XII—XIII edita ab Angelo Mai in prooem. ad fragm. Jl. Mediol. 1819 quae continent v. 856—884

H = codex Harleianus 5743

W = fragmentum codicis Panopolit. saec. IV vel V, quod continet v. 48—90, editum ab U. Wilcken in Sitzungsb. d. preuſs. Acad. d. Wiss. 1887 p. 813 sqq.

r = reliqui libri

* = litera vel accentus erasus

Libros *BCLP* contulerunt R. Prinz et H. Hinck. Codicem *c* mihi contulit H. Vitelli qui ut benevolentiam in hanc Euripidis fabularum editionem collatam cumularet, etiam hanc operam summa liberalitate suscepit. Lectiones codicis *H* ad Argumentum pertinentes ex scholiorum editione ab E. Schwartz confecta recepi, cfr. etiam Philol. VII p. 559 sqq.

VI

1.

ΕΥΡΙΠΙΔΟΥ

Ρ Η Σ Ο Σ

Ὑπόθεσις Ῥήσου.

Ἕκτωρ τοῖς Ἕλλησιν ἐπικοιτῶν ἀκούσας αὐτοὺς δι' ὅλης δείλης πυρὰ καίειν, εὐλαβήθη μὴ φύγωσιν. ἐξοπλίζειν δὲ διεγνωκὼς τὰς δυνάμεις μετενόησεν Αἰνείου συμβουλεύσαντος ἡσυχάζειν, κατάσκοπον δὲ πέμψαντα δι' ἐκείνου τὴν ἀλήθειαν ἱστορῆσαι. Δόλωνα δὲ πρὸς τὴν χρείαν ὑπακούσαντα ἐκπέμπεσθαι ...... τόπον εἰς τὴν παρεμβολὴν ἀφώρισεν αὐτῷ. ἐπιφανέντες δὲ οἱ περὶ τὸν Ὀδυσσέα, Δόλωνα μὲν ἀνῃρηκότες, ἐπὶ δὲ τὴν Ἕκτορος κατηντηκότες σκηνὴν πάλιν ὑπέστρεφον οὐχ εὑρόντες τὸν στρατηγόν. οὓς Ἀθηνᾶ ἐπιφανεῖσα κατέσχεν καὶ τὸν μὲν Ἕκτορα ἐκέλευσε μὴ ζητεῖν, Ῥῆσον δὲ ἀναιρεῖν ἐπέταξε· τὸν γὰρ ἐκ τούτου κίνδυνον μείζονα ἔσεσθαι τοῖς Ἕλλησιν, ἐὰν βιώσῃ. τούτοις δὲ ἐπιφανεὶς Ἀλέξανδρος ἐπίστασθαι πολεμίων παρουσίαν. ἐξαπατηθεὶς δὲ ὑπὸ Ἀθηνᾶς, ὡς δῆθεν ὑπὸ Ἀφροδίτης, ἄπρακτος ὑπέστρεψεν· οἱ δὲ περὶ Διομήδην φονεύσαντες Ῥῆσον ἐχωρίσθησαν. καὶ ἡ συμφορὰ τῶν ἀνῃρημένων καθ' ὅλον ἦλθε τὸ στράτευμα. παραγενομένου δὲ Ἕκτορος, ἵνα αὐτὸς περιγίνηται τῶν πεπραγμένων, τετρωμένος ὁ τοῦ Ῥήσου ἐπιμελητὴς δι' αὐτοῦ φησὶν Ἕκτορος

Argum. om. *c* 1 ὑπόθεσις εὐριπίδου ῥήσου superscr. *P* lin. 2—26 om. *LP* 2 sq. δι' ὅλης δείλης] scripsi, δι ελλης *H*, om. *BC* 3 πυρὰ Nauck, πυρὰν *H*, πῦρ *BC* 7 post ἐκπέμπεσθαι addunt καὶ *B*² *C*, lacunam indicavit Morstadt | τόπον om. *H* 8 καὶ δόλωνα *C* 9 κατηντηκότες σκηνὴν *H*, κοίτην cum spatio vacuo novem literarum *B*, κοίτην ἐλθόντες *C* | ὑπέστρεφον *C*, ἀπέστρεφον *BH* 10 κατέσχεν ἐπιφανεῖσα *H* 12 ἐπέταξε] ἐκέλευσε *C* | post τούτου spatium trium literarum vacuum rel. *B* | ἔσεσθαι μείζονα *H* 13 τούτοις *H*, τούτων *BC*, fort. τούτῳ 13 sq. ἐπίστασθαι *H*, ἐπι cum spatio sex literarum vacuo *B*, ἐπίστασθαί φησι Wilamowitz, fort. ἐπήγγελλε | verba ἐπίστασθαι π. παρουσίαν om. *C* spatio vacuo relicto 14 πολεμίων] Kirchhoff, πολέμου *BH*, πολεμίου Nauck | ἐξηπατηθεὶς *H* 16 ἐχωρίσθησαν] ἐχώρησαν Bothe, ἀνεχώρησαν Nauck, ἀπῆλθον Kontos 18—26 (παραγενομένου — λύπην) om. *C* 18 περιγένηται *H*, πυνθάνηται E. Schwartz, fort. ἔμπειρος γίνηται 19 φησὶν] Kirchhoff, φασιν *H*, om. *B* spatio vacuo relicto

τὸν φόνον γεγενῆσθαι. τοῦ δὲ Ἕκτορος ἀπολογουμένου τὴν ἀλήθειαν αὐτοῖς ἐμήνυσεν ἡ τοῦ Ῥήσου μήτηρ ἡ <Τερψιχόρη> Μοῦσα νεκρὸν κομίζουσα τὸ σῶμα. κατοδυρομένη δὲ καὶ τὸν ἐπιπλακέντα αὐτῇ Στρυμόνα διὰ τὸ τοῦ παιδὸς πένθος καὶ τὸν ἐξ ἐκείνου γεγενημένον Ῥῆσον οὐδ' Ἀχιλλεῖ φησιν ἀδάκρυτον ἔσεσθαι τὴν στρατείαν, τῷ κοινῷ τῶν ἐπιφανῶν θανάτῳ τὴν ἰδίαν παραμυθουμένη λύπην.

Τοῦτο τὸ δρᾶμα ἔνιοι νόθον ὑπενόησαν ὡς οὐκ ὂν Εὐριπίδου· τὸν γὰρ Σοφόκλειον μᾶλλον ὑποφαίνειν χαρακτῆρα. ἐν μέντοι ταῖς διδασκαλίαις ὡς γνήσιον ἀναγέγραπται, καὶ ἡ περὶ τὰ μετάρσια δὲ ἐν αὐτῷ πολυπραγμοσύνη τὸν Εὐριπίδην ὁμολογεῖ. πρόλογοι δὲ διττοὶ φέρονται. ὁ γοῦν Δικαίαρχος ἐκτιθεὶς τὴν ὑπόθεσιν τοῦ Ῥήσου γράφει κατὰ λέξιν οὕτως·

νῦν εὐσέληνον φέγγος ἡ διφρήλατος.

καὶ τ. ἑ.· ἐν ἐνίοις δὲ τῶν ἀντιγράφων ἕτερός τις φέρεται πρόλογος, πεζὸς πάνυ καὶ οὐ πρέπων Εὐριπίδῃ· καὶ τάχα ἄν τινες τῶν ὑποκριτῶν διεσκευακότες εἶεν αὐτόν. ἔχει δὲ οὕτως·

ὦ τοῦ μεγίστου Ζηνὸς ἄλκιμον τέκος
Παλλάς, τί δρῶμεν· οὐκ ἐχρῆν ἡμᾶς ἔτι
μέλλειν Ἀχαιῶν ὠφελεῖν στρατεύματα.
νῦν γὰρ κακῶς πράσσουσιν ἐν μάχῃ δορός,
λόγχῃ βιαίως Ἕκτορος στροβούμενοι.

---

20 τὸν om. *B* 21 post alterum ἡ spatium quattuor vel quinque literarum vacuum rel. *B*, Τερψιχόρη supplevit E. Schwartz 22 κομίζειν *B* | κἀποδυρομένη *B*, fort. κατοδυραμένη 23 sq. fort. πένθος, τοῦ ἐξ ἐκείνου γεγενημένου Ῥήσου | ἀχιλεῖ *B* 25 τὴν στρατείαν om. *B* | τῶν ἐπι om. spatio vacuo rel. *B* 27 praeponitur Aristophanis argumentum cum personarum indice in *LP*, item Aristophanis argumentum ῥῆσος .. ἀνείλετο (cetera desunt) in *C* | ὡς οὐκ ὂν εὐριπίδου *LPH*, εὐριπίδου δὲ μὴ εἶναι *BC* 28 τὸ γὰρ *P* | μᾶλλον om. *C*, literas μᾶλ om. *B*, spatio vacuo relicto | ὑποφαίνειν] Valckenaer, ὑποφαίνει libri, ὑπεμφαίνειν Dindorf 29 διδασκαλείαις *C* 30 μετα***σια *B*, om. *C* 31 δὲ ἐν αὐτῷ διττοὶ *BC* | Δικαίαρχος] Nauck, δικαίαν *BCLP*, om. *H* 32 ἐκτιθεὶς *BC*, ἐπιτιθεὶς *LPH* 34 καὶ om. *C* | τ. ἑ. om. libri, add. Wilamowitz | φέρεται *LPH*, φαίνεται *BC* 35 sq. ἄν τινες τῶν ὑποκριτῶν *LB*, ἀντὶ τῶν ὑποκριτῶν *H*, ἂν τῶν ὑποκριτῶν τινες *C*, ἂν τῶν ὑποκριτῶν cum spatio trium lit. vacuo *B* 37 τέκος om. *B* 38 τί δρῶμεν] Morstadt, παρῶμεν *BCLP*, παρῶμεν παρῶμεν *H* 39 στράτευμα *B* 40 μάχῃ] Valckenaer, μακρῇ (ῇ ex ῶ facto) *BH*, μακρῷ *C*, μακῇ *LP*, fort. τροπῇ (cfr. 82) 41 βιαίως] Hermann, βιαία *BC*, βιαίας *LPH*

ἐμοὶ γὰρ οὐδέν ἐστιν ἄλγιον βάρος,
ἐξ οὗ γ' ἔκρινε Κύπριν Ἀλέξανδρος θεὰν
κάλλει προήκειν τῆς ἐμῆς εὐμορφίας
καὶ σῆς, Ἀθάνα, φιλτάτης ἐμοὶ θεῶν,
εἰ μὴ κατασκαφεῖσαν ὄψομαι πόλιν
Πριάμου, βίᾳ πρόρριζον ἐκτετριμμένην.

Ἀριστοφάνους ὑπόθεσις.

Ῥῆσος παῖς μὲν ἦν Στρυμόνος τοῦ ποταμοῦ καὶ Τερψιχόρης, Μουσῶν μιᾶς, Θρᾳκῶν δὲ ἡγούμενος εἰς Ἴλιον παραγίνεται νυκτός, στρατοπεδευομένων τῶν Τρώων παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων. τοῦτον Ὀδυσσεὺς καὶ Διομήδης κατάσκοποι ὄντες ἀναιροῦσιν, Ἀθηνᾶς ὑποθεμένης· μέγαν γὰρ ἔσεσθαι κίνδυνον ἐκ τούτου. Τερψιχόρη δὲ ἐπιφανεῖσα τὸ τοῦ παιδὸς σῶμα ἀνείλετο. ὡς ἐν παρόδῳ δὲ διαλαμβάνει καὶ περὶ τοῦ φόνου τοῦ Δόλωνος.

ἡ σκηνὴ τοῦ δράματος ἐν Τροίᾳ. ὁ χορὸς συνέστηκεν ἐκ φυλάκων Τρωικῶν, οἳ καὶ προλογίζουσι. περιέχει δὲ τὴν νυκτεγερσίαν.

---

42 *γὰρ οὐκ ἔνεστι BC* | *ἄλγιον βάρος LP, ἀλγίβαρος H, βάρβαρος BC* 43 *ἐξ οὗ γ' LP, ἐξ ὅτ' BC, ἐξ ὧτ' H* | *ἔκρινα LP* | *ἀλεξάνδρου LPH, ἀλέξαι BC* 44 *προήκειν*] Valckenaer, *προσήκειν* libri 45 *Ἀθάνα*] Valckenaer, *ἀθηνᾶ* libri | *φιλτάτης*] Valckenaer, *φίλτατ' LPHC, φίλατ' B* 47 *τὴν πριάμου C* | *βίᾳ* om. *BC* 48 *ἀριστοφάνους ὑπόθεσις B, ὑπώθεσις ῥήσου H*, om. *CLP* 49 sq. *παῖς* post *μιᾶς* collocant *BC* | *καὶ* om. *H* | *μιᾶς τῶν μουσῶν C* 51 *στρατοπεδευομένων*] scripsi, *στρατευομένων* libri | *τῶν* om. *BCH* 53 *κατασκοπεύοντες* Nauck | *αὐτοῖς ὑποθεμένης BCH* 53 sq. *μέγας γὰρ ἔμελλεν ἔσεσθαι τοῖς ἕλλησι κίνδυνος LP, μέγαν δὲ ἔσεσθαι τοῖς ἕλλησιν κίνδυνον H* 55 sq. *ὡς .. Δόλωνος* praeter *C* om. *BH*

Τὰ τοῦ δράματος πρόσωπα·

χορὸς φυλάκων.
Ἕκτωρ.
Αἰνείας.
Δόλων.
ἄγγελος ποιμήν.
Ῥῆσος.
Ὀδυσσεύς.
Διομήδης.
Ἀθηνᾶ.
Πάρις.
Ῥήσου ἡνίοχος.
Μοῦσα.

Indicem personarum qualem dedimus exhibent *LP*, in *BC* ordo hic est: *χορὸς φυλάκων. ὀδυσσεύς. ἕκτωρ. ἄγγελος ποιμήν. αἰνείας. δόλων. διομήδης. ῥῆσος. ἀθηνᾶ. ῥήσου ἡνίοχος. πάρις. μοῦσα.* in *c* hic: *χορὸς φυλάκων. ἕκτωρ. αἰνείας. δόλων. ἄγγελος ποιμήν. πάρις. ῥήσου ἡνίοχος. ῥῆσος. ὀδυσσεύς. διομήδης. ἀθηνὰ. μοῦσα. ∼ ὁ χορὸς προλογίζει: ∼*

pro *Πάρις* melius scribitur *Ἀλέξανδρος*, cfr. 627 et 642.

ΧΟΡΟΣ.

Βᾶθι πρὸς εὐνὰς τὰς Ἑκτορέους
τις ὑπασπιστῶν ἄγρυπνος βασιλέως,
ἢ τευχοφόρων
δέξαιτο νέων κληδόνα μύθων,
οἳ τετράμοιρον νυκτὸς φρουρὰν
πάσης στρατιᾶς προκάθηνται.
ὄρθου κεφαλὴν πῆχυν ἐρείσας,
λῦσον βλεφάρων γοργωπὸν ἕδραν,
λεῖπε χαμεύνας φυλλοστρώτους,
Ἕκτορ· καιρὸς γὰρ ἀκοῦσαι.

ΕΚΤΩΡ.

τίς ὅδ'; ἦ φίλιος φθόγγος· τίς ἀνήρ;
τί τὸ σῆμα; θρόει·
τίνες ἐκ νυκτῶν τὰς ἡμετέρας
κοίτας πλάθουσ'; ἐνέπειν χρή.
ΧΟ. *φύλακες στρατιᾶς.* *ΕΚ. τί φέρῃ θορύβῳ;*
ΧΟ. *θάρσει.* *ΕΚ. θαρσῶ.*
μῶν τις λόχος ἐκ νυκτῶν; [ΧΟ. οὐκέτι. ΕΚ.] τί σὺ γὰρ

ὑπόθεσις ῥήσου etiam fabulae superscr. minio *B*, *εὐριπίδου ῥῆσος. προλογίζει χορὸς φυλάκων* minio *C*, *εὐριπίδου ῥῆσος L*   2 *τίς* libri   *ὑπ' ἀσπίδων c*   3 *ἢ*] *εἰ* ed. Hervag. altera, fort. *ἐκ*, cfr. Med. 924   4 *κλυδόνα C*   5 *φρουρὰν LP*, *φυλακὴν BCc*   6 post *στρατιᾶς* addunt *πόλεως τροίας LP*   7 om. *LP*, sed *γρ. ὤρθου κεφαλὴν πήχυν ἐρείσας* in marg. habet *L*, cfr. Christ. pat. 1304   9 *φυλοστρώτους Bc*   10 *ἕκτορ̅* (i. e. *ἕκτορ* cum indice nominis proprii) *c*, *ἕκτορα L*   11 *τίς ὅδ' ἢ* (*ἡ c*, *ἦ* Barnes) *φίλιος φθόγγος τίς ἀνὴρ BCc*, *τίς ἀνὴρ* (*ἀνὴρ* erasit et *ὅδ'* scr. *l*) *ὦ φίλος* (*φίλος* erasit et *φίλος εἶ* scr. *l*): *φθέγγ' ὅστις ἀνὴρ LP*   12 *θροεῖ cLP*   13 *τὰς ἁμέρας c*   14 *ἐννέπειν BCLP*, sed in *L* alterum *ν* erasum   15 fort. *φέρεις*   17 *χόρ.* ante *μῶν* habet *P*, lineolam *L* | *λόχος BC*, *δόλος c* et priore *ο* in ras. scripto *L*, *δοῦλος* mut. in *δόλος P* | *ΧΟ. οὐκέτι. τί σὺ γὰρ BC*, *ΧΟ. οὐκέτι ΕΚ. τί σὺ γὰρ c*, *ΕΚ. οὐκ ἔστι. ΧΟ. τί σὺ γὰρ LP*, *ΕΚ. οὐκ ἔστι σὺ γὰρ l*: delevit *οὐκέτι* Dindorf, qui quidem nunc anapaestum excidisse putat

φυλακὰς προλιπὼν κινεῖς στρατιάν,
εἰ μή τιν' ἔχων νυκτηγορίαν;
οὐκ οἶσθα δορὸς πέλας Ἀργείου
νυχίαν ἡμᾶς
κοίτην πανόπλους κατέχοντας;

ΧΟ. ὁπλίζου χέρα, συμμάχων, stroph.
Ἕκτορ, βᾶθι πρὸς εὐνάς,
ὄτρυνον ἔγχος ἀείρειν, ἀφύπνισον,
πέμπε φίλους ἰέναι ποτὶ σὸν λόχον,
ἁρμόσατε ψαλίοις ἵππους.
τίς εἶσ' ἐπὶ Πανθοΐδαν,
ἢ τὸν Εὐρώπας, Λυκίων ἀγὸν ἀνδρῶν;
ποῦ σφαγίων ἔφοροι;
ποῦ δὲ γυμνήτων μόναρχοι;
τοξοφόροι τε Φρυγῶν
ζεύγνυτε κερόδετα τόξα νευραῖς.

ΕΚ. τὰ μὲν ἀγγέλλεις δείματ' ἀκούειν,
τὰ δὲ θαρσύνεις, κοὐδὲν καθαρῶς·
ἀλλ' ἦ Κρονίου Πανὸς τρομερᾷ
μάστιγι φοβῇ; [φυλακὰς δὲ λιπὼν
κινεῖς στρατιάν.] τί θροεῖς; τί σε φῶ
νέον ἀγγέλλειν; πολλὰ γὰρ εἰπὼν
οὐδὲν τρανῶς ἀπέδειξας.

ΧΟ. πύρ' αἴθει στρατὸς Ἀργόλας, antistr.
Ἕκτορ, πᾶσαν ἀν' ὄρφναν,
διιπετῆ δὲ νεῶν πυρσοῖς σταθμά.

---

22 κοίτην] Dindorf, κοίταν libri 23 ΧΟ. om. *BCcLP*, add. *l* | συμμάχων] Hermann, σύμμαχον libri 24 ἕκτωρ *LP* 25 ὄτρυν' *LP* | ἀμφύπνισον *P* 27 ψαλίους *c* 28 Πανθοΐδαν] Bothe, πανθοίδαν libri 29 εὐρώτας *B* εὐρώπας *b* 31 μόραρχοι Musgrave 32 τε] δὲ *c* 33 ζεύγνυται *P* | τόξα γε *lP* | νεβραῖς *c* 34 ἀγγέλεις *L* ἀγγέλλεις *l* 36 ἦ] Bothe, ἢ libri 37 sq. verba φυλακὰς .. στρατιάν delevit Dobree, cfr. 18 39 post νέον litera δ' ut videtur erasa in *L* | ἀγγέλειν *B* 41 πύρ' αἴθει] Hartung, πῦρ' αἴθει *c*, πυραίθει *r*, in *B* adscriptum scholium: τὸ χ ὅτι συνθέτως ἀναγινώσκεται καὶ ὅτι οὐκ ἔστιν Εὐριπίδου ὁ στίχος | ἀργόλας *c*, ἀργόλαος *BC*, ἀργέλας *LP* 43 νεῶν *c*, ναῶν *BCP* et α ex η correcto *L* | πυρσοῖς *BCc*, πυρσοῖ *LP*, φάεσι Dindorf, fort. λαμπάσι, cfr. schol. αἱ τῶν νεῶν ἐπαύλεις συνεχεῖς ταῖς λαμπάσιν κτἑ.

πᾶς δ' Ἀγαμεμνονίαν προσέβα στρατὸς
ἐννύχιος θορύβῳ σκηνάν,
νέαν τιν' ἐφιέμενοι
βάξιν. οὐ γάρ πω πάρος ὧδ' ἐφοβήθη
ναυσιπόρος στρατιά.
σοὶ δ', ὑποπτεύων τὸ μέλλον,
ἤλυθον ἄγγελος, ὡς
μήποτέ τιν' ἐς ἐμὲ μέμψιν εἴπῃς.

ΕΚ. ἐς καιρὸν ἥκεις, καίπερ ἀγγέλλων φόβον·
ἄνδρες γὰρ ἐκ γῆς τῆσδε νυκτέρῳ πλάτῃ
λαθόντες ὄμμα τοὐμὸν ἀρεῖσθαι φυγὴν
μέλλουσι· σαίνει μ' ἔννυχος φρυκτωρία.
ὦ δαῖμον, ὅστις μ' εὐτυχοῦντ' ἐνόσφισας
θοίνης λέοντα, πρὶν τὸν Ἀργείων στρατὸν
σύρδην ἅπαντα τῷδ' ἀναλῶσαι δορί.
εἰ γὰρ φαεννοὶ μὴ ξυνέσχον ἡλίου
λαμπτῆρες, οὔτἂν ἔσχον εὐτυχοῦν δόρυ,
πρὶν ναῦς πυρῶσαι καὶ διὰ σκηνῶν μολεῖν
κτείνων Ἀχαιοὺς τῇδε πολυφόνῳ χερί.
κἀγὼ μὲν ἦ πρόθυμος ἱέναι δόρυ
ἐν νυκτὶ χρῆσθαί τ' εὐτυχεῖ ῥύμῃ θεοῦ·
ἀλλ' οἱ σοφοί με καὶ τὸ θεῖον εἰδότες
μάντεις ἔπεισαν ἡμέρας μεῖναι φάος

---

44 ἀγαμεμνονείαν *LP*, fort. Ἀγαμεμνόνιον | προσέβα *cLP*, προσέβη *BC* 45 σκηνάν] θηρσκὴν scripto αν super ὴν *c* 48 στρατιά in στρατὸς mut. *l* 49 σὺ δ' *P*, σοὶ γὰρ in ras. *l* (i. e. σὺ δ' *L*) | post ὑποπτεύων supra v. scr. γε *l* 50 post ὡς inseruit ἂν *l* 51 μήποτέ τιν' ἐς ἐμὲ μέμψιν εἴπῃς] Lindemann, μήποτέ τινα μέμψιν (μέψιν *P*) εἰς ἔμ' (ἐς ἡμᾶς ex εἰς ἔμ' in ras. corr. *l*) εἴπῃς libri (etiam *W*), μήποτ' ἐς ἐμέ τινα μέμψιν εἴπῃς Bothe 52 ἥκεις] *W* et Christ. pat. 1870. 2299. 2390, ἦλθες *BCcLP* | ἀγγέλων *L* 53 ἄνδρες] Elmsley, ἄνδρες libri 54 ἀρεῖσθαι] scripsi, αιρεισθαι *W*, αἵρεσθαι vel αἴρεσθαι ceteri libri | φυγὴν] H. Stephanus, φυγῇ libri 55 σαίνει] σημαίνει *c* 57 ἀργεῖον *cP* 58 σύρσην *BC* 59 οἱ *P* εἰ *p* | ξυνέσχον *BCcW* et Christ. pat. 2338, συνέσχον *LP*, fort. ἐξέλειπον („συνέσχον corruptum videtur aberrante librarii oculo ad ἔσχον versus sequentis“ Kirchhoff) 60 ουταν *W*, οὐκ ἂν *BCcLP* 61 πωρωσαι corr. in πυρωσαι *W* 63 ἦ *W*, ἦν ceteri libri 64 εὐτυχεῖν *c* 65 με *WP* et οι superscr. *L*, μοι *BCc* | ἰδόντες *B* 66 ἔπεισαν *WLP*, ἔφησαν *Bc*, ἔφασαν *C* | εἶναι *LP*

κἄπειτ' Ἀχαιῶν μηδέν' ἐν χέρσῳ λιπεῖν.
οἳ δ' οὐ μένουσι τῶν ἐμῶν θυοσκόων
βουλάς· ἐν ὄρφνῃ δραπέτης μέγα σθένει.
ἀλλ' ὡς τάχιστα χρὴ παραγγέλλειν στρατῷ
τεύχη πρόχειρα λαμβάνειν λῆξαί θ' ὕπνου,
ὡς ἄν τις αὐτῶν καὶ νεὼς θρῴσκων ἔπι
νῶτον χαραχθεὶς κλίμακας ῥάνῃ φόνῳ,
οἳ δ' ἐν βρόχοισι δέσμιοι λελημμένοι
Φρυγῶν ἀρούρας ἐκμάθωσι γαπονεῖν.

ΧΟ. *Ἕκτορ, ταχύνεις πρὶν μαθεῖν τὸ δρώμενον·*
ἅνδρες γὰρ εἰ φεύγουσιν οὐκ ἴσμεν τορῶς.
ΕΚ. *τίς γὰρ πύρ' αἴθειν πρόφασις Ἀργείων στρατόν;*
ΧΟ. *οὐκ οἶδ'· ὕποπτον δ' ἐστὶ κάρτ' ἐμῇ φρενί.*
ΕΚ. *πάντ' ἂν φοβηθεὶς ἴσθι, δειμαίνων τόδε.*
ΧΟ. *οὔπω πρὶν ἧψαν πολέμιοι τοσόνδε φῶς.*
ΕΚ. *οὐδ' ὧδέ γ' αἰσχρῶς ἔπεσον ἐν τροπῇ δορός.*
ΧΟ. *σὺ ταῦτ' ἔπραξας· καὶ τὰ λοιπὰ νῦν σκόπει.*
ΕΚ. *ἁπλοῦς ἐπ' ἐχθροῖς μῦθος ὁπλίζειν χέρα.*
ΧΟ. *καὶ μὴν ὅδ' Αἰνέας καὶ μάλα σπουδῇ ποδὸς*
στείχει, νέον τι πρᾶγμ' ἔχων φίλοις φράσαι.

ΑΙΝΕΙΑΣ.

Ἕκτορ, τί χρῆμα νύκτεροι κατὰ στρατὸν
τὰς σὰς πρὸς εὐνὰς φύλακες ἐλθόντες φόβῳ
νυκτηγοροῦσι καὶ κεκίνηται στρατός;

---

67 *μηδὲν Bc* 68 *θυοσκόπων LP* 69 *ὄρφνει B* | *δραπέτεις C* 70 *παραγγέλειν B* 72 *νεὼς WLP, νεῶν BCc* | *θρώσκων* libri | *ἔπι*] *εστι W* 73 *νότω P νῶτον p* | *ῥάνοι c* 74 *δεσμίοις c* | *λελημμένοι c, λελημένοι W, λελημμένος* vel *λελημένος* Christ. pat. 2351, *λελησμένοι BCLP, κεκλημένοι* Blaydes, cfr. Andr. 502 75 *γαπονεῖν c* et *W* qui in marg. a m. 2 *γε* adscriptum habet ad *γηπονεῖν* ut videtur referendum, *γᾶ πονεῖν BC, γηπονεῖν LP* 76 *πορωμενον* corr a m. 2 in *το δρωμενον W* 77 *ἅνδρες*] Matthiae, *ἄνδρες* libri | *φευγωσιν* corr. in *φευγουσιν* et *τωρως W* 78 *πύρ' αἴθειν*] *πῦρ αἴθειν B, πυραίθειν CcLP*, in *L* superscr. schol. *πυρὰ αἴθειν* | *στρατῷ* Morstadt 80 *φοβηθῇς C* 82 *ὧδ' αἰσχρῶς B* 83 fort. *σὺ ταῦτα πράξας καὶ* 84 *μύθοις W* | *χέρα BCc*, cfr. Christ. pat. 2373, *χέρας LP* 85 *μὴν οὐδ' B* | *αἰνείας LP* | *σποδῇ P* 86 *ἔχον LP, ἔχων p* | *φίλοις*] *ἴσως* Christ. pat. 99 (*ἔχων ἴσως*) et 1135 (*ἴσως ἔχων*), recipiendum videtur *ἴσως* 89 *νυκτιγοροῦσι C, ⟨νυκτ⟩ηγορευουσι*, sed expunctis literis *ου W*

ΕΚ. Αἰνέα, πύκαζε τεύχεσιν δέμας σέθεν.
ΑΙ. τί δ' ἔστι; μῶν τις πολεμίων ἀγγέλλεται
λόχος κρυφαῖος ἑστάναι κατ' εὐφρόνην;
ΕΚ. φεύγουσιν ἄνδρες κἀπιβαίνουσιν νεῶν.
ΑΙ. τί τοῦδ' ἂν εἴποις ἀσφαλὲς τεκμήριον;
ΕΚ. αἴθουσι πᾶσαν νύκτα λαμπάδας πυρός·
καί μοι δοκοῦσιν οὐ μενεῖν ἐς αὔριον,
ἀλλ' ἐκκέαντες πύρσ' ἐπ' εὐσέλμων νεῶν
φυγῇ πρὸς οἴκους τῆσδ' ἀφορμήσειν χθονός.
ΑΙ. σὺ δ' ὡς τί δράσων πρὸς τάδ' ὁπλίζῃ χέρας;
ΕΚ. φεύγοντας αὐτοὺς κἀπιθρῴσκοντας νεῶν
λόγχῃ καθέξω κἀπικείσομαι βαρύς·
αἰσχρὸν γὰρ ἡμῖν καὶ πρὸς αἰσχύνῃ κακόν,
θεοῦ διδόντος πολεμίους ἄνευ μάχης
φεύγειν ἐᾶσαι πολλὰ δράσαντας κακά.
ΑΙ. εἴθ' ἦσθ' ἀνὴρ εὔβουλος ὡς δραστήριος.
ἀλλ' οὐ γὰρ αὐτὸς πάντ' ἐπίστασθαι βροτῶν
πέφυκεν· ἄλλῳ δ' ἄλλο πρόσκειται γέρας,
σὲ μὲν μάχεσθαι, τοὺς δὲ βουλεύειν καλῶς.
ὅστις πυρὸς λαμπτῆρας ἐξήρθης κλύων
φλέγειν Ἀχαιούς, καὶ στρατὸν μέλλεις ἄγειν
τάφρους ὑπερβὰς νυκτὸς ἐν καταστάσει.

---

90 *πύκαζε WLP* et Christ. pat. 91, *πυκάζου BCc* | *τεύχεσι BCcLPW* | *σέθεν BCcW, τὸ σὸν LP* 91 *ἀγγέλεται B* 92 *δόλος P λόχος* superscr. *p*, *δόλος BCcL, λόχος* Christ. pat. 94 93 *ἄνδρες*] Matthiae, *ἄνδρες* libri | *κἀπιβαίνουσι BCcLW, κἀπιβαίνουσιν lP* 94 sq. personas om., sed puncta habet *B* 94 *τοῦδ' LP, τῶνδ' BCc*, cfr. Christ. pat. 2193 *τί τ' ἄρ' ἐναργὲς τῶνδ'* (alii libri *τοῦδ'*) *ἐρεῖς τεκμήριον*, 2345 *τί γὰρ ἐναργὲς τοῦδ' ἐρεῖς τεκμήριον*, unde conicias *τί τοῦδ' ἐναργὲς ἐξερεῖς τεκμ.* 95 *παν(?)ς νυκτ(?)ς (πάντες νύκτας?) W* 96 *κἀμοὶ c* | *μοι P*, sed *οι* in ras. scr. *p* | *μενεῖν*] *A.* Portus, *μένειν* libri | *ἐσαύριον BCcL, ἐπαύριον P* (*σ* super *π* scr. *p*) 97 *ἐκκαίαντες B, ἐκκήαντες C, ἐκκέαντες cP* et *έ* in ras. a m. 3 scr. *L* | *πῦρ B* 99 sq. personas om. *B* 99 *ὁπλίζεις LP, ς* delevit *l* | *χέρα* Aldina 100 *κἀπιθρώσκοντας* libri 101 *κἀπικήσομαι B* 105 *εἴθ'*] *εἴσθ' P* | *δραστήριος*] F. Gu. Schmidt, *δράσαι χερί* libri, cfr. Christ. pat. 2367 *εἴθ' ἦσθ' ἀνὴρ πρόβουλος ὡς δράσαι χερί* 106 *ὡὐτὸς BC, αὐτὸς cP* et corr. ex *ὡυτὸς L, ὡυτὸς p* 107 *καλὸν* ut videtur habet ante *γέρας c* 108 *σοὶ μὲν . . τοῖσδε* Christ. pat. 2370 | versum, quem exhibet Stob. fl. 54, 9, delet Herwerden 110 *φλέγειν*] Musgrave, *φεύγειν* libri, fort. *αἴθειν*

καίτοι περάσας κοῖλον αὐλώνων βάθος,
εἰ μὴ κυρήσεις πολεμίους ἀπὸ χθονὸς
φεύγοντας, ἀλλὰ σὸν βλέποντας ἐς δόρυ,
νικώμενος μὲν οὔτι μὴ μόλῃς πάλιν·
πῶς γὰρ περάσει σκόλοπας ἐν τροπῇ στρατός;
πῶς δ' αὖ γεφύρας διαβαλοῦσ' ἱππηλάται,
ἢν ἆρα μὴ θραύσαντες ἀντύγων χνόας;
νικῶν δ' ἔφεδρον παῖδ' ἔχεις τὸν Πηλέως,
ὅς σ' οὐκ ἐάσει ναυσὶν ἐμβαλεῖν φλόγα,
οὐδ' ὧδ' Ἀχαιούς, ὡς δοκεῖς, ἀναρπάσαι.
αἴθων γὰρ ἀνὴρ καὶ πεπύργωται θράσει.
ἀλλὰ στρατὸν μὲν ἥσυχον παρ' ἀσπίδας
εὕδειν ἐῶμεν ἐκ κόπων ἀρειφάτων,
κατάσκοπον δὲ πολεμίων, ὃς ἂν θέλῃ,
πέμπειν δοκεῖ μοι· κἂν μὲν ἄρωνται φυγήν,
στείχοντες ἐμπέσωμεν Ἀργείων στρατῷ·
εἰ δ' ἐς δόλον τιν' ἥδ' ἄγει φρυκτωρία,
μαθόντες ἐχθρῶν μηχανὰς κατασκόπου
βουλευσόμεσθα· τήνδ' ἔχω γνώμην, ἄναξ.

ΧΟ. τάδε δοκεῖ, τάδε μεταθέμενος νόει. stroph.
σφαλερὰ δ' οὐ φιλῶ στρατηγῶν κράτη.
τί γὰρ ἄμεινον ἢ
ταχυβάταν νεῶν κατόπταν μολεῖν
πέλας ὅ τί ποτ' ἄρα δαΐοις
πυρὰ κατ' ἀντίπρῳρα ναυστάθμων δαίεται;

112—151 om. *B* 113 κυρήσῃς *c* 115 οὔτι μὴ . . πάλιν] Cobet (πάλιν Reiske), τήνδε μὴ (τήνδ' ἐμὴ *c*) . . πόλιν B^2Cc, τήνδ' οὐ μὴ . . πόλιν *LP*, τήνδε μὴ οὐ . . πόλιν Schaefer 116 περάσει *CP* et σ super ει minio scripto B^2 et mut. in περάσῃ *c*, περάσεις *L* | στρατός B^2Cc, δορός *LP* 118 ἆρα libri | ἀντύγων] ἀξόνων Blaydes | χνόας ex χρόας corr. *c* 120 σ' om. *P* 121 διαρπάσαι (ἀν superscr. alia m.) B^2 122 ἀνὴρ libri | πεπύρωται *c* | θράσει *c*, χερί *BCLP* 124 κόπων B^2LP, πόνων *Cc* | ἀρειφάντων *P* 126 ἄρωνται] scripsi, αἴρωνται libri | φυγήν] H. Stephanus, φυγῇ vel φυγῇ libri 127 στείχοντες] fort. σπεύδοντες 128 εἰ δ' ὡς *LP*, εἰ δ' εἰς B^2C et in ras. *p*, fort. εἰ δ' οὖν 129 κατασκόπους B^2Cc 130 ἔχω προθυμίαν (om. ἄναξ) *c*, cfr. Christ. pat. 1916 ἔχω γνώμην ἐγώ 131 μεταθέμενος *C*, μετατιθέμενος B^2cLP 134 κατόπταν *c*, κατόπτην *CLP* (in B^2 vox evanuit) | μολεῖν] fort. σκοπεῖν 135 ὅθι B^2Cc | ἂρ *L* et ut vid. *P*, ἂν *p* 136 ἀντίπρῳρα B^2Ccl, ἀντίπρωνα *LP*

ΕΚ. νικᾶτ', ἐπειδὴ πᾶσιν ἁνδάνει τάδε.
στείχων δὲ κοίμα συμμάχους· τάχ' ἂν στρατὸς
κινοῖτ' ἀκούσας νυκτέρους ἐκκλησίας.
ἐγὼ δὲ πέμψω πολεμίων κατάσκοπον.
κἂν μέν τιν' ἐχθρῶν μηχανὴν πυθώμεθα,
σὺ πάντ' ἀκούσῃ καὶ παρὼν εἴσῃ λόγον·
ἐὰν δ' ἀπάρωσ' ἐς φυγὴν ὁρμώμενοι,
σάλπιγγος αὐδὴν προσδοκῶν καραδόκει,
ὡς οὐ μενοῦντά μ'· ἀλλὰ προσμίξω νεῶν
ὁλκοῖσι νυκτὸς τῆσδ' ἐπ' Ἀργείων στρατῷ.
ΑΙ. πέμφ' ὡς τάχιστα· νῦν γὰρ ἀσφαλῶς φρονεῖς.
σὺν σοὶ δ' ἔμ' ὄψει καρτεροῦνθ', ὅταν δέῃ.
ΕΚ. τίς δῆτα Τρώων οἳ πάρεισιν ἐν λόχῳ
θέλει κατόπτης ναῦς ἐπ' Ἀργείων μολεῖν;
τίς ἂν γένοιτο τῆσδε γῆς εὐεργέτης;
τίς φησιν; οὔτοι πάντ' ἐγὼ δυνήσομαι
πόλει πατρῴᾳ συμμάχοις θ' ὑπηρετεῖν.

ΔΟΛΩΝ.

ἐγὼ πρὸ γαίας τόνδε κίνδυνον θέλω
ῥίψας κατόπτης ναῦς ἐπ' Ἀργείων μολεῖν,
καὶ πάντ' Ἀχαιῶν ἐκμαθὼν βουλεύματα
ἥξω· 'πὶ τούτοις τόνδ' ὑφίσταμαι πόνον.
ΕΚ. ἐπώνυμος μὲν κάρτα καὶ φιλόπτολις
Δόλων· πατρὸς δὲ καὶ πρὶν εὐκλεᾶ δόμον
νῦν δὶς τόσῳ τέθεικας εὐκλεέστερον.
ΔΟ. οὐκοῦν πονεῖν μὲν χρή, πονοῦντα δ' ἄξιον

137 ἀνδάνει *c* 138 κοίμα] Pierson (cfr. 662), κόσμει *cLP*, σκόπει B^2C 139 νυκτέρας *c* 141 πυθώμεθα corr. ex πευθώμεθα ut vid. *c* 142 σύμπαντ' *c* | λόγον *LP*, λόγους B^2Cc 143 ἀπάρωσ'] scripsi, ἀπαίρωσ' libri 145 sq. fort. ἀλλ' ἐπ' Ἀργείων νεῶν ὁλκοῖσι νυκτὸς τῆσδε προσμίξω στρατῷ 146 ὁλκοῖσιν *c* | στρατόν *LP* 147 πέμπ' *L*, sed π in ras. scr. *l*, πέμφ' *P*, sed φ in ras. scr. *p* 148 δ' ἔμ'] Bothe, δέ μ' libri 149 λόχῳ *LP*, λόγῳ B^2Cc 150 θέλει] Christ. pat. 1934 libri alii τολμᾷ alii θέλει exhibent, unde hic τολμᾷ commendat Doering 151 γένοι *P* γένοιτο *p* 152 τί *P* τίς *p* | οὔτι *CLP* 154 πρὸ ex πρὸς corr. *c* 155 ναῦς superscr. ν *C* 159 δόλων inter ο et λ eraso ν *P* 160 τόσῳ τέθεικας] Elmsley, τόσως ἔθηκας *BCLP*, τόσῳ σ' ἔθηκας *c*, τόσῳ τέθηκας Nauck 161 μὲν *BC*, με *cLP* et Christ. pat. 1964

μισθὸν φέρεσθαι. παντὶ γὰρ προσκείμενον
κέρδος πρὸς ἔργῳ τὴν χάριν τίκτει διπλῆν.
ΕΚ. ναί, καὶ δίκαια ταῦτα κοὐκ ἄλλως λέγω.
τάξαι δὲ μισθὸν πλὴν ἐμῆς τυραννίδος.
ΔΟ. οὐ σῆς ἐρῶμεν πολυόχου τυραννίδος.
ΕΚ. σὺ δ' ἀλλὰ γήμας Πριαμιδῶν γαμβρὸς γενοῦ.
ΔΟ. οὐδ' ἐξ ἐμαυτοῦ μειζόνων γαμεῖν θέλω.
ΕΚ. χρυσὸς πάρεστιν, εἰ τόδ' αἰτήσεις γέρας.
ΔΟ. ἀλλ' ἔστ' ἐν οἴκοις· οὐ βίου σπανίζομεν.
ΕΚ. τί δῆτα χρῄζεις ὧν κέκευθεν Ἴλιος;
ΔΟ. ἑλὼν Ἀχαιοὺς δῶρά μοι ξυναίνεσον.
ΕΚ. δώσω· σὺ δ' αἴτει πλὴν στρατηλάτας νεῶν.
ΔΟ. κτεῖν', οὔ σ' ἀπαιτῶ Μενέλεω σχέσθαι χέρα.
ΕΚ. οὐ μὴν τὸν Ἰλέως παῖδά μ' ἐξαιτῇ λαβεῖν;
ΔΟ. κακαὶ γεωργεῖν χεῖρες εὖ τεθραμμέναι.
ΕΚ. τίν' οὖν Ἀχαιῶν ζῶντ' ἀποινᾶσθαι θέλεις;
ΔΟ. καὶ πρόσθεν εἶπον· ἔστι χρυσὸς ἐν δόμοις.
ΕΚ. καὶ μὴν λαφύρων γ' αὐτὸς αἱρήσῃ παρών.
ΔΟ. θεοῖσιν αὐτὰ πασσάλευε πρὸς δόμοις.
ΕΚ. τί δῆτα μεῖζον τῶνδέ μ' αἰτήσεις γέρας;
ΔΟ. ἵππους Ἀχιλλέως· χρὴ δ' ἐπ' ἀξίοις πονεῖν
ψυχὴν προβάλλοντ' ἐν κύβοισι δαίμονος.
ΕΚ. καὶ μὴν ἐρῶντί γ' ἀντερᾷς ἵππων ἐμοί·
ἐξ ἀφθίτων γὰρ ἄφθιτοι πεφυκότες
τὸν Πηλέως φέρουσι θούριον γόνον·
δίδωσι δ' αὐτοὺς πωλοδαμνήσας ἄναξ

162 sq. *μισθὸν προαθρεῖν .. προκείμενον ἆθλον πρὸς ἔργῳ* Christ. pat. 1965 sq. 164 *ΕΚ.* om. *P* 166 *πολυόχου LP, πολιούχου BC, πολιόχου c* 168 *οὐδ' BC, οὐκ cLP* 169 *πάρεστιν BC, γάρ ἐστιν LP* | *αἰτήσεις cLP, αἰτήσῃ BC* 170 *οὐ σπανίζομεν βίου c* 171 *ἴλιον c* 172 *ἀχαιοὺς* ex *ἀχαιῶν* corr. *C* 174 *χέρας LP* 175 fort. *ἦ μὴν* | *τὸν ἰλέως B, τὸ νηλέως* mut. in *τὸν νηλέως C, τὸν ὀιλέως LP, τὸν ἰλεόν γε c* | *παῖδά μ'*] *παῖδ' c* | *ἐξαιτεῖς cLP* 177 *ζῶντ' ἀποίνασθαι c* (*ἀποινᾶσθαι* schol.), *ζῶντα ποινᾶσθαι BCP* et cum schol. in marg. *ἀντὶ τοῦ τιμωρεῖσθαι καὶ ἀπεμπολεῖν L* 179 *γ' c*, om. *BCLP* | *παρών*] *λαβών c* 180 *δόμους* (*οις* suprascr.) *L, δόμους r* 181 *τόνδε P τῶνδε p* | *αἰτήσεις LP, αἰτήσει B, αἰτήσῃ Cc, ἀπαιτήσεις* Christ. pat. 1972 182 *ἀχιλέως B* | *πονεῖν*] *μολεῖν c* 183 *διαίμονος B* 184 *γ' BCc, τ' LP* 187 *αὐτὰς BC, αὐτὸς* Dobree | *πωλωδαμνήσας C*

Πηλεῖ Ποσειδῶν, ὡς λέγουσι, πόντιος.
ἀλλ' οὔ σ' ἐπάρας ψεύσομαι· δώσω δέ σοι
κάλλιστον οἴκοις κτῆμ' Ἀχιλλέως ὄχον.
ΔΟ. αἰνῶ· λαβὼν δέ φημι κάλλιστον Φρυγῶν
δῶρον δέχεσθαι τῆς ἐμῆς εὐσπλαγχνίας.
σὲ δ' οὐ φθονεῖν χρή· μυρί' ἔστιν ἄλλα σοι,
ἐφ' οἷσι τέρψῃ τῆσδ' ἀριστεύων χθονός.

ΧΟ. μέγας ἀγών, μεγάλα δ' ἐπινοεῖς ἑλεῖν· antistr.
μακάριός γε μὴν κυρήσας ἔσῃ.
πόνος ὅδ' εὐκλεής·
μέγα δὲ κοιράνοισι γαμβρὸν πέλειν.
τὰ θεόθεν ἐπιδέτω Δίκα,
τὰ δὲ παρ' ἀνδράσιν τέλειά σοι φαίνεται.

ΔΟ. στείχοιμ' ἄν· ἐλθὼν δ' ἐς δόμους ἐφέστιος
σκευῇ πρεπόντως σῶμ' ἐμὸν καθάψομαι,
κἀκεῖθεν ἥσω ναῦς ἐπ' Ἀργείων πόδα.
ΧΟ. ἐπεὶ τίν' ἄλλην ἀντὶ τῆσδ' ἕξεις στολήν;
ΔΟ. πρέπουσαν ἔργῳ κλωπικοῖς τε βήμασι.
ΧΟ. σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν·
λέξον, τίς ἔσται τοῦδε σώματος σαγή;
ΔΟ. λύκειον ἀμφὶ νῶτον ἅψομαι δορὰν
καὶ χάσμα θηρὸς ἀμφ' ἐμῷ θήσω κάρᾳ,
βάσιν τε χερσὶ προσθίαν καθαρμόσας
καὶ κῶλα κώλοις, τετράπουν μιμήσομαι
λύκου κέλευθον πολεμίοις δυσεύρετον,

---

191 sq. φημι τῆς ἐμῆς εὐσπλαγχνίας. δῶρον δέχεσθαι τῆς ἐμῆς εὐσπλαγχνίας c 192 εὐσπλαχνίας *BLP* 195 μέγας μὲν ἀγών *LP*
197 πόνος ὅδ'] Nauck, πόνος δ' libri 198 μεγάλα δὲ *LP* 199 τὰ] Seidler, τὰ δὲ libri | θεόθι ἐπίτῳ δίκᾳ c 200 τάδε c | ἀνδράσι libri, fort. ἀνέρων (cfr. 229) | τέλεια *Lp*, τέλει *P*, τέλεα *BCc* 201 δ' om. libri, add. Aldina | ἐς habere videtur *C* 203 κἀκεῖθεν ἥσω *Bc*, κἀκεῖθεν οἴσω *C*, κεῖθεν δ' ἐφήσω *LB* 204 ἐπεὶ τίν' *BCc*, εἴπ' ἢ τίν' *LP* 205 ΔΟ. om. c | κλωπικοῖς c, κλοπικοῖς *C*, κλοπτικοῖς *B*, κλεπτικοῖς *LP* | βήμασιν c*P* 207 ἔστι *B* | σαγή *BCLP* (cfr. schol. *B* ὡς σφαγή, ὀξυτόνως. Ἡρωδιανός), σάγη c | fort. τοῦδε σάγματος τρόπος;
208 ΔΟ. om. c | νῶτον ἅψομαι *BCc*, νῶτα θήσομαι *LP*, νῶτ' ἐνάψομαι Cobet 209 χάσμα *BCc*, σχῆμα *LP* | ἀμφ' αὐτῷ, scripto ἐμῷ super αὐτῷ, c 212 πολεμίους c

τάφροις πελάζων καὶ νεῶν προβλήμασιν.
ὅταν δ' ἔρημον χῶρον ἐμβαίνω ποδί,
δίβαμος εἶμι· τῇδε σύγκειται δόλος.
ΧΟ. ἀλλ' εὖ σ' ὁ Μαίας παῖς ἐκεῖσε καὶ πάλιν
πέμψειεν Ἑρμῆς, ὅς γε φηλητῶν ἄναξ.
ἔχεις δὲ τοὔργον· εὐτυχεῖν μόνον σε δεῖ.
ΔΟ. σωθήσομαί τε καὶ κτανὼν Ὀδυσσέως
οἴσω κάρα σοι, σύμβολον δ' ἔχων σαφὲς
φήσεις Δόλωνα ναῦς ἐπ' Ἀργείων μολεῖν,
ἢ παῖδα Τυδέως· οὐδ' ἀναιμάκτῳ χερὶ
ἥξω πρὸς οἴκους πρὶν φάος μολεῖν χθόνα.

ΧΟ. Θυμβραῖε καὶ Δάλιε καὶ Λυκίας stroph.
ναὸν ἐμβατεύων
Ἄπολλον, ὦ δία κεφαλά, μόλε τοξήρης, ἵκοῦ ἐννύχιος
καὶ γενοῦ σωτήριος ἀνέρι πομπᾶς
ἁγεμὼν καὶ ξύλλαβε Δαρδανίδαις,
ὦ παγκρατές, ὦ Τροΐας
τείχη παλαιὰ δείμας.

μόλοι δὲ ναυκλήρια, καὶ στρατιᾶς antistr.
Ἑλλάδος διόπτας
ἵκοιτο, καὶ κάμψειε πάλιν θυμέλας οἴκων πατρὸς
Ἰλιάδας.
Φθιάδων δ' ἵππων ποτ' ἐπ' ἄντυγι βαίη
δεσπότου πέρσας τὸν Ἀχαιὸν Ἄρη,

---

215 εἰμὶ *BcLB*, εἶμι *Cl* 217 φιλητῶν *cBC* 218 δεῖ *cLP*, χρή *BC* | σε δεῖ μόνον *c* 219 τε] δὲ *c* | ὀδυσέως *B* 220 σαφὲς δ' ἔχων *c* 223 fort. χθονί 227 ἵκου libri | post ἵκου inseruit δ' *·l* | εὐνύχιος *c* | post ἐννύχιος duae literae erasae (sine dubio ἡγ) in *L* 229 sq. καὶ γενοῦ σωτήριος . . ἁγεμὼν καὶ] Dindorf, ἁγεμὼν (ἡγεμὼν *P*) σωτήριος . . καὶ γενοῦ καὶ libri 231 Τροΐας] Lachmann, τροίας libri 234 om. in fine paginae, sed versui proximo in summa pagina ut scholion super θυμέλας adscr. literis minoribus ἑλληνικῆς ἑλλάδος διόπτας *B*, om. etiam *Cc* 235 κάμψειεν *B*, κάμψοι *LP* (εν super οι scr. *l*) | πατρὸς *BCc*, πάτρας *LP* | ἰλιάδας *c*, ἰλιάδος *BCLP* 236 φθιάδων οἴκων τότ' ἐπ' ἄντυγα *c* | πότ' *BC*, om. *LP* | ἐπ' ante ἄντυγα erasit et post ἵππων scripsit ut spatium sit, *l* | ἄντυγι *BC*, ἄντυγα *LP* 237 πέρσας τὸν] Canter, πέρσαντος libri | ἀχαιῶν *LB*

τὰς πόντιος Αἰακίδᾳ
Πηλεῖ δίδωσι δαίμων.

ἐπεὶ πρό τ' οἴκων πρό τε γᾶς ἔτλα μόνος stroph.
ναύσταθμα βὰς κατιδεῖν· ἄγαμαι
λήματος· ἦ σπανία
τῶν ἀγαθῶν, ὅταν ᾖ
δυσάλιον ἐν πελάγει καὶ σαλεύῃ
πόλις. ἔστι Φρυγῶν τις ἔστιν ἄλκιμος·
ἔνι δὲ θάρσος ἐν αἰχμᾷ· πόθι Μυσῶν ὃς ἐμὰν συμμαχίαν ἀτίζει;

τίν' ἄνδρ' Ἀχαιῶν ὁ πεδοστιβὴς σφαγεὺς antistr.
οὐτάσει ἐν κλισίαις, τετράπουν
μῖμον ἔχων ἐπὶ γαῖαν
θηρός; ἕλοι Μενέλαν,
κτανὼν δ' Ἀγαμεμνόνιον κρᾶτ' ἐνέγκοι
Ἑλένᾳ κακόγαμβρον ἐς χέρας γόον,
ὃς ἐπὶ μῶλον, ὃς ἐς γᾶν Τροΐαν χιλιόναυν ἤλυθ' ἔχων στρατείαν.

ΑΓΓΕΛΟΣ.

ἄναξ, τοιούτων δεσπόταισιν ἄγγελος
εἴην τὸ λοιπὸν οἶά σοι φέρω μαθεῖν.
ΕΚ. *ἦ πόλλ' ἀγρώτῃ σκαιὰ πρόσκειται φρενί·*
καὶ γὰρ σὺ ποίμνης δεσπόταις τευχεσφόροις

---

240 *ποντίας BC* 241 *δαίμων cLP, δόμων B, δόμον* superscr. *ων C* 245 *ἢ BC* | *πανία B, σπανία B²C, σπάνια c, σπάνις LP* 247 *δυσάλιον BCc, δυσάλιος LP, δυσάνεμον* Nauck | *σαλεύει cLP* 250 *τίς Bc* 251 *θάρσος Cl, θράσος BcLP* | *ἐν αἰχμαῖς LP* et ut vid. primitus *c*, fort. *ἐς αἰχμάν* | *πόθι*] Gu. Hoffmann, *ποτὶ* libri (circulo inclusit *l*) | *ὃς*] *ὡς P* 254 *παιδοστιβὴς P* 255 *οὐτάσειεν κλισίαις c* 256 *ἐπὶ γαῖαν BC, ἐπὶ γαίᾳ c, ἐπὶ γαίας LP* (*γαίας* circulo inclusit *l*), *ἐπὶ γᾶν* Dindorf, *ἀγρίου* Herwerden 257 *μενέλαον* (*ο* ex *ν* correcto) *L* 258 *ἀγαμεμνόνιον B, ἀγαμεμνόνειον* (*ι* super *ει* scripto) *C, ἀγαμεμνόνειον cLP* 260 *ἐς* hic libri | *χέρας LP, χεῖρας BCc* 261 sq. *μῶλον*] Scaliger, *πῶλον LP, πόλιν pc, πτόλιν BC* | *ἐς γᾶν*] Dindorf, *ἐπὶ γᾶν BCcP, ἐπὶ τὰν L* | *Τροΐαν*] Dindorf, *τροίαν BCcL*, om. *P* | *στρατείαν*] Heath, *στρατιάν* libri 264 et 271 *ΑΓΓ.*] *ποιμήν c* 265 *εἴην BCcp, οἴην LP* | *μαθεῖν φέρω c* 266 *ἀγρώτῃ*] scripsi, *ἀγρώταις B* (*αι* in *η* correxisse videtur *b*) *L, ἀγρόταις C, ἀγρώσταις cP* 267 *ποίμνης*] scripsi, *ποίμνας* libri | *τευχεφόροις C*

ἥκειν ἔοικας ἀγγελῶν ἵν' οὐ πρέπει.
οὐκ οἶσθα δῶμα τοὐμὸν ἢ θρόνους πατρός,
οἷ χρῆν γεγώνειν σ' εὐτυχοῦντα ποίμνια;
ΑΓΓ. σκαιοὶ βοτῆρές ἐσμεν· οὐκ ἄλλως λέγω.
ἀλλ' οὐδὲν ἧσσόν σοι φέρω κεδνοὺς λόγους.
ΕΚ. παῦσαι λέγων μοι τὰς προσαυλείους τύχας·
μάχας πρὸ χειρῶν καὶ δόρη βαστάζομεν.
ΑΓΓ. τοιαῦτα κἀγὼ σημανῶν ἐλήλυθα·
ἀνὴρ γὰρ ἀλκῆς μυρίας στρατηλατῶν
στείχει φίλος σοὶ σύμμαχός τε τῇδε γῇ.
ΕΚ. ποίας πατρῴας γῆς ἐρημώσας πέδον;
ΑΓΓ. Θρῄκης· πατρὸς δὲ Στρυμόνος κικλήσκεται.
ΕΚ. Ῥῆσον τιθέντ' ἔλεξας ἐν Τροίᾳ πόδα.
ΑΓΓ. ἔγνως· λόγου δὲ δὶς τόσου μ' ἐκούφισας.
ΕΚ. καὶ πῶς πρὸς Ἴδης ὀργάδας πορεύεται,
πλαγχθεὶς πλατείας πεδιάδος θ' ἁμαξιτοῦ;
ΑΓΓ. οὐκ οἶδ' ἀκριβῶς· εἰκάσαι γε μὴν πάρα.
ὄρφνῃ γὰρ οὔτι φαῦλον ἐμβαλεῖν στρατόν,
κλύοντα πλήρη πεδία πολεμίας χερός.
φόβον δ' ἀγρώσταις, οἳ κατ' Ἰδαῖον λέπας
οἰκοῦμεν αὐτόρριζον ἑστίαν χθονός,
παρέσχε δρυμὸν νυκτὸς ἔνθηρον μολών.
πολλῇ γὰρ ἠχῇ Θρῄκιος βρέμων στρατὸς
ἔστειχε· θάμβει δ' ἐκπλαγέντες ἵεμεν
ποίμνας πρὸς ἄκρας, μή τις Ἀργείων μόλῃ
λεηλατήσων καὶ σὰ πορθήσων σταθμά,
πρὶν δὴ δι' ὤτων γῆρυν οὐχ Ἑλληνικὴν

---

268 ἥκεις *B* 269 πατρὸς θρόνους *c* 270 οἷ χρῆν *c*, οἷ χρὴν *B*, οὗ 'χρῆν *C*, οἷς χρὴ *LP* | γεγωνεῖν libri | εὐθενοῦντα Herwerden | ποιμνίων c (εὐτυχεῖν τὰ ποιμνίων F. Gu. Schmidt) 271 *ΑΓΓ.* om. *P*, praef. *p* (quod ante 272 minio scriptum erat ἄγγ, erasum) | λέγω *c*, λέγεις *r* 274 μάχας] αἰχμὰς Meineke, fort. λόγχας | δόρῡ *c* 276 ἀλκῆς *LP*, ἀρχῆς *BCc*, αἰχμῆς Rauchenstein | fort. μυρίον 277 σοι *c* 278 fort. πατρῷον 279 κικλύσκεται *P* κικλήσκεται *p*, κικλῄσκεται Lautensach 282 post 283 collocat *c* 283 πλαχθεὶς *BP*, πλαγχθεὶς *p* | πλατείαις *LP*, πατρῴας *c* | τ' ἀμαξιτοῦ *BCcLP* 283 ἄγγ hic, non 284 praefixum habet *C* 285 ὄρφνῃ] Vater, μορφῇ Christ. pat. 2096 et 2452, νυκτὸς libri 287 fort. ἀγρώταις 290 ἠχὴ *B*, ἠχῇ *CcLP*, ἠχοῖ *p*, fort. ἀχῇ | βρέμων] Ruhnken, ῥέων libri (στρατὸς ῥέων *c*) 291 ἔστιχε *C* | ἵεμεν *c* 292 πρὸς *BcC*, ἐς *LP* 293 προθήσων *P* πορθήσων *p*, πορθμήσων *c*

ἐδεξάμεσθα καὶ μετέστημεν φόβου.
στείχων δ' ἄνακτος προυξερευνητὰς ὁδοῦ
ἀνιστόρησα Θρῃκίοις προσφθέγμασι,
τίς ὁ στρατηγὸς κἀκ τίνος κεκλημένος
στείχει πρὸς ἄστυ Πριαμίδαισι σύμμαχος.
καὶ πάντ' ἀκούσας ὧν ἐφιέμην μαθεῖν,
ἔστην· ὁρῶ δὲ Ῥῆσον ὥστε δαίμονα
ἑστῶτ' ἐν ἱππείοισι Θρῃκίοις ὄχοις.
χρυσῇ δὲ πλάστιγξ αὐχένα ζυγηφόρον
πώλων ἔκληε χιόνος ἐξαυγεστέρων.
πέλτης δ' ἐπ' ὤμων χρυσοκόλλητος τύπος
ἔλαμπε· Γοργὼν δ' ὡς ἐπ' αἰγίδος θεᾶς
χαλκῆ μετώποις ἱππικοῖσι πρόσδετος
πολλοῖσι σὺν κώδωσιν ἐκτύπει φόβον.
στρατοῦ δὲ πλῆθος οὐδ' ἂν ἐν ψήφου λόγῳ
θέσθαι δύναι' ἄν, ὡς ἄπλατον ἦν ἰδεῖν,
πολλοὶ μὲν ἱππῆς, πολλὰ πελταστῶν τέλη,
πολλοὶ δ' ἀτράκτων τοξόται, πολὺς δ' ὄχλος
γυμνὴς ὁμαρτῇ, Θρῃκίαν ἔχων στολήν.
τοιόσδε Τροίᾳ σύμμαχος πάρεστ' ἀνήρ,
ὃν οὔτε φεύγων οὔθ' ὑποσταθεὶς δορὶ
ὁ Πηλέως παῖς ἐκφυγεῖν δυνήσεται.

ΧΟ. ὅταν πολίταις εὐσταθῶσι δαίμονες,
ἕρπει κατάντης ξυμφορὰ πρὸς τἀγαθά.

---

295 *ἐδεξάμεθα LP, ἐδεξάμεσθα p | διέστημεν C* 296 *ἄνακτος*] fort *ἀν' αὐτοὺς | προὐξενευρητὰς c | ὁδοῦ BC, στρατοῦ cLP* 297 *προσφθέγμασιν l* 298 *κἀκ*] scripsi, *καὶ* libri | *κεκλιμένος c* 299 *πριαμίδεσι B* 300 *ἀκούσας P*, sed *ας* scr. m. 2 fort. pro compendio 301 *ἔστην c* 302 *ἑστωθ' ἱππείοισι c | ἱππείῃσι* scripto *οι* super *η C | ἵπποις θρῃκίοις τ' ὀχήμασι LP, ἱππείοισι Θρῇκ' ὀχήμασιν* Nauck 303 *χρησῇ δὲ πλάστιξ B, χρυσῇ δὲ πλάστιγγι c | ζυγηφόρον BCc, ζυγηφόρων LP* 304 *ἔκληεν χρόνος c | χιόνος*] *χειμῶνος C* 305 *πέλτης ἐπ' BC, πέλτηιτ' c, πέλτη δ' ἐπ' LP | ὦμον B | χρυσοκόλλητος τύπος*] Nauck, *χρυσοκολλήτοις τύποις cLP, χρυσοκολλήτοις δίφροις BC* 306 *γοργὼ P*, sed eraso *ν | ἐπ' BCLP, ἀπ' c | θοᾶς B* et *ο* ex *ε* facto C 308 fort. *πολλαῖσι | κώδωσιν* (*ώ* ex *ό* fecit m. 3) C 309 *ψήφῳ λόγου c* 310 *δύναι' ἂν BCc, δυναίμην LP | ἄπλατον* in *ἄπλαστον* mut. *p, ἄπληστον* Hermann 311 *ἱππεῖς* libri 312 *δ'*] *τ' BC | πομποί τ' ἀστράκτων c* 313 *ὁμαρτεῖ CLP* et ex *ὁμαρτῇ* factum *c | στολὴν ἔχων c | στολήν*] fort. *σαγήν* 315 sq. *φεύγων ἐκφυγεῖν δυνήσεται . . παῖς οὔθ' ὑποστῆναι δορί* Herwerden 318 *ἕρπε c | κατάντης* in *κατάντις* mut. *p | συμφορὰ CcP | τἀγαθόν LP*

ΕΚ. πολλούς, ἐπειδὴ τοὐμὸν εὐτυχεῖ δόρυ
καὶ Ζεὺς πρὸς ἡμῶν ἐστιν, εὑρήσω φίλους.
ἀλλ' οὐδὲν αὐτῶν δεόμεθ', οἵτινες πάλαι
μὴ ξυμπονοῦσιν, ἡνίκ' ἐξώστης Ἄρης
ἔθραυε λαίφη τῆσδε γῆς μέγας πνέων.
Ῥῆσος δ' ἔδειξεν οἷος ἦν Τροίᾳ φίλος·
ἥκει γὰρ ἐς δαῖτ', οὐ παρὼν κυνηγέταις
αἱροῦσι λείαν οὐδὲ συγκαμὼν δορί.
ΧΟ. ὀρθῶς ἀτίζεις κἀπίμομφος εἶ φίλοις·
δέχου δὲ τοὺς θέλοντας ὠφελεῖν πόλιν.
ΕΚ. ἀρκοῦμεν οἱ σῴζοντες Ἴλιον πάλαι.
ΧΟ. πέποιθας ἤδη πολεμίους ᾑρηκέναι;
ΕΚ. πέποιθα· δείξει τοὐπιὸν σέλας θεοῦ.
ΧΟ. ὅρα τὸ μέλλον· πόλλ' ἀναστρέφει θεός.
ΕΚ. μισῶ φίλοισιν ὕστερον βοηδρομεῖν. 333
ὃ δ' οὖν, ἐπείπερ ἦλθε, σύμμαχος μὲν οὔ, 336
ξένος δὲ πρὸς τράπεζαν ἡκέτω ξένων·
χάρις γὰρ αὐτῷ Πριαμιδῶν διώλετο. 338
ΧΟ. ἄναξ, ἀπωθεῖν συμμάχους ἐπίφθονον. 334
ΑΓΓ. φόβος γένοιτ' ἂν πολεμίοις ὀφθεὶς μόνον. 335
ΕΚ. σύ τ' εὖ παραινεῖς καὶ σὺ καιρίως σκοπεῖς. 339
ὁ χρυσοτευχὴς οὖν κατ' ἀγγέλου λόγον
Ῥῆσος παρέστω τῇδε σύμμαχος χθονί.

ΧΟ. Ἀδράστεια μὲν ἁ Διὸς παῖς stroph.
εἴργοι στομάτων φθόνον·

319 δορί P δόρυ p 322 ξυμπονῶσιν BCc 323 ἔθραυε BC, ἔθραυσε c, ἔφαυσε LP | λέφη C | μέγα c 324 δ' om. B | τροίας LP 326 αἴρουσι . . δουρί B 327 ἀτίζεις] ἔλεξας c, κακίζεις Musgrave | κἀπίμομφος cLP, κἀπίμορφος BC 329 πάλαι BCc, πόλιν LP 330 εἰρηκέναι B 331 δείξοι B | θεοῦ σέλας c 334 sq. post 338 transposuit correcta personarum dispositione Nauck (335 post 338 collocaverat et 336—8 Hectori tribuerat iam Hermann): 334—8 nuntio, 339—41 choro tribuunt BCc (in C ante 334 chori nota deleta et ἄγγ praefixum), 334—8 choro, 339—41 Hectori tribuunt LP (L lineolis praefixis) 335 ὀφθεὶς] ἐλθὼν c 336 ὃ δ'] Nauck, ὅδ' libri | ἦλθε* (erasum ν) c 337 ἱκέτω LP, ἡκέτω p 338 ἀπώλετο LP 339 καιρίως] κυρίως c 340 οὖν κατ' . . λόγον] scripsi, οὖν ἐκ (οὕνεκ' C) . . λόγων BC, δ' οὕνεκ' . . λόγων cLP 341 παρέστω LP, παρέσται BCc 342 ΧΟ. om. BC | ἀδράστεια Cc, ἀδράστια vel ἀδραστία BLP, ἀδράστεια l | ἁ om. c 343 εἴργοι c, εἴργει BC, εἴργοις LP

φράσω γὰρ δὴ ὅσον μοι
ψυχᾷ προσφιλές ἐστιν εἰπεῖν.
ἥκεις, ὦ ποταμοῦ παῖ,
ἥκεις, ἐπλάθης Φρυγίαν πρὸς αὐλὰν
ἀσπαστός, ἐπεί σε χρόνῳ
Πιερὶς μάτηρ ὅ τε καλλιγέφυ-
ρος ποταμὸς πορεύει

Στρυμών, ὅς ποτε τᾶς μελῳδοῦ — antistr.
Μούσας δι᾽ ἀκηράτων
δινηθεὶς ὑδροειδὴς
κόλπων σὰν ἐφύτευσεν ἥβαν.
σύ μοι Ζεὺς ὁ φαναῖος
ἥκεις διφρεύων βαλιαῖσι πώλοις.
νῦν, ὦ πατρὶς ὦ Φρυγία,
ξὺν θεῷ νῦν σοι τὸν ἐλευθέριον
Ζῆνα πάρεστιν εἰπεῖν.

ἆρά ποτ᾽ αὖθις ἁ παλαιὰ — stroph.
Τροία τοὺς προπότας παναμερεύσει
θιάσους ἐρώτων
ψαλμοῖσι καὶ κυλίκων οἰνοπλανήτοις
ἐπιδεξίοις ἁμίλλαις
κατὰ πόντον Ἀτρειδᾶν
Σπάρταν οἰχομένων Ἰλιάδος παρ᾽ ἀκτᾶς;
ὦ φίλος, εἴθε μοι
σᾷ χερὶ καὶ σῷ δορὶ πρά-
ξας τάδ᾽ ἐς οἶκον ἔλθοις.

ἐλθέ, φάνηθι, τὰν ζάχρυσον — antistr.
Πηλείδα προβαλοῦ κατ᾽ ὄμμα πέλταν

345 ἔστ᾽ *P* 347 ἐπλάσθης *P* | φρυγίαν *BC*, φιλίου *LP*, fort. Φρύγιον 348 ἀσπαστός γ᾽ *P* | ἔπεισε χρόνῳ *c* 351 ὡς *P* ὅς *p* 352 δι᾽ ἀκηράτων *cLP*, δι᾽ ἀκράτων *BC* 354 σὰν ἐφύτευσεν *L*, σὰν ἐφύτευσ᾽ *P*, ἀνεφύτευσεν *c*, ἀνεφύτευσαν *B*, ἀνεφύτευσας *C* | ἥβαν ex ἕδραν corr. *C*, fort. ὥραν 356 διφρεύσων *LP* 358 ἐλεύθερον *BC* 359 εἰπεῖν *cLP*, ἰδεῖν *BC* 361 τοὺς] τὰς *c* 363 ψαλμοῖσι] Canter, ψάλμασι libri 364 ἐπιδεξίοις] L. Dindorf (ἐπιδεξίαις Musgrave), ὑποδεξίαις libri 366 ἀκτὰς *c* 368 δόρατι *BC* 369 εἰς etiam hic libri 371 Πηλείδα προβαλοῦ] Aldina, προβαλοῦ (προλαβοῦ *BC*) πηλείδα (πηλίδα *C*) libri

δοχμίαν πεδαίρων
σχιστὰν παρ' ἄντυγα, πώλους ἐρεθίζων
δίβολόν τ' ἄκοντα πάλλων.
σὲ γὰρ οὔτις ὑποστὰς
Ἀργείας ποτ' ἐν Ἥρας δαπέδοις χορεύσει·
ἀλλά νιν ἅδε γᾶ
καπφθίμενον Θρῃκὶ μόρῳ
φίλτατον ἄχθος οἴσει.

ἰὼ ἰώ.
μέγας ὦ βασιλεῦ, καλόν, ὦ Θρῄκη,
σκύμνον ἔθρεψας πολίαρχον ἰδεῖν.
ἴδε χρυσόδετον σώματος ἀλκήν,
κλύε καὶ κόμπους κωδωνοκρότους
παρὰ πορπάκων κελαδοῦντας.
θεός, ὦ Τροία, θεὸς αὐτὸς Ἄρης
ὁ Στρυμόνιος πῶλος ἀοιδοῦ
Μούσης ἥκων καταπνεῖ σε.

ΡΗΣΟΣ.

χαῖρ', ἐσθλὸς ἐσθλοῦ παῖ, τύραννε τῆσδε γῆς,
Ἕκτορ· παλαιᾷ σ' ἡμέρᾳ προσεννέπω.
χαίρω δέ σ' εὐτυχοῦντα καὶ προσήμενον
πύργοισιν ἐχθρῶν· συγκατασκάψων δ' ἐγὼ
τείχη πάρειμι καὶ νεῶν πρήσων σκάφη.

ΕΚ. παῖ τῆς μελῳδοῦ μητέρος Μουσῶν μιᾶς
Θρῃκός τε ποταμοῦ Στρυμόνος, φιλῶ λέγειν
τἀληθὲς αἰεὶ κοὐ διπλοῦς πέφυκ' ἀνήρ.
πάλαι πάλαι χρῆν τῇδε συγκάμνειν χθονὶ

---

373 πώλους ἐρεθίζων] Reiske, κώλοις ἐρεθίζων *LP*, om. *B* (in fine paginae) *Cc* 374 δίβωλον *C* 378 καπφθίμενον] Musgrave, καταφθίμενον libri | θρῃκὶ *c*, θρηκίων *B*, θρηκίω *C*, θρῃκίω *LP* 379 οἴσει] εἴσει ut vid. ante corr. *c* 381 θρΐκη *B* 382 πολύαρχον *LP* et ι super υ scripto *C* 383 fort. σάγματος 385 τοὺς ante κελαδοῦντας inseruit *l* 387 sq. στρυμόνειος *BC* | ἀναπνεῖ *C* 388 *PH.* om., sed in marg. scr. ῥῆσος βασιλεύς *c* | χαῖρ' ἐσθλὸς ἐσθλοῦ παῖς *LP*, χαῖρ' ἐσθλοῦ παῖ *B*, ἐσθλοῦ χαῖρε παῖ *C*, χαῖρ' ἐσθλοῦ πατρὸς παῖ *c*, χαῖρ' ἔσθλ' ἀπ' ἐσθλοῦ παῖ Dindorf 392 πρήσσων *LP*, πρήσων *p* 393 παῖς *LP* 394 Θρῃκός] παῖς *L*, quo eraso θρῃκός *l* 395 ἀεὶ libri | πέφηκ' *B* 396 συγκάμειν *B*, συνκάμνειν *c*

ἐλθόντα, καὶ μὴ τοὐπὶ σ' Ἀργείων ὕπο
Τροίαν ἐᾶσαι πολεμίων πεσεῖν δορί.
οὐ γάρ τι λέξεις ὡς ἄκλητος ὢν φίλοις
οὐκ ἦλθες οὐδ' ἤμυνας οὐδ' ἐπεστράφης.
τίς γάρ σε κῆρυξ ἢ γερουσία Φρυγῶν
ἐλθοῦσ' ἀμύνειν οὐκ ἐπέσκηψεν πόλει;
ποῖον δὲ δώρων κόσμον οὐκ ἐπέμψαμεν;
σὺ δ' ἐγγενὴς ὢν βάρβαρός τε βαρβάρους
Ἕλλησιν ἡμᾶς προὔπιες τὸ σὸν μέρος.
καίτοι σε μικρᾶς ἐκ τυραννίδος μέγαν
Θρῃκῶν ἄνακτα τῇδ' ἔθηκ' ἐγὼ χερί,
ὅτ' ἀμφὶ Πάγγαιόν τε Παιόνων τε γῆν
Θρῃκῶν ἀρίστοις ἐμπεσὼν κατὰ στόμα
ἔρρηξα πέλτην, σοὶ δὲ δουλώσας λεὼν
παρέσχον· ὧν σὺ λακτίσας πολλὴν χάριν,
φίλων νοσούντων ὕστερος βοηδρομεῖς.
οἳ δ' οὐδὲν ἡμῖν ἐν γένει πεφυκότες,
πάλαι παρόντες, οἳ μὲν ἐν χωστοῖς τάφοις
κεῖνται πεσόντες, πίστις οὐ σμικρὰ πόλει,
οἳ δ' ἔν θ' ὅπλοισι καὶ παρ' ἱππείοις ὄχοις
ψυχρὰν ἄησιν δίψιόν τε πῦρ θεοῦ
μένουσι καρτεροῦντες, οὐκ ἐν δεμνίοις
πυκνὴν ἄμυστιν ὡς σὺ δεξιούμενοι.
ταῦθ', ὡς ἂν εἰδῇς Ἕκτορ' ὄντ' ἐλεύθερον,
καὶ μέμφομαί σοι καὶ λέγω κατ' ὄμμα σόν.

PH. τοιοῦτός εἰμι καὐτός, εὐθεῖαν λόγων
τέμνων κέλευθον, κοὐ διπλοῦς πέφυκ' ἀνήρ.
ἐγὼ δὲ μεῖζον ἢ σὺ τῆσδ' ἀπὼν χθονὸς
λύπῃ πρὸς ἧπαρ δυσφορῶν ἐτειρόμην·

---

397 τοὐπίσω ἀργείων *c* 398 πολεμίῳ Bothe 399 φίλοις *cLP*, φίλος *BC* 400 om. *c* | ἦλθας *B* 402 ἐπέσκυψε *B* 403 ποῖον *LP*, ποίων *BCc* 404 εὐγενὴς *c* | βαρβάρους *LP*, βαρβάρου *BCc* 408 παγαῖον *c* 409 ἀρίστους *Bc* 412 ὕστερος *c*, ὕστερον *BCLP*, sed ς super ν scr. *p* | βοηδρομεῖς *LP*, βοηδρομεῖν *BC*, cfr. 333 413 ἐν γένει] Valckenaer, ἐγγενεῖς *BCLP*, εὐγενεῖς *c* 416 οἵδ' ἐν ὅπλοισι *c*, οἱ δ' ἐνθάδ' ὅπλοις *LP* 417 ἄησϊ *B* | τε, post ε deleto σ, *B* 418 μένουσι καρτεροῦντες] οὐκ' ἐν καρτ·ροῦντες *c* 421 καὶ κατ' ὄμμασι λέγω *c* 422 *PH.* om. *c* 423 τέμνω Nauck 424 μείζον' *LP*, fort. μᾶλλον 425 ἐτειρόμην] fort. ἐχριόμην

ἀλλ' ἀγχιτέρμων γαῖά μοι, Σκύθης λεώς,
μέλλοντι νόστον τὸν πρὸς Ἴλιον περᾶν
ξυνῆψε πόλεμον· Εὐξένου δ' ἀφικόμην
πόντου πρὸς ἀκτάς, Θρῆκα πορθμεύσων στρατόν.
ἔνθ' αἱματηρὸς πέλανος ἐς γαῖαν Σκύθης
ἠντλεῖτο λόγχῃ Θρῄξ τε συμμιγὴς φόνος.
τοιάδε τοί μ' ἀπεῖργε συμφορὰ πέδον
Τροίας ἱκέσθαι σύμμαχόν τέ σοι μολεῖν.
ἐπεὶ δ' ἔπερσα, τῶνδ' ὁμηρεύσας τέκνα,
τάξας ἔτειον δασμὸν ἐς δόμους φέρειν,
ἥκω περάσας ναυσὶ πόντιον στόμα,
τὰ δ' ἄλλα πεζὸς γῆς περῶν ὁρίσματα,
οὐχ ὡς σὺ κομπεῖς τὰς ἐμὰς ἀμύστιδας,
οὐδ' ἐν ζαχρύσοις δεμνίοις κοιμώμενος,
ἀλλ' οἷα πόντον Θρῄκιον φυσήματα
κρυσταλλόπηγα Παίονάς τ' ἐπεξάρει,
ξὺν τοῖσδ' ἄυπνος οἶδα τλὰς πορπάμασιν.
ἀλλ' ὕστερος μὲν ἦλθον, ἐν καιρῷ δ' ὅμως·
σὺ μὲν γὰρ ἤδη δέκατον αἰχμάζεις ἔτος
κοὐδὲν περαίνεις, ἡμέραν δ' ἐξ ἡμέρας
πίπτεις κυβεύων τὸν πρὸς Ἀργείους Ἄρη·
ἐμοὶ δὲ φῶς ἓν ἡλίου καταρκέσει
πέρσαντι πύργους ναυστάθμοις ἐπεσπεσεῖν
κτεῖναί τ' Ἀχαιούς· θατέρᾳ δ' ἀπ' Ἰλίου
πρὸς οἶκον εἶμι, συντεμὼν τοὺς σοὺς πόνους.

---

426 *ἀχιτέρμων Cc* | *λαὸς σκύθης c* 427 *μέλοντι C* 428 *ἀξένου* Cobet 429 *πορθμεύσων LP*, *πορθμεύσας BCc* 430 *ἐς* hic *BCc* 431 *ἠντλῆτο C* | *φόνος c*, *φόνῳ r* | *Θρῃκὶ συμμιγὴς φόνῳ* Matthiae 432 *τοῖα δέ B*, *τοιᾶδε c* | *ἀπεῖργε cLP*, *ἀπῆγε BC* 433 *μολεῖν τέ σοι c* 434 fort. *ἔπερσα γῆν* 435 *τάξας τ'* Lenting 437 *ὁρίσματα c* 438 *τὰς ἐμὰς*] *σπῶν πυκνὰς* Herwerden (*πυκνὰς* iam Reiske) 439 *δεμνίοις*] scripsi, *δώμασι* vel *δώμασιν* libri 440 *πόντιον B* 441 *κρυσταλλόπηγα*] Kirchhoff, qui etiam *κρυσταλλόπηκτον* proponit, *κρυσταλλόπηκτα* libri (*κρυσταλόπηκτα B*) | *ἐπεξάρει*] Canter, *ἐπεζάτει* libri 442 *σὺν BCc* | *ἄϋπνος οἶδα BCc*, *ἀόπλοις οἷα LP* | *πορπάμασιν*] Porson, *πορπάσμασιν BCc*, *πορπήμασιν LP* 443 *ὕστερος*] Cobet, *ὕστερον* libri | *εἰς καιρὸν* Christ. pat. 1728 446 *πίπτης c*, *ῥίπτεις* Sallier, fort. *τρίβεις* | *ἄρη c*, *ἄρην BCLP* 448 *πέρσαντι* (*ι* in ras. scr. m. 2) *P* | *ναυστάθμοις LP*, *ναυστάθμους BCc* | *ἐπεισπεσεῖν* libri 449 *θατέρᾳ*] Brunck, *θ' ἡτέρᾳ BCcL* et *τ* in ras. a m. 2 scripto *P* | *δ' BCc*, *τ' LP*

ὑμῶν δὲ μή τις ἀσπίδ' ἄρηται χερί·
ἐγὼ γὰρ ἕξω τοὺς μέγ' αὐχοῦντας δορὶ
πέρσας Ἀχαιούς, καίπερ ὕστερος μολών.

ΧΟ. ἰὼ ἰώ. stroph.
φίλα θροεῖς, φίλος Διόθεν εἶ· μόνον
φθόνον ἄμαχον ὕπατος
Ζεὺς θέλοι ἀμφὶ
σοῖς λόγοισιν εἴργειν.
τὸ δὲ νάιον Ἀργόθεν δόρυ
οὔτε πρίν τιν' οὔτε νῦν
ἀνδρῶν ἐπόρευσε σέθεν κρείσσω. πῶς μοι
Ἀχιλεὺς τὸ σὸν ἔγχος ἂν δύναιτο,
πῶς δ' Αἴας ὑπομεῖναι;
εἰ γὰρ ἐγὼ τόδ' ἦμαρ εἰσίδοιμ', ἄναξ,
ὅτῳ πολυφόνου
χειρὸς ἀποινάσαιο λόγχᾳ.

ΡΗ. τοιαῦτα μέν σοι τῆς μακρᾶς ἀπουσίας
πρᾶξαι παρέξω· σὺν δ' Ἀδραστείᾳ λέγω·
ἐπειδὰν ἐχθρῶν τήνδ' ἐλευθέραν πόλιν
θῶμεν θεοῖσί τ' ἀκροθίνι' ἐξέλῃς,
ξὺν σοὶ στρατεύειν γῆν ἐπ' Ἀργείων θέλω
καὶ πᾶσαν ἐλθὼν Ἑλλάδ' ἐκπέρσαι δορί,
ὡς ἂν μάθωσιν ἐν μέρει πάσχειν κακῶς.
ΕΚ. εἰ τοῦ παρόντος τοῦδ' ἀπαλλαχθεὶς κακοῦ
πόλιν νεμοίμην ὡς τὸ πρίν ποτ' ἀσφαλῆ,
ἦ κάρτα πολλὴν θεοῖς ἂν εἰδείην χάριν.
τὰ δ' ἀμφί τ' Ἄργος καὶ νομὸν τὸν Ἑλλάδος

451 ἄρηται] L. Dindorf, αἴρηται *BC*, αἱρεῖται *c*, αἱρέτω *LP* 452 sq. delet Herwerden 452 fort. ἐγὼ παρέξω | μέγ' αὐχοῦντας *cLP*, μεγαλαυχοῦντας *BC* 453 ὕστερος *BC*, ὕστερον *cLP* 455 μόνος *LP* 457 ἐθέλοι *BCc* 460 πρίν τιν' οὔτε νῦν] Nauck, πρὶν οὔτε νῦν τιν' libri 461 ἐπόρευσεν *L*, sed ν addidisse videtur *l* | μοι] μὰν Badham 462 ἀχιλεὺς *B* et altero λ infra addito *P*, ἀχιλλεὺς *CcL* 464 τόδε γ' Hermann, τόδ' ἔτ' Dindorf, sed vide ad v. 830 465 ὅτῳ] Musgrave, ὅπως libri 466 ἀπονάσαιο *L* | ἄποινα σᾷ φέροις (vel λάβοις) λόγχᾳ Hartung 468 πρᾶξιν παρέξω Musgrave, fort. ἄποινα πράξω 469 ἐπειδ' ἄν δ' *B* 471 σὺν *BCc* | ἀργείων *BCc*, ἀργείαν *LP* 476 πολλὴν *BCc*, πολλοῖς *LP*

οὐχ ὧδε πορθεῖν ῥᾴδι', ὡς λέγεις, δορί.
ΡΗ. οὐ τούσδ' ἀριστέας φασὶν Ἑλλήνων μολεῖν;
ΕΚ. κοὐ μεμφόμεσθά γ', ἀλλ' ἄδην ἐλαύνομαι.
ΡΗ. οὐκοῦν κτανόντες τούσδε πᾶν εἰργάσμεθα.
ΕΚ. μή νυν τὰ πόρρω τἀγγύθεν μεθεὶς σκόπει.
ΡΗ. ἀρκεῖν ἔοικέ σοι παθεῖν, δρᾶσαι δὲ μή.
ΕΚ. πολλῆς γὰρ ἄρχω κἀνθάδ' ὢν τυραννίδος.
ἀλλ' εἴτε λαιὸν εἴτε δεξιὸν κέρας
εἴτ' ἐν μέσοισι συμμάχοις πάρεστί σοι
πέλτην ἐρεῖσαι καὶ καταστῆσαι στρατόν.
ΡΗ. μόνος μάχεσθαι πολεμίοις, Ἕκτορ, θέλω.
εἰ δ' αἰσχρὸν ἡγῇ μὴ συνεμπρῆσαι νεῶν
πρύμνας, πονήσας τὸν πάρος πολὺν χρόνον,
τάξον μ' Ἀχιλλέως καὶ στρατοῦ κατὰ στόμα.
ΕΚ. οὐκ ἔστ' ἐκείνῳ θοῦρον ἀντᾶραι δόρυ.
ΡΗ. καὶ μὴν λόγος γ' ἦν ὡς ἔπλευσ' ἐπ' Ἴλιον.
ΕΚ. ἔπλευσε καὶ πάρεστιν· ἀλλὰ μηνίων
στρατηλάταισιν οὐ συναίρεται δόρυ.
ΡΗ. τίς δὴ μετ' αὐτὸν ἄλλος εὐδοξεῖ στρατοῦ;
ΕΚ. Αἴας ἐμοὶ μὲν οὐδὲν ἡσσᾶσθαι δοκεῖ
χὠ Τυδέως παῖς· ἔστι δ' αἱμυλώτατον
κρότημ' Ὀδυσσεύς, λῆμά τ' ἀρκούντως θρασὺς
καὶ πλεῖστα χώραν τήνδ' ἀνὴρ καθυβρίσας·
ὃς εἰς Ἀθάνας σηκὸν ἔννυχος μολὼν
κλέψας ἄγαλμα ναῦς ἐπ' Ἀργείων φέρει.
ἤδη δ' ἀγύρτης πτωχικὴν ἔχων στολὴν
ἐσῆλθε πύργους, πολλὰ δ' Ἀργείοις κακὰ
ἠρᾶτο, πεμφθεὶς Ἰλίου κατάσκοπος·

---

478 ῥαδίως λέγεις *c* 479 τούς γ' *L*, τούσδ' (δ in ras. scr. m. 2) *P* | ἀριστεῖς *c*, ἀριστῆς Brunck, ἀρίστους Cobet 480 κοὐ] οὐ *c* | ἀλλὰ δὴν *LP* | ἐλαύνομαι] Hartung, ἐλαύνομεν libri 481 πάντ' εἰργάσμεθ' ἂν *LP* 482 μή νυν] Scaliger, μὴ νῦν libri | πόρσω Dindorf 483 ἔοικέν *c* 484 τυρραννίδος ante corr. *c* 485 fort. λαιὰν . . δεξιὰν κάτα 488 *ΡΗ.* om. *L* 489 fort. μὴ οὐ 490 χρόνον] fort. πόνον 491 ἀχιλέως *B* | καὶ] fort. ἐκ 492 ἀντᾶραι] Reiske, ἐντάξαι libri 496 τίς δὲ *B*, τί δαὶ *c* 497 ἡττᾶσθαι *BCcLP* 499 ὀδυσεύς et θρασύν *B* | θρασὺ *C* 500 τήνδ'] εἷς Boissonade (εἷς pro καὶ ponit Hermann) 501 ἀθηνᾶς *L* 503 ἤδη ex ἤδην corr. *c* στολὴν ἔχων *c* 504 ἀργείους *LP* 505 ἰλίου *c*, ἴλιον *r*

κτανὼν δὲ φρουροὺς καὶ παραστάτας πυλῶν
ἐξῆλθεν· αἰεὶ δ' ἐν λόχοις εὑρίσκεται
Θυμβραῖον ἀμφὶ βωμὸν ἄστεος πέλας
θάσσων· κακῷ δὲ μερμέρῳ παλαίομεν.

PH. οὐδεὶς ἀνὴρ εὔψυχος ἀξιοῖ λάθρᾳ
κτεῖναι τὸν ἐχθρόν, ἀλλ' ἰὼν κατὰ στόμα.
τοῦτον δ' ὃν ἵζειν φῂς σὺ κλωπικὰς ἕδρας
καὶ μηχανᾶσθαι, ζῶντα συλλαβὼν ἐγὼ
πυλῶν ἐπ' ἐξόδοισιν ἀμπείρας ῥάχιν
στήσω πετεινοῖς γυψὶ θοινατήριον.
ληστὴν γὰρ ὄντα καὶ θεῶν ἀνάκτορα
συλῶντα δεῖ νιν τῷδε κατθανεῖν μόρῳ.

EK. νῦν μὲν καταυλίσθητε· καὶ γὰρ εὐφρόνη.
δείξω δ' ἐγώ σοι χῶρον, ἔνθα χρὴ στρατὸν
τὸν σὸν νυχεῦσαι τοῦ τεταγμένου δίχα.
ξύνθημα δ' ἡμῖν Φοῖβος, ἤν τι καὶ δέῃ·
μέμνησ' ἀκούσας Θρῃκί τ' ἄγγειλον στρατῷ.
ὑμᾶς δὲ βάντας χρὴ προταινὶ τάξεων
φρουρεῖν ἐγερτὶ καὶ νεῶν κατάσκοπον
δέχθαι Δόλωνα· καὶ γάρ, εἴπερ ἐστὶ σῶς,
ἤδη πελάζει στρατοπέδοισι Τρωικοῖς.

XO. τίνος ἁ φυλακά; τίς ἀμείβει stroph.
τὰν ἐμὰν πρώτα;
δύεται σημεῖα καὶ ἑπτάποροι
Πλειάδες αἰθέριαι·
μέσα δ' αἰετὸς οὐρανοῦ ποτᾶται.
ἔγρεσθε, τί μέλλετε; κοιτᾶν

---

506 πυλῶν *cLP* (πυλῶν παραστάτας *c*) et Christ. pat. 1737, φρυγῶν *BC* 507 ἀεὶ *BCc* 508 ἄστεως *LP* 509 μερμαίρῳ *c* 510 *PH.* hic om., ante 512 habet *P*, lineola in *L* 512 δ' om. *B* | φὴς οὐ *B*, φής γε *C* | κλωπικαῖς ἕδραις *LP* 514 ἐμπείρας *LP*, cfr. Hom. *B* 426 515 θήσω πετηνοῖς . . θηρατήριον *C*, θήσω πετεινοῖς . . θοιναστήριον *c* 517 μόρῳ *cLP*, πότμῳ *BC* 518 *EK.* in ras. habet *P*, nota erasa in *L* | καταυλίσθητι Kirchhoff 519 χρὴ] δεῖ *C* 520 σὸν ἐννυχεῦσαι (deleto τὸν) Cobet 522 τ' *cLP*, δ' *BC* 525 δέχθαι] Aldina, δέχεσθαι libri 528 ἐμὰν πρώτα;] Lachmann, ἐμάν; πρῶτα libri 530 πληϊάδες *BC* 531 μέσας *c*, μέσον *LP*, μέσα *l* | οὐράνιός γε *P*, οὐρανοῦ cum rasura super οῦ *L* 532 sq. fort. κοίταν λείπετε (ἔγρεσθε e praecedente versu illatum esse monuit Dindorf)

ἔγρεσθε πρὸς φυλακάν.
οὐ λεύσσετε μηνάδος αἴγλαν;
ἀὼς δὴ πέλας ἀὼς
γίγνεται, καί τις προδρόμων
ὅδε γ' ἐστὶν ἀστήρ.
ΗΜ. *τίς ἐκληρώθη πρώτην φυλακήν;*
. . . .
ΗΜ. *Μυγδόνος ὅν φασι Κόροιβος.*
ΗΜ. *τίς γὰρ ἐπ' αὐτῷ;* ΗΜ. *Κίλικας Παίων*
στρατὸς ἤγειρεν, Μυσοὶ δ' ἡμᾶς.
ΗΜ. *οὐκοῦν Λυκίους πέμπτην φυλακὴν*
βάντας ἐγείρειν
καιρὸς κλήρου κατὰ μοῖραν.

ΧΟ. *καὶ μὴν θάμνῳ Σιμόεντος* antistr.
ἡμένα κοίτας
φοινίας ὑμνεῖ πολυχορδοτάτᾳ
γῆρυϊ παιδολέτωρ
μελοποιὸς ἀηδονὶς μέριμνα·
ἤδη δὲ νέμουσι κατ' Ἴδαν
ποίμνια· νυκτιβρόμου
σύριγγος ἰὰν κατακούω·
θέλγει δ' ὄμματος ἕδραν

---

534 ante hunc v. *ἡμιχ* nota in *c* | *λεύσετε B* 535 nota *ἡμιχ* in *L*, quam delevit *l* | *δὴ*] *δὲ c* 536 *γίνεται BCLP*, *δὴ γίνεται c*, fort. *πίλναται* | *καί τις*] *Τιτοῦς* Burges | *προδρόμων*] Musgrave, *προδόμων B*, *πρὸ δόμων CLP* 537 *ὅδε γ' c*, *οὐδέ γ' BC*, *ὅδε γάρ LP* | *ἀστὴρ* ex *ἀνὴρ* corr. *c*, in *ἀνὴρ* mut. *l* | in marg. chori notam habet *c* 538 *ἐκληρώθη*] Dobree, *ἐκηρύχθη* libri | *φυλακὰν c* | lacunam indicavit Hermann 539 hemich. notam om. *c* | *ὅν*] Hermann, *υἱόν* libri | *Κόροιβος*] L. Dindorf, *κόροιβον B*, *κόροιμβον*, sed litera *μ* puncto notata *C*, *κόρυβον cLP* 540 ante *κίλικας* personae notam om. *c* | *παιὼν c* 541 *ἤγειρε C* | ante *μυσοὶ* punctum ut hemichorii notam habet *B*, lineolam *L*, nihil *CcP* 542 hemich. notam om. *C* | fort. *Λυκίων* | *πέμπειν C* 544 *μάντας ἐγείρει BC* 546 *ΧΟ.* om. *C* | *θάμνῳ*] scripsi (vel *θάμνοις*), *ἀίω* libri 547 *ἡμένα*] *ἡμέρα c* 548 *φοινίας c*, *φονίας BCLP*, *φρονίας p* | *ὑμνεῖ*] schol. *γράφεται καὶ θρηνεῖ* | *πολυχορδοτάτᾱ* ex *πολυχορδοτάταν* ut vid. fecit *c* 549 *παιδολέτωρ c*, *ἁ παιδολέτωρ BCLP* (*ἁ* delevit *l*) 550 *μερίμνα B* i. e. *μερίμνᾳ* (et *μελοποιῷ . . μερίμνᾳ* Nauck) | *μελοποιὸν . . μέριμναν* (*μέριμναν* iam Heath) G. Ettig 551—630 exciderunt e *B* 552 *νυκτιβρόμου*] Pierson, *νυκτιδρόμου* (vel *νυκτὶ δρόμου*) libri 553 *ἴαν B*[2], *οἴαν C*

ὕπνος· ἄδιστος γὰρ ἔβα
βλεφάροις πρὸς ἀοῦς.
ΗΜ. τί ποτ᾽ οὐ πλάθει σκοπός, ὃν ναῶν
Ἕκτωρ ὤτρυνε κατόπτην;
ΗΜ. ταρβῶ· χρόνιος γὰρ ἄπεστιν.
ΗΜ. ἀλλ᾽ ἦ κρυπτὸν λόχον ἐσπαίσας
διόλωλε; τάχ᾽ ἂν εἴη φοβερόν μοι.
ΗΜ. αὐδῶ Λυκίους πέμπτην φυλακὴν
βάντας ἐγείρειν
ἡμᾶς κλήρου κατὰ μοῖραν.

ΟΔΥΣΣΕΥΣ.

Διόμηδες, οὐκ ἤκουσας· ἢ κενὸς ψόφος
στάζει δι᾽ ὤτων; τευχέων τινὰ κτύπον;

ΔΙΟΜΗΔΗΣ.

οὔκ, ἀλλὰ δεσμὰ πωλικῶν ἐξ ἀντύγων
κλάζει σιδήρου· κἀμέ τοι, πρὶν ᾐσθόμην
δεσμῶν ἀραγμὸν ἱππικῶν, ἔδυ φόβος.
ΟΔ. ὅρα κατ᾽ ὄρφνην μὴ φύλαξιν ἐντύχῃς.
ΔΙ. φυλάξομαί τοι κἂν σκότῳ τιθεὶς πόδα.
ΟΔ. ἢν δ᾽ οὖν ἐγείρῃς, οἶσθα σύνθημα στρατοῦ;
ΔΙ. Φοῖβον Δόλωνος οἶδα σύμβολον κλύων.
ΟΔ. ἔα·
εὐνὰς ἐρήμους τάσδε πολεμίων ὁρῶ.
ΔΙ. καὶ μὴν Δόλων γε τάσδ᾽ ἔφραζεν Ἕκτορος
κοιτας, ἐφ᾽ ᾧπερ ἔγχος εἵλκυσται τόδε.

---

555 ante hunc v. chori nota in *c* 556 βλεφάροις] Musgrave, βλεφάροισι libri | ἀῶ Blaydes 557—9 om. *L* in marg. add. *l* 557 πλάθει] Nauck, πελάθει *BCc*, πελάθη *LP*, πελάθει *p* | verba ὃν ναῶν om. B^2C 558 κατόπταν libri 559. 560. 562 *HM.* om. *BC*, 559 et 560 om. etiam *c* 559 post γὰρ inseruit τις *l* | ἄπεστι *BC*, ἄπεστιν, ἐμπεσὼν *c* 560 ἦ ᾽ς Blaydes | εἰσπαίσας *c*, εἰσπεσὼν *BCLP* 561 διόλωλε *P*, διόλωλεν *L*, ὄλωλεν B^2, ὄλωλε *C*, διώλεσεν *c* | τύχ᾽ B^2C | μοι circulo inclusit *l* | διόλωλε τάλας; φοβερόν μοι Herwerden 562 fort. Λυκίων 565 οὐκ om. B^2C | ἢ κενὸς ψόφος *cLP*, ὡς ἧκε ψόφος B^2C 569 ἀραγμῶν B^2C 570 ὄρφναν *LP* 571 τοι] τι B^2 572 et 573 personae nota deest in *c* 573 σύμβολον eraso *υ* post prius *ο P* 574 lineolam ante hunc v. habet *L* 575 ἔφραξεν B^2 576 εἵλκισται *c*

ΟΔ. τί δῆτ' ἂν εἴη; μῶν λόχος βέβηκέ ποι;
ΔΙ. ἴσως ἐφ' ἡμῖν μηχανὴν στήσων τινά.
ΟΔ. θρασὺς γὰρ Ἕκτωρ νῦν, ἐπεὶ κρατεῖ, θρασύς.
ΔΙ. τί δῆτ', Ὀδυσσεῦ, δρῶμεν; οὐ γὰρ ηὕρομεν
τὸν ἄνδρ' ἐν εὐναῖς, ἐλπίδων δ' ἡμάρτομεν.
ΟΔ. στείχωμεν ὡς τάχιστα ναυστάθμων πέλας.
σῴζει γὰρ αὐτὸν ὅστις εὐτυχῆ θεῶν
τίθησιν· ἡμῖν δ' οὐ βιαστέον τύχην.
ΔΙ. οὐκοῦν ἐπ' Αἰνέαν ἢ τὸν ἔχθιστον Φρυγῶν
Πάριν μολόντε χρὴ καρατομεῖν ξίφει.
ΟΔ. πῶς οὖν ἐν ὄρφνῃ πολεμίων ἀνὰ στρατὸν
ζητῶν δυνήσῃ τούσδ' ἀκινδύνως κτανεῖν;
ΔΙ. αἰσχρόν γε μέντοι ναῦς ἐπ' Ἀργείων μολεῖν
δράσαντε μηδὲν πολεμίους νεώτερον.
ΟΔ. πῶς δ' οὐ δέδρακας; οὐ κτανόντε ναυστάθμων
κατάσκοπον Δόλωνα σῴζομεν τάδε
σκυλεύματ'; ἢ πᾶν στρατόπεδον πέρσειν δοκεῖς;
ΔΙ. πείθεις, πάλιν στείχωμεν· εὖ δ' εἴη τύχη.

ΑΘΗΝΑ.

ποῖ δὴ βλέποντε Τρωικῶν ἐκ τάξεων
χωρεῖτε, λύπῃ καρδίαν δεδηγμένοι,
εἰ μὴ κτανεῖν σφῷν Ἕκτορ' ἢ Πάριν θεὸς
δίδωσιν; ἄνδρα δ' οὐ πέπυσθε σύμμαχον
Τροίᾳ μολόντα Ῥῆσον οὐ φαύλῳ τρόπῳ;
ὃς εἰ διοίσει νύκτα τήνδ' ἐς αὔριον,
οὔτ' ἄν σφ' Ἀχιλλεὺς οὔτ' ἂν Αἴαντος δόρυ

577 ποι cLP, πη C, σοι B^2 579 νῦν δ' ἐπεὶ c | κρατεῖ δορί Herwerden 580 εὕρομεν libri (ἕβρομεν c) 582 ναυστάθμον LP 583 ὅσπερ LP (ὅ ex ὡ corr. p) | εὐτυχεῖ c | fort. ὅστις εὐμενὴς θεῶν, deleto v. 584 585 αἰνείαν LP 586 μολόντε] Canter, μολόντες CcLP, μολῶντες B^2 | χρῆν LP | κατατομεῖν C 587 οὖν om. C 590 πολεμίοις c 591 δ' om. B^2 | δέδρᾱκας ex δέδορκας corr. c | fort. πῶς μὴ δεδρακότ'; | ναυστάθμω B^2C 594 nulla personae nota in L | πείθεις] Wilamowitz, πείθου libri | τύχη B^2C, τυχεῖν LP et Christ. pat. 2009 et 2038 | εὖ δοίη τύχη Vater 595 βλέποντε] scripsi (βλέποντες F. Gu. Schmidt), λιπόντε c, λιπόντες r 596 κραδίαν mut. in καρδίαν B^2 | δεδηγμένον B^2C, fort. δεδηγμένω 597 σφῶϊν B^2CLP | ἕκτορα c 600 τήνδ' ἐς αὔριον] Reiske, τὴν ἐς αὔριον cLP, τὴν ἐπαύριον B^2C 601 οὔτε σφ' LP | ἀχιλλεὺς B^2C, ἀχιλλέως cLP.

μὴ πάντα πέρσαι ναύσταθμ' Ἀργείων σχέθοι,
τείχη κατασκάψαντα καὶ πυλῶν ἔσω
λόγχῃ πλατεῖαν ἐσδρομὴν ποιούμενον.
τοῦτον κατακτὰς πάντ' ἔχεις. τὰς δ' Ἕκτορος
εὐνὰς ἔασον καὶ καρατόμους σφαγάς·
ἔσται γὰρ αὐτῷ θάνατος ἐξ ἄλλης χερός.

ΟΔ. δέσποιν' Ἀθάνα, φθέγματος γὰρ ᾐσθόμην
τοῦ σοῦ συνήθη γῆρυν· ἐν πόνοισι γὰρ
παροῦσ' ἀμύνεις τοῖς ἐμοῖς ἀεί ποτε·
τὸν ἄνδρα δ' ἡμῖν ποῦ κατηύνασται φράσον·
πόθεν τέτακται βαρβάρου στρατεύματος;

ΑΘ. ὅδ' ἐγγὺς ἧσται κοὐ συνήθροισται στρατῷ,
ἀλλ' ἐκτὸς αὐτὸν τάξεων κατηύνασεν
Ἕκτωρ, ἕως ἂν νὺξ ἀμείψηται φάος.
πέλας δὲ πῶλοι Θρῃκίων ἐξ ἁρμάτων
λευκαὶ δέδενται, διαπρεπεῖς ἐν εὐφρόνῃ·
στίλβουσι δ' ὥστε ποταμίου κύκνου πτερόν.
ταύτας, κτανόντε δεσπότην, κομίζετε,
κάλλιστον οἴκοις σκῦλον· οὐ γὰρ ἔσθ' ὅπου
τοιόνδ' ὄχημα χθὼν κέκευθε πωλικόν.

ΟΔ. Διόμηδες, ἢ σὺ κτεῖνε Θρῄκιον λεών,
ἢ 'μοὶ παράσχες, σοὶ δὲ χρὴ πώλους μέλειν.

ΔΙ. ἐγὼ φονεύσω, πωλοδαμνήσεις δὲ σύ·
τρίβων γὰρ εἶ τὰ κομψὰ καὶ νοεῖν σοφός.
χρὴ δ' ἄνδρα τάσσειν οὗ μάλιστ' ἂν ὠφελοῖ.

ΑΘ. καὶ μὴν καθ' ἡμᾶς τόνδ' Ἀλέξανδρον βλέπω
στείχοντα, φυλάκων ἔκ τινος πεπυσμένον
δόξας ἀσήμους πολεμίων μεμβλωκότων.

ΔΙ. πότερα σὺν ἄλλοις ἢ μόνος πορεύεται;

---

602 *μὴ οὐ* Nauck 606 *σφαγὰς καρᾱτόμους c* 607 *ἔσται cLP, ἥκει C* et mut. in *ἥξει* B^2 608 personae not. om., sed in marg. *ὀδυσσεὺς καὶ διομήδης* scr. *c* 609 *συνήθους* B^2Cc 611 *κατεύνασται* libri 614 *τάξεως c* | *κατεύνασεν* libri 615 *νύκτ'* Lenting *ἀμείψεται* ut vid. *c* 618 *στίλβουσιν ὥσπερ* B^2C | *πτερὸν κύκνου c* 619 *κτανόντε c, κτανόντες r* 621 *πωλικόν*] *τρωϊκόν c* 623 *ἤ μοι c* | *παράσχες*] Reiske, *πάρεχε* B^2C, *πάρες γε cLP* | *χρὴ δὲ σοὶ C* | *πώλων LP* 624 *πωλωδαμνήσεις C, πωλοδάμνησον* Naber 626 *ὠφελῇ C* 629 *δόξας*] fort. *ὀμφὰς*, cfr. 656 630 *σὺν* B^2Cc, *πρὸς L, σὺν* in ras. *p*

ΑΘ. μόνος· πρὸς εὐνὰς δ', ὡς ἔοικεν, Ἕκτορος
χωρεῖ, κατόπτας σημανῶν ἥκειν στρατοῦ.
ΔΙ. οὐκοῦν ὑπάρχειν τόνδε κατθανόντα χρή.
ΑΘ. οὐκ ἂν δύναιο τοῦ πεπρωμένου πλέον.
τοῦτον δὲ πρὸς σῆς χειρὸς οὐ θέμις θανεῖν.
ἀλλ' ᾧπερ ἥκεις μορσίμους φέρων σφαγάς,
τάχυν'· ἐγὼ δὲ τῷδε σύμμαχος Κύπρις
δοκοῦσ' ἀρωγὸς ἐν πόνοις παραστατεῖν,
σαθροῖς λόγοισιν ἐχθρὸν ἄνδρ' ἀμείψομαι.
καὶ ταῦτ' ἐγὼ μὲν εἶπον· ὃν δὲ χρὴ παθεῖν,
οὐκ οἶδεν οὐδ' ἤκουσεν ἐγγὺς ὢν λόγου.

ΑΛΕΞΑΝΔΡΟΣ.

σὲ τὸν στρατηγὸν καὶ κασίγνητον λέγω,
Ἕκτορ, καθεύδεις; οὐκ ἐγείρεσθαί σε χρῆν;
ἐχθρῶν τις ἡμῖν χρίμπτεται στρατεύματι,
ἢ κλῶπες ἄνδρες ἢ κατάσκοποί τινες.
ΑΘ. θάρσει· φυλάσσω σ' ἥδε πρευμενὴς Κύπρις.
μέλει δ' ὁ σός μοι πόλεμος, οὐδ' ἀμνημονῶ
τιμῆς, ἐπαινῶ δ' εὖ παθοῦσα πρὸς σέθεν.
καὶ νῦν ἐπ' εὐτυχοῦντι Τρωικῷ στρατῷ
ἥκω πορεύουσ' ἄνδρα σοι μέγαν φίλον,
τῆς ὑμνοποιοῦ παῖδα Θρῄκιον θεᾶς
Μούσης· πατρὸς δὲ Στρυμόνος κικλήσκεται.
ΑΛ. αἰεί ποτ' εὖ φρονοῦσα τυγχάνεις πόλει
κἀμοί, μέγιστον δ' ἐν βίῳ κειμήλιον
κρίνας σέ φημι τῇδε προσθέσθαι πόλει.
ἥκω δ' ἀκούσας οὐ τορῶς, φήμη δέ τις
φύλαξιν ἐμπέπτωκεν ὡς κατάσκοποι

---

631 δ' om. *LP* 633 χρή] fort. δεῖ 634 πλέον] fort. πέρα 635 χειρὸς οὐ θέμις *BCc*, οὐ θέμις χερὸς *LP* | θανεῖν *Cc* (θανεῖν θέμις *c*), κτανεῖν *L*, cuius in marg. θανεῖν scr. m. rec., κτανεῖν *BP* 636 ὥσπερ *BCcLP*, ᾧπερ *p* | σφαγὰς φέρων *c* 639 ἄνδρα λήψομαι F. Gu. Schmidt 640 ταῦτ' *BCcp*, τοῦτ' *LP* | ταῦτα σοὶ μὲν F. Gu. Schmidt 641 λόγου] ὅμως F. Gu. Schmidt 642 *ΑΛ.*] πάρις *LP* hic et 663 643 ἕκτωρ *P* ἕκτορ *p* | σ' ἐχρῆν *c*, σ' ἐχρή *B*, σε χρή *CLP* 644 ἐχρίμπτεται *C* | στρατεύματι corr. ex στρατεύμασι *c* 646 φυλάσσω] Naber, φυλάσσει libri 647 μέλλει *c* | πόλεμος] fort. πότμος 652 cfr. ad v. 279 653 ἀεί libri 654 δ' *c*, om. *BCLP* 655 σέ] δέ *c*

ἤκουσ' Ἀχαιῶν. χὡ μὲν οὐκ ἰδὼν λέγει,
ὃ δ' εἰσιδὼν μολόντας οὐκ ἔχει φράσαι·
ὧν εἵνεκ' εὐνὰς ἦλθον πρὸς Ἕκτορος.

ΑΘ. μηδὲν φοβηθῇς· οὐδὲν ἐν στρατῷ νέον·
Ἕκτωρ δὲ φροῦδος Θρῇκα κοιμήσων στρατόν.

ΑΛ. σύ τοί με πείθεις, σοῖς δὲ πιστεύων λόγοις
τάξιν φυλάξων εἶμ' ἐλεύθερος φόβου.

ΑΘ. χώρει· μέλειν γὰρ πάντ' ἐμοὶ δόκει τὰ σά,
ὥστ' εὐτυχοῦντας συμμάχους ἐμοὺς ὁρᾶν.
γνώσῃ δὲ καὶ σὺ τὴν ἐμὴν προθυμίαν.

ὑμᾶς αὐτῶ τοὺς ἄγαν ἐρρωμένους,
Λαερτίου παῖ, θηκτὰ κοιμίσαι ξίφη.
κεῖται γὰρ ὑμῖν Θρήκιος στρατηλάτης,
ἵπποι τ' ἔχονται, πολέμιοι δ' ᾐσθημένοι
χωροῦσ' ἐφ' ὑμᾶς· ἀλλ' ὅσον τάχιστα χρὴ
φεύγειν πρὸς ὁλκοὺς ναυστάθμων. τί μέλλετε
σκηπτοῦ 'πιόντος πολεμίων σῴζειν βίον;

ΧΟΡΟΣ.

ἔα ἔα·
βάλε βάλε βάλε βάλε,
θένε θένε· τίς ἀνήρ;
λεύσσετε, τοῦτον αὐδῶ.
κλῶπες οἵτινες κατ' ὄρφνην τόνδε κινοῦσι στρατόν.

---

658 *ἰδὼν* Christ. pat. 1876, *εἰδὼς BCcLP* 659 *ὃ δ' εἰσιδὼν cLP*, *ὅδ' ὡς ἰδὼν BC* | *μολῶντας B* | post hunc v. quaedam excidisse putat Nauck 660 *οὕνεκ'* vel *οὕνεκ'* libri | *εὐνὰς*] *ἦλθον c* 662 *κοσμήσων LP* 663 *πείθοις c* | *σοῖς τε πιστεύω LP*, cfr. Christ. pat. 1806 sq. *σοῖς τε πιστεύω λόγοις τάξιν τε τηρῶν* 665 *δοκεῖ Bc* 666 *ὡς LP* 668 *ὑμᾶς αὐτῶ*] scripsi, *ὑμᾶς δ' αὐτῶ BCLP*, *ὑμᾶς μὲν αὐδῶ c* 669 *κοιμίσαι B*, *κοιμῆσαι Cc*, *κομίσαι LP*, *κοιμίσαι p* 670 om. *c* | *ὑμῖν*] Valckenaer, *ἡμῖν BCLP* 671 *πολέμιοι τ'* scripto *δ* super *τ' C* 672 *τάχιστ' ἐχρῆν LP* 674 *σῴζειν*] Elmsley, *σῶσαι* libri, cfr. Phoen. 783 675 *χορὸς λυκίων* praescr. *Cc* et *χορὸς λύκων* add. scholia scribens *B* 675—682 hemichoriis distribuit Bothe, hemichoriis singulos tetrametros tribuit Dindorf 675 *ἔααε BC*, om. *c* | primum *βάλε* in ras. scr. *l*, om. *P* | *βά*λε βά*λε βά*λε* (erasum *λ*) *L* 675 sq. *βάλλε βάλλε βάλλε βάλλε θεῖνε θεῖνε· τίς δ' ἀνήρ;* Aldina (*τίς ὅδ' ἀνήρ;* Musgrave), cfr. Aristoph. Ach. 281 676 *θένε θένε θένε c* 677 *λεύσετε Bc*, *λεῦσσε λεῦσσε* Hartung | *ἀΰτῶ c*, *αἰδῶ P* 678 *ὄρφν* L*, *ὄρφναν lP* | *κινοῦσι cLP*, *κτενοῦσι BC*

δεῦρο δεῦρο πᾶς.
τούσδ᾽ ἔχω, τούσδ᾽ ἔμαρψα.
τίς ὁ λόχος; πόθεν ἔβας; ποδαπὸς εἶ;

ΟΔΥΣΣΕΥΣ.

οὔ σε χρὴ εἰδέναι· θανῇ γὰρ σήμερον δράσας κακῶς.
ΧΟ. *οὐκ ἐρεῖς ξύνθημα, λόγχην πρὶν διὰ στέρνων μολεῖν;*
ΟΔ. *ἴστω. θάρσει.* *ΧΟ.* *πέλας ἴθι. παῖε πᾶς.*
ΗΜ. *ἦ σὺ δὴ Ῥῆσον κατέκτας; ἀλλὰ τὸν κτενοῦντα σέ.*
ΟΔ. *ἴσχε πᾶς τις.* *ΗΜ.* *οὐ μὲν οὖν.* *ΟΔ.* *ἆ, φίλιον ἄνδρα μὴ θένῃς.*
ΗΜ. *καὶ τί δὴ τὸ σῆμα;* *ΟΔ.* *Φοῖβος.* *ΗΜ.* *ἔμαθον· ἴσχε πᾶς δόρυ.*
ΗΜ. *οἶσθ᾽ ὅποι βεβᾶσιν ἄνδρες;* *ΟΔ.* *τῇδέ πῃ κατείδομεν.*
ἕρπε πᾶς κατ᾽ ἴχνος αὐτῶν. *ΧΟ.* *ἦ βοὴν ἐγερτέον;*
ΗΜ. *ἀλλὰ συμμάχους ταράσσειν δεινὸν ἐκ νυκτῶν φόβῳ.*

ΧΟ. *τίς ἀνδρῶν ὁ βάς;* stroph.
τίς ὃ μέγα θράσος ἐπεύξεται

680 verba *δεῦρο δεῦρο πᾶς* ⟨*ἀνήρ*⟩ post *αὐδῶ* 677 transponit Hermann, *δεῦρο δεῦρο* ⟨*δεῦρο*⟩ *πᾶς* Dindorf 681 post *ἔχω* inseruit *καὶ* supra versum *l* | *τούσδ᾽ ἔχω ᾽γώ, τούσδ᾽* Blaydes 682 *τίς ὁ λόγος; πόθεν σὸν φέρεις πόδα πῶς εἶ LP* (*σὸν φέρεις πόδα* in ras. scripsit *L*) | *πόθεν . . εἶ*] *τίς εἶ πόθεν;* Dindorf 683 *οὔ σε χρὴ* (super *ὴ* scr. schol. *ν*) *εἰδέναι B*, *οὔ σ᾽ ἐχρῆν εἰδέναι C*, *οὐκ ἐχρῆν σ᾽ εἰδέναι c*, *οὐ χρὴ εἰδέναι σε LP* | *γὰρ*] fort. *δὲ* | *σήμερον* om. *BC* 684 *ΧΟ.* praefixum in *cP*, punctum in *B*, notam om. *CL*, hemichorio tribuit *l* | *σύνθημα LP* | [β]*πρὶν διὰ στέρνων* [α]*λόγχην* [γ]*μολεῖν C* 685 *ΧΟ. BCcL*, *ἡμιχ. P* | *πέλας ἴθι παῖε* (*παῖε* bis *c*) *πᾶς BCcL*, *πέλας τις ἴθι παῖε παῖε πᾶς τις ἄν l*, *πέλας τις ἴθι. παῖε πᾶς P* 686 *ΗΜ.* om. *c* | *ἦ̓* *C*, *ἢ̓ r*, *οὐ* superscr. *l* | *κτανοῦντα c* 687 *ΟΔ.* ex *ἡμιχ.* corr. rubricator in *P*, *ΧΟ. c* | *ἴσχε*] *ἴαχε B* | *τις* om. *BCc* | *ΗΜ. BCc*, *χορ. L* et corr. ex *ἡμιχ.* a rubricatore *P* | *μὲν οὖν*] Reiske, *μενοῦν c*, *μενῶ r* | *ΟΔ.*] Heath, *ΗΜ.* libri | *ἆ*] Musgrave, *ἆ ἆ* vel *ἃ ἃ* libri | *φίλιον cP* et primitus *L* (*ι* post *λ* erasum), *φίλον BC* | *θένε C* 688 *ΧΟ. καὶ L* | *ΗΜ.*] *ΧΟ. c* | *ἴσχε*] *ἴαχε B* 689 *ΗΜ.*] lineola in *L* | *ὅπῃ BCcL* et *η* ex *ο* correcto *P* | *βεβήκασιν c* | *ἅνδρες c*, *ἄνδρες r* | *ΟΔ. BC*, *ΗΜ. LP*, nota foramine exhausta in *c* | *πῇδέ πῃ B* | *κατίδομεν c* 690 *ΗΜ.* praefixit *P*, *ΧΟ. c* | *αὐτοῦ c* | *ΧΟ.*] *ΗΜ.* habet *c*, *ΗΜ.* in *ΧΟ.* mut. *C*, om. *L* 691 punctum praefixit *B*, notam om. *CL*, *ΧΟ.* habet *P*, nota exhausta in *c* | *ταράσειν C* | *ἐκ*] *ἐν C* | *φόβῳ* om. *L*, add. *l* 692 *ΧΟ.* om. *BCP*, lineola in *L*, quam in *ΧΟ.* mutavit *l*, nota exhausta in *c* 693 *ὁ μέγας BC*, *ὁ μέγα cLP*, *ὃς μέγα l* | *ὁ μέγα θρασὺς* Madvig

χέρα φυγὼν ἐμάν;
πόθεν νιν κυρήσω;
τίνι προσεικάσω,
ὅστις δι' ὄρφνης ἦλθ' ἀδειμάντῳ ποδὶ
διά τε τάξεων καὶ φυλάκων ἕδρας;
Θεσσαλὸς ἢ
παραλίαν Λοκρῶν νεμόμενος πόλιν;
ἢ νησιώτην σποράδα κέκτηται βίον;
τίς ἦν ἢ πόθεν ἐστὶν ἢ ποίας πάτρας;
ποῖον εὔχεται τὸν ὕπατον θεῶν;

ΗΜ. ἆρ' ἔστ' Ὀδυσσέως τοὔργον ἢ τίνος τόδε;
εἰ τοῖς πάροιθεν χρὴ τεκμαίρεσθαι, τί μήν;
ΗΜ. δοκεῖς γάρ; ΗΜ. τί μὴν οὔ;
ΗΜ. θρασὺς γοῦν ἐς ἡμᾶς.
ΗΜ. τίν' ἀλκήν; τίν' αἰνεῖς; ΗΜ. Ὀδυσσῆ.
ΗΜ. μὴ κλωπὸς αἴνει φωτὸς αἱμύλον δόρυ.

ΧΟ. ἔβα καὶ πάρος antistr.
κατὰ πόλιν, ὕπαφρον ὄμμ' ἔχων,
ῥακοδύτῳ στολᾷ
πυκασθείς, ξιφήρης
κρύφιος ἐν πέπλοις.
βίον δ' ἐπαιτῶν εἷρπ' ἀγύρτης τις λάτρις,

---

694 χέρα *C*, χεῖρα *BcLP* 696 om. *c* 697 ὄρφνας *lP* 700 παρὰ λιαν corr. in παρ' ἁλίαν in *c* 701 νησιώτης Nauck 702 τίς ἦν ἢ πόθεν ἐστὶν ἢ ποίας πάτρας *BC*, τίς ἦν πόθεν ἢ τίνος πάτρας *c*, τίς ἦν γὰρ ἢ πόθεν ἐστὶν ἢ ποίας πάτρας *LP*, τίς ἢ πόθεν ἢ ποίας πάτρας *l*, τίς ἦν; πόθεν; ποίας πάτρας; Hermann 703 ποῖον *BCc*, ὁποῖον *LP* | ποῖον ἐπεύχεται Hermann | θεῶν *P* sed ῶν in ras. scr. m. 1 vel 3 *P* 704 chori notam praefixit *L* | ὀδυσέως *B* et ex ὀδυσσέως corr. *l* 705 chori notam praefixit *c*, hemichorii *l* 705 πάροιθε *CLP* et ut vid. *c* | τί μήν *c*, τιμὴν *LP*, τί μὴν *p*, τί μὴ *l*, om. *BC* 706—727 punctis *B*, lineolis *L* personarum vices notavit, notas om. spatiis vacuis relictis *C* 706 δοκεῖ *c* | τί μὴν *BCc*, τιμὴν *LP*, τί μὴν *l* 707 εἰς *BCc* 708 personae nota obliterata in *c* | τίν' ἀλκήν *BCc*, τίς ἀλκήν *LP* | ὀδυσῆ *BcP* et ex ὀδυσσῆ corr. *L* 709 αἱμύλον *B* 710 lineolam in *ΧΟ.* mut. *l* 711 πτόλιν *LP* (in *L* erasum τ denuo inseruit *l*) | ὑπ' ἄφρον *c* 712 ante ῥακοδύτῳ habet ἐν *P*, rasuram *L* | στολῇ *LP* 714 κρύφιος] Morstadt, κρυφαῖος libri, fort. κρυφάδις | deficit *c* 715 ἀγύρτις λάτρις *BC*, τις inseruit schol. scribens *B*

ψαφαρόχρουν κάρα πολυπινές τ' ἔχων·
πολλὰ δὲ τὰν
βασιλίδ' ἑστίαν Ἀτρειδᾶν κακῶς
ἔβαξε δῆθεν ἐχθρὸς ὢν στρατηλάταις.
ὄλοιτ' ὄλοιτο πανδίκως,
πρὶν ἐπὶ γᾶν Φρυγῶν ποδὸς ἴχνος βαλεῖν.

ΗΜ. *εἴτ' οὖν Ὀδυσσέως εἴτε μή, φόβος μ' ἔχει·*
Ἕκτωρ γὰρ ἡμῖν τοῖς φύλαξι μέμψεται.
ΗΜ. *τί λάσκων;* *ΗΜ.* *δυσοίζων.*
ΗΜ. *τί δρᾶσαι; τί ταρβεῖς;*
ΗΜ. *καθ' ἡμᾶς περᾶσαι* *ΗΜ.* *τίν' ἀνδρῶν;*
ΗΜ. *οἳ τῆσδε νυκτὸς ἦλθον ἐς Φρυγῶν στρατόν.*

ΗΝΙΟΧΟΣ.

ἰώ, δαίμονος τύχη βαρεῖα. φεῦ φεῦ.
ΧΟ. *ἔα·*
σῖγα πᾶς ὕφιζ'· ἴσως γὰρ ἐς βόλον τις ἔρχεται.
ΗΝ. *ἰὼ ἰώ,*
συμφορὰ βαρεῖα Θρῃκῶν. *ΧΟ.* *συμμάχων τις ὁ στένων.*
ΗΝ. *ἰὼ ἰώ,*
δύστηνος ἐγὼ σύ τ', ἄναξ Θρῃκῶν·
ὦ στυγνοτάτην Τροίαν ἐσιδών,

---

716 *κάρα LP*, *κράτα B*, *κρᾶτα C* | *πολυπινῆ BCLP*, *πουλυπινές l* 717 *τὴν LP* 718 *ἑστιστίαν C* | *ἀτρειδῶν LP* 720 hemichorii notam habent *BCP*, rasura in *L* | *ὄλοιτο δ' ὄλοιτο l* 721 *γᾶ B*, fort. *γᾶς* 722 *χορ.* praefigunt *LP* | *ὀδυσέως B* et ex *ὀδυσσέως* corr. *l* 723 punctum praefixit *B* | *μέμφεται B* 725 *δρᾶσαι*] L. Dindorf, *δρᾷς BC*, *δρᾷς δὴ LP*, sed *δὴ* in ras. et *ᾶσ* superscr. *l* 727 *οἳ* ex *ἢ* corr. *p* 728 *ΗΝ.*] L. Dindorf (cfr. 747), om. *BC*, *ἡμιχ. P*, *οἰκέτης ῥήσου* in ras. *l* | *ἰὼ ἰώ H* | *τύχη*] Kirchhoff, *τύχα* libri | *ἰώ·* | *δαίμονος τύχη βαρεῖα . φεῦ* ⏑–⏑–⏑– Hartung 729 *ΧΟ.* praefixit *l*, punctum *B*, *ἡμιχ. P*, notam om. *CL* | *ἔα ἔα B* 730 *σῖγα*] L. Dindorf, *σίγα BC*, *σιγᾶ LP* | post *πᾶς* notam chori, quam in hemich. mutavit *l*, exhibent libri, delevit L. Dindorf | *ὕφιζ'*] Reiske, *ὕφιζος BC*, *ὕβριζ' LP* | *ἴσως γὰρ εἰσβολή* (*εἰς βόλον l*) *τις ἔρχεται LP*, *εἰς βόλον γὰρ ἴσως τις ἔρχεται BC* 731 et 733 *ΗΝ.*] punctum praefixit *B*, *ἡμιχ. LP*, quo eraso 733 *οἰκέτης* scr. *l*, notam om. *C* 731 *ἰὼ ἰώ BC*, *ἰώ L*, *ὦ Pl* | *Θρῃκῶν. ΧΟ. συμμάχων τις*] Hermann, *θρῃκῶν συμμάχων ΗΜ.* (punctum habet *B*, notam om. *C*, *ΧΟ.* requiri vidit L. Dindorf) *τίς* libri 733 *ἰὼ ἰὼ BC*, *ὦ LP*, *ἰώ l* | *θρῃκῶν* in ras. scr. *l* 734 *ὦ BCl ἰὼ LP* | *εἰσιδών LP*, *ἐσιδών l*, *ἰδών BC*

οἷόν σε βίου τέλος εἷλεν.

ΧΟ. τίς εἶ ποτ' ἀνδρῶν συμμάχων; κατ' εὐφρόνην
ἀμβλῶπες αὐγαὶ κοὔ σε γιγνώσκω τορῶς.

ΗΝ. ποῦ τιν' ἀνάκτων Τρῴων εὕρω;
ποῦ δῆθ' Ἕκτωρ
τὸν ὑπασπίδιον κοῖτον ἰαύει;
τίνι σημήνω διόπων στρατιᾶς
οἷα πεπόνθαμεν, οἷά τις ἡμᾶς
δράσας ἀφανῆ φροῦδος, φανερὸν
Θρῄξὶν πένθος τολυπεύσας;

ΧΟ. κακὸν κυρεῖν τι Θρῃκίῳ στρατεύματι
ἔοικεν, οἷα τοῦδε γιγνώσκω κλύων.

ΗΝ. ἔρρει στρατιά, πέπτωκεν ἄναξ
δολίῳ πληγῇ.
ἆ ἆ ἆ ἆ,
οἵα μ' ὀδύνη τείρει φονίου
τραύματος εἴσω. πῶς ἂν ὀλοίμην;
χρῆν γάρ μ' ἀκλεῶς Ῥῆσόν τε θανεῖν,
Τροίᾳ κέλσαντ' ἐπίκουρον;

ΧΟ. τάδ' οὐκ ἐν αἰνιγμοῖσι σημαίνει κακά·
σαφῶς γὰρ αὐδᾷ συμμάχους ὀλωλότας.

ΗΝ. κακῶς πέπρακται κἀπὶ τοῖς κακοῖσι πρὸς
αἴσχιστα· καίτοι δὶς τόσον κακὸν τόδε·
θανεῖν γὰρ εὐκλεῶς μέν, εἰ θανεῖν χρεών,
λυπρὸν μὲν οἶμαι τῷ θανόντι· πῶς γὰρ οὔ;
τοῖς ζῶσι δ' ὄγκος καὶ δόμων εὐδοξία.
ἡμεῖς δ' ἀβούλως κἀκλεῶς ὀλώλαμεν.
ἐπεὶ γὰρ ἡμᾶς ηὔνασ' Ἑκτόρεια χείρ,

---

737 γινώσκω *BLP* 738 *ΗΝ.*] *ΗΜ. BCP*, οἰκέτης in ras. *l* | Τρῴων] Hermann (Τρωΐων Scaliger), τρωικῶν libri 741 σημήνω *BCl*, σημανῶ *LP* | διόπων] Barnes, δι' ὀπῶν *B*, διοπτῶν *CLP*, διοπῶν *l* 743 ἀφανὴς Dobree 744 θρῄξὶν *lP*, θρῄξὶ *BCL* 746 γινώσκω *BCP* 747 *ΗΝ. BC*, οἰκέτης ῥήσου *P*, οἰκέτης in ras. *l* 749 ἆ ἆ ἆ ἆ *LP* (circulo cinxit et περισσόν adscr. *l*), ἅ ἅ ἅ *BC* 751 πῶς δ' ἂν ὀλοίμαν *LP* 753 κέλσαντες *BC* | ἐπικούρῳ Kirchhoff 754 σημαίνει eraso ς post ει *P* 755 αὐδᾶς *BC* 756 *ΗΜ. L* 757 αἴσχιστα ex αἰσχίστας corr. *p* 759 λυπρὸν γὰρ, superscr. μὲν, *C* 762 ηὔνασ' Ἑκτόρεια χείρ] Dindorf, εὔνασ' ἑκτορία (εί super ί scr. *L*) χείρ *LP*, ἑκτορέα χεὶρ εὔνασε *BC*

ξύνθημα λέξας, ηὕδομεν πεδοστιβεῖ
κόπῳ δαμέντες, οὐδ᾽ ἐφρουρεῖτο στρατὸς
φυλακαῖσι νυκτέροισιν, οὐδ᾽ ἐν τάξεσιν
ἔκειτο τεύχη, πλῆκτρά τ᾽ οὐκ ἐπὶ ζυγοῖς
ἵππων καθήρμοσθ᾽, ὡς ἄναξ ἐπεύθετο
κρατοῦντας ὑμᾶς κἀφεδρεύοντας νεῶν
πρύμναισι· φαύλως δ᾽ ηὕδομεν πεπτωκότες.
κἀγὼ μελούσῃ καρδίᾳ λήξας ὕπνου
πώλοισι χόρτον, προσδοκῶν ἑωθινὴν
ζεύξειν ἐς ἀλκήν, ἀφθόνῳ μετρῶ χερί.
λεύσσω δὲ φῶτε περιπολοῦνθ᾽ ἡμῶν στρατὸν
πυκνῆς δι᾽ ὄρφνης· ὡς δ᾽ ἐκινήθην ἐγώ,
ἐπτηξάτην τε κἀνεχωρείτην πάλιν·
ἤπυσα δ᾽ αὐτοῖς μὴ πελάζεσθαι στρατῷ,
κλῶπας δοκήσας συμμάχων πλάθειν τινάς.
οἳ δ᾽ οὐδέν· οὐ μὴν οὐδ᾽ ἐγὼ τὰ πλείονα.
ηὗδον δ᾽ ἀπελθὼν αὖθις ἐς κοίτην πάλιν.
καί μοι καθ᾽ ὕπνον δόξα τις παρίσταται·
ἵππους γὰρ ἃς ἔθρεψα κἀδιφρηλάτουν
Ῥήσῳ παρεστώς, εἶδον, ὡς ὄναρ δοκῶν,
λύκους ἐπεμβεβῶτας ἑδραίαν ῥάχιν·
θείνοντε δ᾽ οὐρᾷ πωλικῆς ῥινοῦ τρίχα
ἤλαυνον, αἳ δ᾽ ἔρρεγκον ἐξ ἀντηρίδων
θυμὸν πνέουσαι κἀνεχαίτιζον φόβην.

763 σύνθημα *BC* | εὕδομεν (εὔδομεν) libri | πεδοστιβεῖ] Morstadt, πεδοστιβεῖς libri 764 κόμπῳ *LP*, sed μ nunc erasum in *P* | δαμέντες ex δειμέντες corr. *p* 765 τάξαισιν *B* 766 πλῆκτρα] κλῆθρα Musgrave 767 ἐπύθετο *BC* 768 ὑμᾶς *P*, sed υ rescr. vel ex η corr. *p* | νηῶν *B* 769 πρύμνησι *BC* | εὕδομεν libri (εὔδομεν *B*) 770 λήξας] λήξ ex ζηλ corr. schol. scribens *B* 771 ἑωθινοὺς Kirchhoff, fort. ἑωθινὸν 772 ἐς *BC*, πρὸς *LP* | μέτρω *BP*, μετρῶ *L* 773 λεύσω *B* | στρατῶ *BC* 775—82 hoc ordine esse legendos: 76. 75. 80. 81. 77. 78. 79. 82 octo literis (α—η) a scholiasta vel alia manu antiqua indicatur in *B* isque ordo in *C*, nisi quod 79 ante 80 legitur 775 κἀνεχωρήτην *BC* 776 ἄπυσα δ᾽ αὐτοὺς *BC* | μὴ πλάθειν στρατῷ *B*, μὴ πελάθειν τῷ στρατῷ *C* 777 συμάχων *P* 778 οἶδ᾽ ἐγὼ *LP* 779 εὗδον libri (εὖδον *B*) | ἐς hic *B* 780 ὕπνους *C* 781 non a prima m., quae lineam vacuam reliquerat, certe non statim scriptus in *B* | ἃς *LP*, οὓς *BC* | καὶ διφρηλάτουν *CLP* 783 ῥάχιν *LP*, ῥοήν *BC* 784 θείνοντε *LP*, θείνοντες *BC* | δ᾽ om. *C* | τρίχα om. *BC* 785 ἔρρεγκον] Nauck, ἔρεγκον libri | ἐξ ἀρτηριῶν Musgrave 786 θυμὸν] fort. ἀτμὸν | πνείουσαι *B* | φόβην] Reiske, φόβῳ libri

ἐγὼ δ' ἀμύνων θῆρας ἐξεγείρομαι
πώλοισιν· ἔννυχος γὰρ ἐξώρμα φόβος.
κλύω δ' ἐπάρας κρᾶτα μυχθισμὸν νεκρῶν.
θερμὸς δὲ κρουνὸς δεσπότου παρὰ σφαγαῖς
βάλλει με δυσθνῄσκοντος αἵματος νέου.
ὀρθὸς δ' ἀνᾴσσω χειρὶ σὺν κενῇ δορός.
καί μ' ἔγχος αὐγάζοντα καὶ θηρώμενον
παίει παραστὰς νεῖραν ἐς πλευρὰν ξίφει
ἀνὴρ ἀκμάζων· φασγάνου γὰρ ᾐσθόμην
πληγῆς, βαθεῖαν ἄλοκα τραύματος λαβών.
πίπτω δὲ πρηνής· οἳ δ' ὄχημα πωλικὸν
λαβόντες ἵππων ἵεσαν φυγῇ πόδα.
ἆ ἆ.
ὀδύνη με τείρει, κοὐκέτ' ὀρθοῦμαι τάλας.
καὶ ξυμφορὰν μὲν οἶδ' ὁρῶν, τρόπῳ δ' ὅτῳ
τεθνᾶσιν οἱ θανόντες οὐκ ἔχω φράσαι,
οὐδ' ἐξ ὁποίας χειρός. εἰκάσαι δέ μοι
πάρεστι λυπρὰ πρὸς φίλων πεπονθέναι.

ΧΟ. ἡνίοχε Θρῃκὸς τοῦ κακῶς πεπραγότος,
μηδὲν δύσοιζ' οὐ πολεμίους δρᾶσαι τάδε.
Ἕκτωρ δὲ καὐτὸς συμφορᾶς πεπυσμένος
χωρεῖ· συναλγεῖ δ', ὡς ἔοικε, σοῖς κακοῖς.

ΕΚΤΩΡ.

πῶς, ὦ μέγιστα πήματ' ἐξειργασμένοι,
μολόντες ὑμᾶς πολεμίων κατάσκοποι
λήθουσιν αἰσχρῶς, καὶ κατεσφάγη στρατός,
κοὔτ' εἰσιόντας στρατόπεδ' ἐξαπώσατε
οὔτ' ἐξιόντας; τῶνδε τίς τίσει δίκην

---

787 *ἀμύνειν P* 788 suspectus 789 *μυχθισμὸν*] *μυχθισμῶν lp* 790 *σφαγῆς* Musgrave 791 *δυσθνητοῦντος* Nauck 792—835 om. *B*, sed 812—35 habet post v. 855 in folio verso lineis rubris a m. prima transfixos 792 *ὀρθὸς C*, *ὀρθῶς* B^2LP | *ἀναΐσσω* libri 794 *νεῖραν*] Bothe (*νειρὰν* iam Musgrave), *νείαιραν* B^2CL, *νείεραν P* | *πλευρὰν* B^2C, *πλευροῦ LP* | *νύσσει παραστὰς νειάτην πλευρὰν* Christ. pat. 1213 | *νείατ' ἐς πλευρὰ* Dobree 796 *πληγὴν C*, *πληγῇ* Musgrave | *ἄλοκα* B^2, *ὦλκα* Christ. pat. 1215 802 *χερός C* 805 *δύσοιζ' οὐ*] Musgrave, *δυσοίζου* libri 806 *συμφορὰς* Lenting, malim *ξυμφορὰν* 809 *ὑμᾶς* ex *ἡμᾶς* fecit *C* 811 *ἐξηπύσατε* Naber, fort. *ἐξοπώπατε* 812 *τίσει LP*, sed *τί* in ras. *L*, *δώσει BC*, vel *δώσει* vel *τίσει* in libris Christ. pat. 2309, cfr. Med. 802

πλὴν σοῦ; σὲ γὰρ δὴ φύλακά φημ' εἶναι στρατοῦ.
φροῦδοι δ' ἄπληκτοι, τῇ Φρυγῶν κακανδρίᾳ
πόλλ' ἐγγελῶντες τῷ στρατηλάτῃ τ' ἐμοί.
εὖ νυν τόδ' ἴστε, Ζεὺς ὀμώμοται πατήρ·
ἤτοι μάραγνά γ' ἢ καρανιστὴς μόρος
μένει σε δρῶντα τοιάδ', ἢ τὸν Ἕκτορα
τὸ μηδὲν εἶναι καὶ κακὸν νομίζετε.

ΧΟ. *ἰὼ ἰώ,* antistr.
μέγ' ἄρ' ἐμοὶ μέγ', ὦ πολίοχον κράτος,
κακὸν ἔμολεν, ὅτε σοι
ἄγγελος ἦλθον,
ἀμφὶ ναῦς πύρ' αἴθειν,
ἐπεὶ ἄγρυπνον ὄμμ' ἐν εὐφρόνῃ
οὔτ' ἐκοίμισ' οὔτ' ἔβριξ',
οὐ τὰς Σιμοεντιάδας πηγάς· μή μοι
κότον, ὦ ἄνα, θῇς· ἀναίτιος γὰρ
ἔγωγε πάντων.
ἢν δὲ χρόνῳ παράκαιρον ἔργον ἢ λόγον
πύθῃ, κατά με γᾶς
ζῶντα πόρευσον· οὐ παραιτοῦμαι.

ΗΝ. *τί τοῖσδ' ἀπειλεῖς βάρβαρός τε βαρβάρου*
γνώμην ὑφαιρῇ τὴν ἐμήν, πλέκων λόγους;
σὺ ταῦτ' ἔδρασας· οὐδέν' ἂν δεξαίμεθα

---

813 *φημι φύλακά φημ'* *C*, sed *φημι* punctis notatum 816 *νῦν* *BCP* | *ὀμώμοται*] Matthiae, *ὀμώμοσται* vel *ὀμώμοσται* libri 817 *ἤ* *L* *ἤτοι* *l* | *μαράγνα* *BLP* 818 *μενεῖ* *LP* 821 *μέγ' ἄρ' ἐμοὶ μέγ'*] Dindorf, *μέγας ἐμοὶ* (*μοι* *LP*, sed cum ras. ante *μ* *L*) *μέγας* libri | *πολίοχον*] Vater, *πολιοῦχον* libri 822 *κακὸν ἔμολεν*] Dindorf, *τότ' ἄρ' ἔμολον* (*ἔμολ'* *LP*, *λον* super *λ'* scr. *l*) libri 824 *ἀμφὶ* *BC*, *περὶ* *P*, *περὶ* in ras. scr. *l* (fort. rescripsit tantum) | *ναῦς πύρ' αἴθειν*] Kirchhoff et Badham, *ναυσὶ πυραίθειν Ἀργείων στρατόν* (*στρατόν* erasum in *L*, om. *P*) libri 826 *ἐκοίμησ'* *C* | *ἔβριξα* *LP*, *ἔβρισα* *p*, *ἔβρισ'* *BC* 827 *οὐ τὰς Σιμοεντιάδας*] Hermann, *οὐ μὰ τὰς σιμοεντίδας* (*σιμουντίδας* *C*) libri | *παγάς* Badham 828 *ὦ ἄναξ* *P*, *ὦναξ* *L* 829 *ἐγὼ* *LP* | *πάντων τῶνδε κυρῶ 'γώ* Dindorf 830 *ἢν*] Matthiae, *εἰ* libri | *παράκαιρον*] Vater, *παρὰ καιρὸν* libri, *πάρωρον* W. Headlam | *ἔργ'* *LP* 831 *κατά με γᾶ* *B*, *κατά με* *C*, *κατὰ γᾶς με* *LP* (*γᾶς με* in ras. *L*) 832 *οὐ* *BC*, *οὐ γὰρ* *LP* (sed *γὰρ* in *L* super v. add. *l*) 834 *ὑφαιρῇ* *LP*, *ὑφαιρεῖ* *BC*, *ἀφαιρῇ* Christ. pat. 2324 835 *οὐδὲν* *BCP*

οὔθ' οἱ θανόντες οὔτ' ἂν οἱ τετρωμένοι
ἄλλον· μακροῦ γε δεῖ σε καὶ σοφοῦ λόγου,
ὅτῳ με πείσεις μὴ φίλους κατακτανεῖν,
ἵππων ἐρασθείς, ὧν ἕκατι συμμάχους
τοὺς σοὺς φονεύεις, πόλλ' ἐπισκήπτων μολεῖν.
ἦλθον, τεθνᾶσιν· εὐπρεπέστερον Πάρις
ξενίαν κατῄσχυν' ἢ σὺ συμμάχους κτανών.
μὴ γάρ τι λέξῃς ὥς τις Ἀργείων μολὼν
διώλεσ' ἡμᾶς· τίς δ' ὑπερβαλὼν λόχους
Τρώων ἐφ' ἡμᾶς ἦλθεν, ὥστε καὶ λαθεῖν;
σὺ πρόσθεν ἡμῶν ἦσο καὶ Φρυγῶν στρατός.
τίς οὖν τέτρωται, τίς τέθνηκε συμμάχων
τῶν σῶν, μολόντων ὧν σὺ πολεμίων λέγεις;
ἡμεῖς δὲ καὶ τετρώμεθ', οἱ δὲ μειζόνως
παθόντες οὐχ ὁρῶσιν ἡλίου φάος.
ἁπλῶς δ' Ἀχαιῶν οὐδέν' αἰτιώμεθα.
τίς δ' ἂν χαμεύνας πολεμίων κατ' εὐφρόνην
Ῥήσου μολὼν ἐξηῦρεν, εἰ μή τις θεῶν
ἔφραζε τοῖς κτανοῦσιν; οὐδ' ἀφιγμένον
τὸ πάμπαν ᾖσαν· ἀλλὰ μηχανᾷ τάδε.
ΕΚ. χρόνον μὲν ἤδη συμμάχοισι χρώμεθα
ὅσονπερ ἐν γῇ τῇδ' Ἀχαιικὸς λεώς,
κοὐδὲν πρὸς αὐτῶν οἶδα πλημμελὲς κλύων·
ἐν σοὶ δ' ἂν ἀρχοίμεσθα. μή μ' ἔρως ἕλοι
τοιοῦτος ἵππων ὥστ' ἀποκτείνειν φίλους.
καὶ ταῦτ' Ὀδυσσεύς· τίς γὰρ ἄλλος ἄν ποτε
ἔδρασεν ἢ 'βούλευσεν Ἀργείων ἀνήρ;
δέδοικα δ' αὐτὸν καί τί μου θράσσει φρένας,
μὴ καὶ Δόλωνα συντυχὼν κατέκτανεν·

---

836 θανόντες *BC*, μαθόντες *LP*   837 γε *BCL*, δὲ *P* | σοφοῦ] σφοδροῦ Christ. pat. 2325, fort. σαφοῦς   842 σὺ om. *P*, super v. add. *p*   843 λέξεις *BC*   846 ἡμᾶς corr. in ἡμῶν *p*   848 μολώντων mut. in μολόντων *BC* | ὧν] Bothe, ὡς libri   849 μείζονα Elmsley, sed fort. 850 delendus   851 ἀχαιοὺς *B* et ex ἀχαιῶν corr. *C* | οὐδὲν *BCP*   852 ἂν lemma schol., αὖ *BCLP*   854 θανοῦσιν superscr. κτ *C*, fort. κτείνουσιν   855 ᾖσαν *BC*, ἶσαν *L*, ἴσαν *P*   857 ἀχαϊκὸς *B*   858 αὐτῆς *P* | πλημμελὲς οἶδα *LP*   859 δ' αὖ *C*, δ' ἄρ' *D* | ἀρχοίμεθα *BC*   860 fort. τοσοῦτος   861 ὀδυσεύς *B*, Ὀδυσσέως Fix   863 αὐτῶν *BC*   864 κατέκτανεν] Matthiae, κατακτάνῃ libri

χρόνον γὰρ ἤδη φροῦδος ὢν οὐ φαίνεται.
ΗΝ. οὐκ οἶδα τοὺς σοὺς οὓς λέγεις Ὀδυσσέας·
ἡμεῖς δ' ὑπ' ἐχθρῶν οὐδενὸς πεπλήγμεθα.
ΕΚ. σὺ δ' οὖν νόμιζε ταῦτ', ἐπείπερ σοι δοκεῖ.
ΗΝ. ὦ γαῖα πατρίς, πῶς ἂν ἐνθάνοιμί σοι;
ΕΚ. μὴ θνῆσχ'· ἅλις γὰρ τῶν τεθνηκότων ὄχλος.
ΗΝ. ποῖ δὴ τράπωμαι δεσποτῶν μονούμενος;
ΕΚ. οἶκός σε κεύθων οὑμὸς ἐξιάσεται.
ΗΝ. καὶ πῶς με κηδεύσουσιν αὐθεντῶν χέρες;
ΕΚ. ὅδ' αὖ τὸν αὐτὸν μῦθον οὐ λήξει λέγων.
ΗΝ. ὄλοιθ' ὁ δράσας. οὐ γὰρ ἐς σὲ τείνεται
γλῶσσ', ὡς σὺ κομπεῖς· ἡ Δίκη δ' ἐπίσταται.
ΕΚ. λάζυσθ'· ἄγοντες δ' αὐτὸν ἐς δόμους ἐμούς,
οὕτως ὅπως ἂν μὴ 'γκαλῇ πορσύνετε·
ὑμᾶς δ' ἰόντας τοῖσιν ἐν τείχει χρεὼν
Πριάμῳ τε καὶ γέρουσι σημῆναι νεκροὺς
θάπτειν κελεύθου λεωφόρου πρὸς ἐκτροπάς.

ΧΟ. τί ποτ' εὐτυχίας ἐκ τῆς μεγάλης
Τροίαν ἀνάγει πάλιν ἐς πένθη
δαίμων ἄλλος, τί φυτεύων;
ἔα ἔα. ὦ ὦ.
τίς ὑπὲρ κεφαλῆς θεός, ὦ βασιλεῦ,
τὸν νεόδμητον νεκρὸν ἐν χειροῖν
φοράδην πέμπει;
ταρβῶ λεύσσων τόδε πῆμα.

---

866 *ὀδυσέας B* 868 *δ' οὖν LP, δὲ B, δὴ C* 869 *HN.* om. *C* 870 *HN. C* 871 *HN.* om. *C* | *δὴ*] Porson, *δὲ* libri | *τράπομαι LP, τράπωμαι p* 872 *οἶκος*] *ὁ μαῖκος D* i. e. *δόμος* et *οἶκος* ut videtur 873 *κηδεύσωσιν BC* 874 fort. *λήγει* 875 *εἰσέτι τείνεται B* 875 sq. cfr. Christ. pat. 276 *ὄλοιθ' ὁ δράσας· ἡ δίκη δ' ἐπίσταται* (omissis verbis *οὐ . . κομπεῖς*) 877 *δ'* om. libri, supplevit Morstadt 878 *μὴ καλῇ BC* | *πορσύνεται P* 879 *ἐν τέλει* Musgrave 881 *κελεύθου*] Dobree, *κελεύειν* libri | *λεωφόρου*] Vater, *λαοφόρου LP, λαοφόρους BCp* (*λεωφόρους* Valckenaer) 883 *ἀνάγει D, ἄγει BCLP* | *πένθος D* 884 *ἄλλος, τί*] Tyrwhitt, *ἄλλοτε BC, ἄλλό τι LP*, fort. *ἄλλων τί* 885 *ἔα ἔα ὦ ὦ* om. *LP*, in marg. add. *l* | *ὦ ὦ* delet Dindorf 887 *νεόδμητον C* et Christ. pat. 1456, *νεόχμητον B, νεόκμητον LP* | *χειροῖν*] Valckenaer, *χεροῖν* libri 888 *πέμπω C, αἴρει* ex Christ. pat. 1456 Nauck 889 om. *LP* | *λεύσων BC* | *πῆμα*] *φάσμα* Nauck

ΜΟΥΣΑ.

ὁρᾶν πάρεστι, Τρῶες· ἡ γὰρ ἐν σοφοῖς
τιμὰς ἔχουσα Μοῦσα συγγόνων μία
πάρειμι, παῖδα τόνδ' ὁρῶσ' οἰκτρῶς φίλον
θανόνθ' ὑπ' ἐχθρῶν· ὅν ποθ' ὁ κτείνας χρόνῳ
δόλιος Ὀδυσσεὺς ἀξίαν τίσει δίκην.

ἰαλέμῳ αὐθιγενεῖ, stroph.
τέκνον, σ' ὀλοφύρομαι, ὦ
ματρὸς ἄλγος, οἷαν
ἔκελσας ὁδὸν ποτὶ Τροίαν·
ἦ δυσδαίμονα καὶ μελέαν,
ἀπὸ μεμφομένας ἐμοῦ πορευθείς,
ἀπὸ δ' ἀντομένου πατρὸς βιαίως.
ὤμοι ἐγὼ σέθεν, ὦ φιλία
φιλία κεφαλά, τέκνον, ὤμοι.

ΧΟ. *ὅσον προσήκει μὴ γένους κοινωνίαν*
ἔχοντι λύπῃ τὸν σὸν οἰκτείρω γόνον.

ΜΟΥ. *ὄλοιτο μὲν Οἰνεΐδας,* antistr.
ὄλοιτο δὲ Λαρτιάδας,
ὅς μ' ἄπαιδα γέννας
ἔθηκεν ἀριστοτόκειαν·
ἅ θ' Ἕλλανα λιποῦσα δόμον
Φρυγίων λεχέων ἔπλευσε πλαθεῖσ'
ἀπό τ' ὤλεσε μὲν σ' ἕκατι Τροίας,
φίλτατε, μυριάδας τε πόλεις
ἀνδρῶν ἀγαθῶν ἐκένωσεν.

---

894 *ὀδυσεὺς B* 898 in hoc v. desinit *B* (foliis perditis periere cetera) 900 *ἀπομεμφομένας* B^2, *ἀποπεμφομένας C*, *ἀπομεμψαμένας L* (*π* super prius *μ* scr. *l*), *ἀποπεμψαμένας P*: praepositionem separavit Reiske 903 *φιλία*] fort. *Ῥήσου* 904 fort. *ὅσῃ* 905 *λύπῃ LP*, *λύπην* B^2C, *λύπης* Kirchhoff, *κἀγὼ* ex Christ. pat. 1283 et 1160 Nauck 906 *οἰνείδας* B^2LP, *οἰνίδας C* 907 *Λαρτιάδας*] Heath, *λαρτιάδης* B^2C, *λαρτίδας LP*, *λαερτίδας l* 909 *ἔθηκεν* B^2Cl, *ἔθηκ' LP* | *ἀριστοτόκειαν*] Cobet, *ἀριστοτόκου* libri, *ἀριστοτόκοιο* Aldina 910 *Ἕλλανα*] Badham, *ἑλένα* libri | *λιποῦσα* mut. in *προλιποῦσα l* 912 *ἀπὸ δ'* (praetuli *ἀπό τ'*) *ὤλεσε*] H. Henning, *ὑπ' Ἰλίῳ ὤλεσε* libri | *σ' ἕκατι Τροίας*] E. Bruhn, *σὲ* (*σὲ* erasit *l*) *κατὰ τροίας* libri (*τροίαν P*) 913 *πόλεων* Reiske

ἦ πολλὰ μὲν ζῶν, πολλὰ δ' εἰς Ἅιδου μολών,
Φιλάμμονος παῖ, τῆς ἐμῆς ἥψω φρενός·
ὕβρις γάρ, ἥ σ' ἔσφηλε, καὶ Μουσῶν ἔρις
τεκεῖν μ' ἔθηκε τόνδε δύστηνον γόνον.
περῶσα γὰρ δὴ ποταμίους διὰ ῥοὰς
λέκτροις ἐπλάθην Στρυμόνος φυταλμίοις,
ὅτ' ἤλθομεν γῆς χρυσόβωλον ἐς λέπας
Πάγγαιον ὀργάνοισιν ἐξησκημέναι
Μοῦσαι μεγίστην εἰς ἔριν μελῳδίας
κλεινῷ σοφιστῇ Θρῃκί, κἀτυφλώσαμεν
Θάμυριν, ὃς ἡμῶν πόλλ' ἐδέννασεν τέχνην.
κἀπεὶ σὲ τίκτω, συγγόνους αἰδουμένη
καὶ παρθενείαν ἧκ' ἐς εὐύδρου πατρὸς
δίνας· τρέφειν δέ σ' οὐ βρότειον ἐς χέρα
Στρυμὼν δίδωσιν, ἀλλὰ πηγαίαις κόραις.
ἔνθ' ἐκτραφεὶς κάλλιστα παρθένων ὕπο,
Θρῄκης ἀνάσσων πρῶτος ἦσθ' ἀνδρῶν, τέκνον.
καί σ' ἀμφὶ γῆν μὲν πατρίαν φιλαιμάτους
ἀλκὰς κορύσσοντ' οὐκ ἐδείμαινον θανεῖν·
Τροίας δ' ἀπηύδων ἄστυ μὴ κέλσαι ποτέ,
εἰδυῖα τὸν σὸν πότμον· ἀλλά σ' Ἕκτορος
πρεσβεύμαθ' αἵ τε μυρίαι γερουσίαι
ἔπεισαν ἐλθεῖν κἀπικουρῆσαι φίλοις.
καὶ τοῦδ', Ἀθάνα, παντὸς αἰτία μόρου,
οὐδὲν δ' Ὀδυσσεὺς οὐδ' ὁ Τυδέως τόκος
ἔδρασε δράσας· μὴ δόκει λεληθέναι.

---

916 *φιλάμενος C* 919 *διὰ ῥοὰς*] L. Dindorf, *διαρροὰς* libri 920 *ἐπλάσθην P* | *φυλταμίοις C* 921 *ἐς* hic *C* 922 *ἐξησκημένοι LP*, mut. in *ἐξησκημέναι p* 924 *κλεινῷ*] repudiavit Bothe, proposuit Dobree, *κείνω* libri | *θρῃκί* om. *C* | *κἀτυφλώσαμεν C*, *κἀκτυφλώσαμεν* B^2*LP* 925 *θάμυρον* mut. in *θάμυριν p* 927 *παρθενείαν Lp*, *παρθενίαν* B^2*CP* | *ἧκ' ἐς LP*, *ἧ* spatio relicto B^2*C* | *εὐύδρους* Blaydes 928 *τρέφει P* | *βρότειον*] Elmsley, *βροτείαν* libri | *ἐς χέρα* B^2*C*, *ἐσχάραν LP* (etiam Christ. pat. 1348 exhibet *βροτείαν ἐσχάραν*) 929 *δρυμῶν* B^2*C* 932 *φιλαρμάτους* Badham 938 *καὶ*] *σὺ* Kirchhoff 939 *οὐδ' ὁ CLP*, *οὐδὲ* B^2 940 in B^2 post hunc v. spatium 19 versuum vacuum a librario relictum est, in *C* hic versus extremus fol. 261^v quaternionis *ίβ* est, fol. 262^r quat. *ίγ* plus quam dimidium paginae, spatium 19 versuum, vacuum relictum, in ima pagina 6 tantum versus scripti a simili sed alia manu et alio atramento. Ea manus quae minio personarum notas abhinc scripsit alia est

καίτοι πόλιν σὴν σύγγονοι πρεσβεύομεν
Μοῦσαι μάλιστα κἀπιχρώμεθα χθονί,
μυστηρίων τε τῶν ἀπορρήτων φανὰς
ἔδειξεν Ὀρφεύς, αὐτανέψιος νεκροῦ
τοῦδ' ὃν κατακτείνεις σύ· Μουσαῖόν τε, σὸν
σεμνὸν πολίτην κἀπὶ πλεῖστον ἄνδρ' ἕνα
ἐλθόντα, Φοῖβος σύγγονοί τ' ἠσκήσαμεν.
καὶ τῶνδε μισθὸν παῖδ' ἔχουσ' ἐν ἀγκάλαις
θρηνῶ· σοφιστὴν δ' ἄλλον οὐκ ἐπάξομαι.

ΧΟ. μάτην ἄρ' ἡμᾶς Θρῄκιος τροχηλάτης
ἐδέννασ', Ἕκτορ, τῷδε βουλεῦσαι φόνον.

ΕΚ. ἤδη τάδ'· οὐδὲν μάντεων ἔδει φράσαι
Ὀδυσσέως τέχναισι τόνδ' ὀλωλότα.
ἐγὼ δὲ γῆς ἔφεδρον Ἑλλήνων στρατὸν
λεύσσων, τί μὴν ἔμελλον οὐ πέμψειν φίλοις
κήρυκας, ἐλθεῖν κἀπικουρῆσαι χθονί;
ἔπεμψ'· ὀφείλων δ' ἦλθε συμπονεῖν ἐμοί.
οὐ μὴν θανόντι γ' οὐδαμῶς συνήδομαι.
καὶ νῦν ἕτοιμος τῷδε καὶ τεῦξαι τάφον
καὶ ξυμπυρῶσαι μυρίων πέπλων χλιδήν·
φίλος γὰρ ἐλθὼν δυστυχῶς ἀπέρχεται.

ΜΟΥ. οὐκ εἶσι γαίας ἐς μελάγχιμον πέδον·
τοσόνδε Νύμφην τὴν ἔνερθ' αἰτήσομαι,
τῆς καρποποιοῦ παῖδα Δήμητρος θεᾶς,
ψυχὴν ἀνεῖναι τοῦδ'· ὀφειλέτις δέ μοι
τοὺς Ὀρφέως τιμῶσα φαίνεσθαι φίλους.
κἀμοὶ μὲν ὡς θανών τε κοὐ λεύσσων φάος

---

941 σὰν *C* 942 κἀπιχρώμεθα *LP*, χρώμεθα B^2C 943 φάνας B^2LP 945 τοῦδ' ὃν κατακτείνεις σύ] Bothe, τοῦδ' οὖν κατακτείνασα B^2C, τοῦδ' οὕνεκα κτείνασα *LP*, τοῦδ' ὃν κατέκτανες σύ Paley, τοῦδ' ὃν κατέκτεινας σύ Cobet 947 φοῖβον et ἠτήσαμεν *C* 948 τόνδε in τῶνδε corr. *p* 949 δ' delendum videtur 950 τροχηλάτης] Valckenaer, στρατηλάτης libri 951 ἕκτωρ *LP* (ω in ο mut. *p*) | φόνων mut. in φόνον *L*, φόνον (ο in ras.) *P* 952 *EK.* om. B^2CL | ᾔδειν *LP* | μάντεως *LP* 955 μὴν] δῆτ' Herwerden | πέμψειν B^2Cl, πέμπειν *LP* 958 θανόντι σ' *C* 959 ἑτοίμως B^2 960 συμπυρῶσαι *LP*, ξυμπονῆσαι *C* 961 ἀποίχεται Vater, ἀπώλετο Kirchhoff, διοίχεται Nauck 962 μελάγχιμον B^2, μελαγχεῖμον *LP*, μελάγχειμον *C* 965 ὀφειλέτης *C* et mut. in ὀφειλέτις *P* 966 ὀρφέας superscr. ω *C* | φαίνεται *P* φαίνεσθαι *p*

ἔσται τὸ λοιπόν· οὐ γὰρ ἐς ταὐτόν ποτε
οὔτ᾽ εἶσιν οὔτε μητρὸς ὄψεται δέμας,
κρυπτὸς δ᾽ ἐν ἄντροις τῆς ὑπαργύρου χθονὸς
ἀνθρωποδαίμων κείσεται βλέπων φάος,
Βάκχου προφήτης ὥστε Παγγαίου πέτραν
ᾤκησε σεμνὸς τοῖσιν εἰδόσιν θεός.
ῥᾷον δὲ πένθος τῆς θαλασσίας θεοῦ
οἴσω· θανεῖν γὰρ καὶ τὸν ἐκ κείνης χρεών.
θρήνοις δ᾽ ἀδελφαὶ πρῶτα μὲν σ᾽ ὑμνήσομεν,
ἔπειτ᾽ Ἀχιλλέα Θέτιδος ἐν πένθει ποτέ.
οὐ ῥύσεταί νιν Παλλάς, ἥ σ᾽ ἀπέκτανεν·
τοῖον φαρέτρα Λοξίου σῴζει βέλος.
ὦ παιδοποιοὶ συμφοραί, πόνοι βροτῶν·
ὡς ὅστις ὑμᾶς μὴ κακῶς λογίζεται,
ἄπαις διοίσει κοὐ τεκὼν θάψει τέκνα.

ΧΟ. οὗτος μὲν ἤδη μητρὶ κηδεύειν μέλει·
σὺ δ᾽ εἴ τι πράσσειν τῶν προκειμένων θέλεις,
Ἕκτορ, πάρεστι· φῶς γὰρ ἡμέρας τόδε.

ΕΚ. χωρεῖτε, συμμάχους δ᾽ ὁπλίζεσθαι τάχος
ἄνωχθε πληροῦν τ᾽ αὐχένας ξυνωρίδων.
πανοὺς δ᾽ ἔχοντας χρὴ μένειν Τυρσηνικῆς
σάλπιγγος αὐδήν· ὡς ὑπερβαλὼν τάφρον
τείχη τ᾽ Ἀχαιῶν ναυσὶν αἶθον ἐμβαλεῖν
πέποιθα Τρωσί θ᾽ ἡμέραν ἐλευθέραν
ἀκτῖνα τὴν στείχουσαν ἡλίου φέρειν.

ΧΟ. πείθου βασιλεῖ· στείχωμεν ὅπλοις

---

968 ἐς hic libri 969 ἔτ᾽ εἶσιν οὐδὲ Kirchhoff (ἔτ᾽ εἶσιν iam L. Dindorf), fort. οὔτ᾽ εἶμ᾽ ἐγὼ οὔτε 970 τῆς] Musgrave, τῆσδ᾽ libri 972 ὥστε mut. in ὅστε *P* 973 ᾤκηκε Blaydes | σεμνὸς] σεπτὸς Christ. pat. 1776 974 ῥᾷον] Valckenaer, βαιὸν libri et Christ. pat. 1777, ubi πένθος δὲ βαιὸν . . κείσθω exhibetur | θαλασσίας B^2C, θαλασσίου *LP* 975 τὸν ἐκείνης B^2C 976 θρήνους *LP* | σ᾽ om. *LP* 977 ἀχιλέα B^2, Ἀχιλλῆ Hartung 978 οὐ] κοὐ Kirchhoff | ἀπέκτεινεν *C* 981 ὡς εἴ τις *C* | καλῶς *C* 982 θάψοι *C* 983 οὕτως B^2C 986 δ᾽ B^2C, θ᾽ *LP* 987 πληροῦν τ᾽ B^2C, πληροῦ τ᾽ *L*, πληροῦτ᾽ *P* 988 πανοὺς] Reiske, πόνους libri 989 ὑπερβαλὼν] Lenting, ὑπερβάλλων B^2LP, ὑπερβάλλον *C* | τάφρον] Jacobs, στρατὸν libri 990 αἴθων᾽ *C*, αἶθον (ι ras. ex υ vel ν corr.) *P* 991 τρωσὶν ἡμέραν *P* 993 στείχομεν *LP*, στείχωμεν *p*

κοσμησάμενοι καὶ ξυμμαχίᾳ
τάδε φράζωμεν· τάχα δ' ἂν νίκην
δοίη δαίμων ὁ μεθ' ἡμῶν.

994 *κοσμησάμενοι ξυμμαχίαν* B^2C | *συμμαχίᾳ* *LP* 995 *νίκην*] Dindorf, *νίκαν* libri | subscriptum *τέλος* in B^2, *τέλος τοῦ εὐριπίδου ῥήσου* in *C*, *ὡδὶ τὸ τέρμα τῆς ῥήσου τραγῳδίας* in *LP*

APPENDIX

conjecturas minus probabiles continens.

Argum. lin. 2 ⟨περὶ⟩ τοῖς Bothe 2 sq. δι' ὅλης τῆς νυκτὸς Kirchhoff (δι' ὅλης νυκτὸς E. Schwartz), δείλης Nauck 6 Δόλωνος . . ὑπακούσαντος E. Schwartz 8 Ὀδυσσέα καὶ ⟨Διομήδην⟩ Vater 13 τούτοιν Bothe ¦ τούτων δὲ ἐπιφανεὶς Ἀλέξανδρος ⟨μηνυτὴς⟩ Vater 32 post οὕτως lacunam indicat (e. g. τοῦ ἑτέρου προλόγου ἡ ἀρχὴ ἔχει οὕτως) E. Schwartz 41 λόγχῃ βιαίᾳ γ' Valckenaer, λόγχης βιαίας Bothe 42 ἀλγέων ἄκος Kirchhoff 57 δράματος ⟨ὑπόκειται⟩ Nauck

Rhesi prologum intercidisse putat Musgrave | chorica (1, 4, 7 etc.) ducibus hemichoriorum et coryphaeo tribuit R. Arnoldt 1 sq. Ἑκτορέους· τίς Reiske 2 ἄγρυπνος βασιλέως τις ὑπασπιστῶν Bothe 3 ἦ] τίς Reiske 4 δέξαι τε, versum post 9 collocans, Nauck | νέαν Dobree | δέξαιτ' ἀνδρῶν Blaydes | κληδόνα μῦθόν θ' Madvig 6 πόλεως Τροίας προκάθηνται, deletis verbis πάσης στρατιᾶς, Bothe

11 τίς ὅδ' ὦ φίλος εἶ; φθέγγου τίς ἀνήρ Aldina, τίς ὅδ'; ἦ φίλος εἶ; φθέγγου, τίς ἀνήρ; Barnes, τίς ὅδ' εἶ; φίλιος, φθέγγου, τίς ἀνήρ; Vater 13 sq. ταῖς ἡμετέραις κοίταις vel τᾶς ἡμετέρας κοίτας Bothe 14 πελάθουσ' Heath 16 θαρσῶ delet Badham 17 ἐκ νυκτῶν ⟨σε φοβεῖ⟩; ΧΟ. οὐ δή κτἑ. Dindorf | ἐκ νυκτῶν ⟨ἥκει;⟩ olim Nauck | οὐκέτι] οὔπω Lindemann, οὔτις Badham 17 sqq. μῶν τις λόγος ἢ δόλος ἐκ νυκτῶν; Χ. οὐκέτι. Ἑ. τί σὺ γὰρ φυλακὰς κτἑ., nisi ante φυλακὰς vocabulum exciderit, Hermann, μῶν τις δόλος ἐκ νυκτῶν; Χ. οὐδείς. Ἑ. τί σὺ γὰρ φυλακὰς προλιπὼν ⟨νύκτωρ⟩ κινεῖς κτἑ. Fix | μῶν τις σε φοβεῖ λόγος ἐκ νυκτῶν; τί σὺ γὰρ . . στρατιάν; τίν' ἔχων νυκτηγορίαν; Nauck 18 φύλακας Blaydes | προλιπὼν ἤδη κινεῖς Aldina

22 πανόπλου Blaydes 25 ὄτρυν' ἔγχος ἀεῖραι Hermann | αἴρειν (et 43 ναῶν) Badham (idem proponit Paley 43 πυρσοῖς νεῶν coniciens) 27 ἁρμοσάτω Musgrave, ἁρμόσατ' ἐν Morstadt

30 ποῦ σταδίων Musgrave 31 μοραγοί olim Nauck 37 φοβῇ] σοβῇ Musgrave

43 διοπετῆ Hermann 44 Ἀγαμεμνόνειον Scaliger 45 ἔννυχος ἐν Hartung 46 ἔφ' ἱέμενοι Madvig

51 μή ποτέ τινά μοι μέμψιν olim Hartung | ἐς ἐμὲ] εἴς με Fix 52 καίπερ] καινὸν Herwerden 55 σαίνει μ'] σῆμα δ' Hartung

56 εὐτυχοῦντ'] fort. εὐθενοῦντ', cfr. 60 58 φύρδην Blomfield 59 μὴ ξυνέσχον] μοι ξυνέσχον Vater, (μὴ ξυνέσχονθ' Hartung), μοι συνῆλθον Kirchhoff, (μὴ 'ξεπαύσανθ' Rauchenstein), μὴ 'φθόνησαν Herwerden, (μὴ συνήγονθ' Madvig), μὴ 'ξανεῖσαν Heimsoeth, μή μ' ἐπέσχον Blaydes | ἥλιον Reiske

60 εὐτυχοῦν] εὔστοχον Naber 65 sq. σοφοί τοι . . ἔπεισάν μ' Hartung 66 ἔχρησαν Badham, ἐφῆκαν olim Nauck

73 κλίμακα Blaydes

82 ἔπεσον] ἔτρεσαν F. Gu. Schmidt 83 εὖ ταῦτα πράξας καὶ τὸ λοιπὸν εὖ σκόπει Musgrave 85 καὶ delet Barnes

105 δράστης χερί Hartung, etiam θρασὺς χερί F. Gu. Schmidt 108 καλῶς] καλόν Nauck

115 τῆδε . . πάλιν Valckenaer (mallem δεῦρο . . πάλιν) 118 ἦν δ', ἄρα Hermann, ἢ παρὰ olim, postea ἐν νυκτὶ Nauck, πλὴν ἄρα F. Gu. Schmidt, ἐνταῦθα Hannemüller, κἄνδηρα (vel ἢ ἄνδηρα) M. Schmidt, εἴπερ ἄρα Naber, εἴπερ γε vel ἦν ἄρα γε Blaydes | εἰ μὴ ἄρα συνθραύσαντες Paley, μὴ νύκτεροι θραύσαντες olim coniciebam

129 μαθόντος Pierson

131 νοεῖν Musgrave 131—136 et 195—200 coryphaeo dat R. Arnoldt 133 ἄμεινον] κρεῖσσον Musgrave 134 ταχυβατᾶν Hartung 134 sq. πέλας μολεῖν Brunck 136 ἀντίπρῳρα τάδε ναυστάθμων (deleto vocabulo δαίεται) Hermann | δαίεται] φλέγει Brunck, καίεται Hartung 137 νίκα γ' Lenting

142 κᾆτ' ἴωμεν εἰς λόγους F. Gu. Schmidt | εἴσῃ] οἴσῃ Reiske 145 'ν νεῶν (et in v. proximo τῆσδ' ἔτ') Hartung 145 sq. προσμίξω παρὼν . . τῆσδ' ἔτ' Ἀργείων νεῶν F. Gu. Schmidt 146 τῆσδ' ἔτ' Ἀργείων στρατόν Bothe, τῆσδε κἀργείων στρατῷ Schumacher 147 νῦν γὰρ οὐ φαύλως F. Gu. Schmidt 148 ὅταν] ὅσ' ἂν Nauck 149 οἵπερ εἰσὶν ἐν λόγῳ Valckenaer

150 delet Lachmann. 151 τῆσδε] γ' ὧδε Valckenaer 154 sq. κίνδυνον μεθεὶς θέλω κατόπτης Valckenaer

164 λέγεις cl. Christ. pat. 1620 et 1968 Nauck 165 ἐμὴν τυραννίδα Nauck 166 πολυόχλου Reiske

170 fort. κοὐ σπανίζομεν βίον 175 οὐ μὴν] τί μὴν Herwerden, οὐ δὴ Blaydes | οὐ μὴν τὸν Ὀϊλέως γέ μ' ἐξαιτεῖς λαβεῖν Lenting, οὐ μὴν τὸν Οἰλέως παῖδά γ' ἐξαιτεῖ λαβεῖν Vater | ἐξαίτει Reiske, quod requirit καὶ μὴν pro οὐ μὴν 176 τεθραμμένων Blaydes

188 λέγουσ', ὁ πόντιος Hermann

